Ὁ Πλάτων λέγει ἐν τῇ Ἀπολογίᾳ σελ. 21 α΄ «Καὶ ἴστε δὴ οἷος ἦν Χαιρεφῶν, ὡς σφοδρὸς ἐφ' ὅ τι ὁρμήσειε. Καὶ δή ποτε καὶ εἰς Δελφοὺς ἐλθὼν ἐτόλμησε τοῦτο μαντεύσασθαι· καί, ὅπερ λέγω, μὴ θορυβεῖτε, ὦ ἄνδρες· ἤρετο γὰρ δὴ εἴ τις ἐμοῦ εἴη σοφώτερος. Ἀνεῖλεν οὖν ἡ Πυθία μηδένα σοφώτερον εἶναι. Καὶ τούτων πέρι ὁ ἀδελφὸς ὑμῖν αὐτοῦ οὑτοσὶ μαρτυρήσει, ἐπειδὴ ἐκεῖνος τετελεύτηκε». Φέρεται δ' εἰς τὸ *ἀνεῖλεν* σχόλιον ἔχον ὧδε· «Χρησμὸς περὶ Σωκράτους δοθεὶς Χαιρεφῶντι τῷ Σφηττίῳ·

Σοφὸς Σοφοκλῆς, σοφώτερος δ' Εὐριπίδης,
ἀνδρῶν δ' ἁπάντων Σωκράτης σοφώτατος».

Κεῖται δὲ καὶ ἐν τοῖς εἰς Ἀριστοφάνη Σχολίοις Νεφ. 144, σελ. 88, 23 Διδ. «Δήμου δὲ ἦν ὁ Χαιρεφῶν Σφήττιος. Τούτῳ καὶ ἡ Πυθία δοκεῖ τὸν περὶ τοῦ Σωκράτους χρησμὸν εἰπεῖν

Σοφὸς Σοφοκλῆς, σοφώτερος δ' Εὐριπίδης,
ἀνδρῶν δὲ πάντων Σωκράτης σοφώτατος.

Τοῦτον Ἀπολλώνιος ὁ Μόλων ἐν τῷ κατὰ φιλοσόφων ἐψεῦσθαί φησι· τοὺς γὰρ Πυθικοὺς χρησμοὺς ἑξαμέτρους εἶναι, κτέ.» (Ἴδε Βλαϋδέσιον ἐν τῇ ἐκδόσει τῶν Ἀριστοφάνους Νεφελῶν σελ. 254). Πρβ. καὶ Σουίδ. λ. *σοφός* (καὶ Σχόλ. Λουκιαν. σελ. 117 Ἰακ.). Παρατιθέμεθα καὶ τὰ ὑπὸ τοῦ Ὠριγένους εἰρημένα ἐν τῷ κατὰ Κέλσου συγγράμματι Ζ΄, 6 (Τόμ. Κ΄, σελ. 8) «Εἰ γὰρ καὶ ἀνδρῶν ἁπάντων Σωκράτην εἶπε σοφώτατον εἶναι (ὁ Πύθιος), ἤμβλυνε τὸν ἔπαινον αὐτοῦ τὸ πρὸς τούτου λεγόμενον περὶ Εὐριπίδου καὶ Σοφοκλέους ἐν τῷ *σοφὸς Σοφοκλῆς, σοφώτερος δ' Εὐριπίδης*».

Ὅτι ἐρρήθη ὑπὸ τοῦ Πυθίου ἢ τῆς Πυθίας τὸ περιβόητον καταστὰν «ἀνδρῶν ἁπάντων Σωκράτης σοφώτατος» ἱστορεῖται καὶ ὑπὸ Διογένους τοῦ Λαερτίου γράφοντος βιβλ. Β΄, 37 «Ταῦτα δὴ καὶ τοιαῦτα λέγων καὶ πράττων πρὸς τῆς Πυθίας ἐμαρτυρήθη, Χαιρεφῶντι ἀνελούσης ἐκεῖνο δὴ τὸ περιφερόμενον

Ἀνδρῶν ἁπάντων Σωκράτης σοφώτατος».

Λέγει δὲ καὶ Ἰουστῖνος ὁ Μάρτυς ἐν τῷ πρὸς Ἕλληνας Λόγῳ κεφ. 36 «Εἰ γὰρ ὁ τῶν παρ' ὑμῖν σοφῶν σοφώτατος Σωκράτης, ᾧ καὶ τὸ χρηστήριον ὑμῶν, ὡς αὐτοί φατε, μαρτυρεῖ λέγον

Ἀνδρῶν ἁπάντων Σωκράτης σοφώτατος,

ὁμολογεῖ μηδὲν εἰδέναι, πῶς οἱ μετ' αὐτὸν καὶ τὰ ἐν οὐρανοῖς ἐπηγ-

γέλλοντο εἰδέναι;». Πρβ. καὶ Παυσαν. Ἀττ. ΚΒ', 8 «ᾧ (Σωκράτει) σοφῷ γενέσθαι μάλιστα ἀνθρώπων ἐστὶν ἡ Πυθία μάρτυς» καὶ Ἑρμησιάν. παρ' Ἀθην. σελ. 599 α' «ὃν ἔξοχον ἔχρη Ἀπόλλων ἀνθρώπων εἶναι Σωκράτη ἐν σοφίῃ» (Ἴδε Λ. Δινδόρφιον ἐν τῇ ἐκδόσει τῶν Ξενοφῶντος Ἀπομνημονευμάτων καὶ τῆς Ἀπολογίας σελ. 207). Ὁ Μενάγιος ἐν ταῖς εἰς Διογένη τὸν Λαέρτιον Παρατηρήσεσι Τόμ. Α', σελ. 354 Ὑβν. μνημονεύει καὶ τὸ τοῦ Βαλερίου Μαξίμου «Socrates non solum hominum consensu, verum etiam Apollinis oraculo sapientissimus iudicatus» καὶ τὸ τοῦ Τερτυλλιανοῦ «Socratem Apollo sapientissimum omnium cecinit. O Apollinem inconsideratum. Sapientiae testimonium reddidit ei viro, qui negabat deos esse».

Ἄξια μνείας νομίζομεν καὶ ἃ ἔγραψε Μάξιμος ὁ Τύριος Λόγ. Θ', 1 «Σωκράτην δὲ τὸν μηδὲ τῷ Ἀπόλλωνι παρασχόντα ἀμαθίας αἰτίαν —οὔπω καὶ νῦν πεπαῦσθαι συκοφαντούμενον» καὶ Λόγ. ΙΘ', 9 «διὰ τοῦτο ὁ Ἀπόλλων ἐπῄνει Σωκράτην, ὅτι ἦν ὁμότεχνος αὐτῷ» καὶ Λόγ. ΛΘ', 5 «μάτην ἄρα αὐτῷ (τῷ Σωκράτει) ὁ Ἀπόλλων τὰ νικητήρια ἔδωκε, μάτην ἐπεψηφίσατο».

Παρατιθέμεθα καὶ τὰ ὑπὸ τοῦ Ἀριστείδου εἰρημένα Τόμ. Α', σελ. 309 Δινδ. «Ἀλλὰ μὴν ἑπτά γε ἀνδρῶν, ἵνα μηδὲ τοῦτο παρῶμεν, ἐνδόξων ἐπὶ σοφίᾳ γενομένων, εἷς ἀπὸ τῆς πόλεως γέγονε καὶ δυοῖν ἀρίστοιν νομοθέταιν ἅτερος αὐτὸς οὗτος. Δύο τοίνυν ἀνδράσι τῶν πρόσθεν ἐκ θεῶν ψῆφον δεδόσθαι παρειλήφαμεν, Λυκούργῳ τε τῷ Λακεδαιμονίῳ καὶ Σωκράτει τῷ παρ' ὑμῶν». Πρβ. Σχολ. Ἀριστείδ. σελ. 326 Δινδ.

Ὁ Ἀθήναιος καταγελᾷ τῶν ὑπὸ τοῦ Πλάτωνος ἐν τῇ Ἀπολογίᾳ γεγραμμένων λέγων σελ. 218 ε' «Κἂν ἄλλοις δ' ὁ Πλάτων φησὶ Χαιρεφῶντα ἐρωτῆσαι τὴν Πυθίαν εἴ τις εἴη Σωκράτους σοφώτερος· καὶ τὴν ἀνελεῖν μηδένα. Κἂν τούτοις δὲ μὴ συμφωνῶν Ξενοφῶν φησι· Χαιρεφῶντος γάρ ποτε ἐπερωτήσαντος ἐν Δελφοῖς ὑπὲρ ἐμοῦ ἀνεῖλεν ὁ Ἀπόλλων, πολλῶν παρόντων, μηδένα εἶναι ἀνθρώπων ἐμοῦ μήτε δικαιότερον μήτε σωφρονέστερον. Πῶς οὖν εὔλογον ἢ πιθανὸν Σωκράτη τὸν ὁμολογοῦντα μηδὲν ἐπίστασθαι σοφώτατον ἁπάντων ὑπὸ τοῦ πάντα ἐπισταμένου θεοῦ ἀναρρηθῆναι; Εἰ γὰρ τοῦτό ἐστι σοφία, τὸ μηδὲν εἰδέναι, τὸ πάντα εἰδέναι φαυλότης ἂν εἴη». Ἐν τῇ Σω-

κράτους Ἀπολογίᾳ τοῦ Ξενοφῶντος, ἣν τινες οὐχὶ γνήσιον αὐτοῦ σύγγραμμα ὑπολαμβάνουσι, κεῖται § 14 «Ἐπεὶ δὲ ταῦτ' ἀκούοντες οἱ δικασταὶ ἐθορύβουν—πάλιν εἰπεῖν τὸν Σωκράτη· Ἄγε δὴ ἀκούσατε καὶ ἄλλα, ἵνα ἔτι μᾶλλον οἱ βουλόμενοι ὑμῶν ἀπιστῶσι τῷ ἐμὲ τετιμῆσθαι ὑπὸ δαιμόνων. Χαιρεφῶντος γάρ ποτε ἐπερωτῶντος ἐν Δελφοῖς περὶ ἐμοῦ, πολλῶν παρόντων, ἀνεῖλεν ὁ Ἀπόλλων μηδένα εἶναι ἀνθρώπων ἐμοῦ μήτε ἐλευθεριώτερον μήτε δικαιότερον μήτε σωφρονέστερον. Ὡς δ' αὖ ταῦτ' ἀκούσαντες οἱ δικασταὶ ἔτι μᾶλλον [εἰκότως] ἐθορύβουν, αὖθις εἰπεῖν τὸν Σωκράτη· Ἀλλὰ μείζω μέν, ὦ ἄνδρες, εἶπεν ὁ θεὸς ἐν χρησμοῖς περὶ Λυκούργου τοῦ Λακεδαιμονίοις νομοθετήσαντος ἢ περὶ ἐμοῦ· λέγεται γὰρ εἰς τὸν ναὸν εἰσιόντα προσειπεῖν αὐτόν· Φροντίζω πότερα θεόν σε εἴπω ἢ ἄνθρωπον». Τὰ ῥήματα ἃ εἶπεν ἡ Πυθία προσφωνοῦσα τῷ Λυκούργῳ βλέπει τις ἐν τῇ ῥήσει τοῦ Γαληνοῦ, ἣν κατεχωρίσαμεν ἐν ἀρχῇ τοῦ κεφαλαίου τοῦδε. Πρῶτος δ' ὁ Ἡρόδοτος ἐποιήσατο μνείαν αὐτῶν βιβλ. Α', 65.

ΚΕΦ. Η'.

Δέον — δέ.

Παρὰ Φίλωνι τῷ Ἰουδαίῳ φέρεται Τόμ. Β', σελ. 10 «Οὗ χάριν ἐν ἑτέροις κεκατηραμένον ὑπὸ θεοῦ τὸν κρεμάμενον ἐπὶ ξύλου φησίν, ὅτι θεοῦ δὲ ἐκκρεμᾶσθαι. Ὅδε ἀπηώρησεν ἑαυτὸν σώματος, ὅ ἐστιν ἐν ἡμῖν ξύλινος ὄγκος, ἐπιθυμίαν ἐλπίδος ἀντικαταλλαξάμενος, ἀγαθοῦ τελείου μέγιστον κακόν».

Παντὶ φανερὸν ὑπάρχει ὅτι νοσεῖ ἡ προκειμένη ῥῆσις· κατορθοῦται δ' ἡ ἴασις αὐτῆς, ἄν, τοῦ *δέ* εἰς τὸ *δέον* μεταβληθέντος καὶ τοῦ *ὅδε* εἰς τὸ *ὁ δέ*, ἀναγνωσθῇ «ὅτι θεοῦ *δέον* ἐκκρέμασθαι, *ὁ δὲ* ἀπηώρησεν ἑαυτὸν σώματος». Τῆς τοιαύτης χρήσεως οὐκ ὀλίγα παραδείγματα ἔχομεν πρόχειρα, ἀρκούμεθα δ' ἐν τῷ παρόντι μνημονεύοντες ἐκ τῶν εἰς Ἀριστοφάνη Σχολίων τάδε. σελ. 82,50 Διδ. «*δέον* εἰπεῖν κό-

ρεις—*ὁ δὲ* μεμνημένος ὅτι εἰς δικαστήριον ἥξει ὑπὸ τῶν δανειστῶν δήμαρχος φησί» καὶ σελ. 91,42 «*δέον* εἰπεῖν ἡ γῆ ἕλκει τὰ κάρδαμα, *ὁ δὲ* ὡς ἄγροικος μὴ νοήσας τὸ εἰρημένον συνέχεε τὴν φράσιν» καὶ σελ. 340,47 «*δέον* οὕτως εἰπεῖν—*ὁ δὲ* οὐχ οὕτως εἶπεν» (Πρβ. καὶ σελ. 81,30 καὶ σελ. 98,17 καὶ σελ. 132,36). Ἐμφερὲς τούτοις εἶνε τὸ εἰρημένον ἐν σελ. 340,7 «*ἀντὶ* οὖν *τοῦ εἰπεῖν* ἐν τῷ δικαστηρίῳ τὸ γράμμα σοῦ λαχὸν δικάζειν—*ὁ δὲ* σκώπτων αὐτοὺς ὡς γέροντας καὶ ἐγγὺς θανάτου ὄντας φησὶν κτέ.». Παρὰ τῷ Προκοπίῳ ἀπαντᾷ Τόμ. Β', σελ. 40,21 «οἷς δὲ *παρὸν* ἀμαχητὶ ἐλευθέρους εἶναι, *οἱ δὲ* ὅπως τὴν δουλείαν βέβαιον ἕξουσιν ἐς ἀγῶνα καθιστῶνται, οὗτοι δὴ κτέ.» καὶ σελ. 230,6 «οἷ ἂν πολιορκουμένοις *παρὸν* τοῖς φιλτάτοις ἀμύνειν, *οἱ δὲ* τὴν ἀκίνδυνον ὄκνησιν πρὸ τῆς ἀγωνίας ἑλόμενοι τὴν ἐκείνων—ἐπικράτησιν τοῖς πολεμίοις δεδώκασι» καὶ Τόμ. Γ', σελ. 67,12 «εἴ οἱ *παρὸν* ἐκ πάσης ἀπολεξαμένῳ τῆς Ῥωμαίων ἀρχῆς γαμετὴν γυναῖκα ποιήσασθαι—*ὁ δὲ* τὸ κοινὸν ἄγος ἁπάντων ἀνθρώπων αὐτοῦ ἴδιον πεποιῆσθαι οὐκ ἀπηξίου». Πρβ. καὶ Γεώργ. Κεδρην. Τόμ. Β', σελ. 217,15 «καὶ ῥᾴδιόν οἱ κατασχεῖν λέγοντες τὴν Ταρσόν, ὁ δὲ μελλήσει καὶ ῥᾳθυμίᾳ προήκατο τὸν καιρόν». Ὁ Εὐστάθιος γράφει ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 81,22 «Ἢ γὰρ ἐν τῷ *ἕλκετο δέ* ἢ ἐν τῷ *ἦλθε δέ*, ἀναγκαίως ὁ *δέ* ἀντὶ τοῦ *δή* ληφθήσεται· πολλάκις δὲ τοῦτο καὶ ἐν τῇ κοινῇ ὁμιλίᾳ γίνεται, οἷον ἐμοῦ δὲ παραινοῦντος, *ὁ δὲ* ἀντέβαινε». Οὐδαμῶς ἀναγκαῖον οὐδ' εὔλογον ὑπάρχει νὰ ὑποληφθῇ ὅτι ἐν ταῖς οὕτω προενηνεγμέναις φράσεσιν εἶνε τὸ μόριον *δέ* ἀντὶ τοῦ *δή* παρειλημμένον.

Κεῖται δὲ καὶ ἐν ταῖς Ἐπιστολαῖς τοῦ Ἀλκίφρονος κατ' ἐσφαλμένην γραφὴν *δέ* ἀντὶ τοῦ *δέον* καὶ ἐν τῇ Σοφιστικῇ Προπαρασκευῇ τοῦ Φρυνίχου καὶ παρὰ τῷ Λιβανίῳ.

Ἀλκίφρ. Ἐπιστ. Γ', 2 «ἥτις *δὲ* αἰσχύνεσθαι κορικῶς ἀπέξεσας τὴν αἰδῶ τοῦ προσώπου». Ἐπηνώρθωσε τὸ χωρίον τοῦτο ὁ Βαλκενάριος ἐν τῇ ἐκδόσει τῶν Εὐριπίδου Φοινισσῶν Τόμ. Α', σελ. 465. Λιψ. ἀναγνοὺς «ἥτις, *δέον* αἰσχύνεσθαι κορικῶς, ἀπέξεσας τὴν αἰδὼ (γρ. *αἰδῶ*) τοῦ προσώπου».

Φρύν. Σοφιστ. Προπαρ. σελ. 10,4 «Ἀράμενον φέρειν: Ἀττικῶς· ἡ σύνταξις *δὲ* εἰπεῖν ἄραντα» Τὸ ὀρθὸν «Ἀττικὴ ἡ σύνταξις, *δέον*

εἰπεῖν ἄραντα» ἀποκατέστησεν ὁ Βάστιος ἐν *Ἐπιστ. Κριτ.* σελ. 262 καὶ ὁ Κόβητος ἐν *Μνημοσ.* 1876, σελ. 230.

Λιβάν. Τόμ. Γ', σελ. 33,16 «ἀλλ' Ἄνυτος, ὥσπερ τῆς φύσεως ἐπὶ τἀναντία πορευομένης, εἴ τις Ἀθηναίων φρονιμώτερος ἀναφανείη τῶν ἑτέρωθι γεγενημένων ἀνδρῶν, ἀγανακτεῖ, παραδοῦναι κελεύει τοῖς ἕνδεκα *δὲ* σωτῆρα τῶν νέων νομίζειν». Ὁ Λιβάνιος εἶπε «παραδοῦναι κελεύει τοῖς ἕνδεκα, *δέον* σωτῆρα τῶν νέων νομίζειν», ὡς παρετήρησεν ὁ Βάστιος ἐν *Ἐπιστ. Κριτ.* σελ. 262 καὶ ὁ Κόβητος ἐν *Μνημοσ.* 1875, σελ. 149. Σημειωτέον δ' ὅτι ὁ Βάστιος μετὰ τὸ ῥῆμα *ἀγανακτεῖ* προσέθηκε τὸν σύνδεσμον *καί*.

Ἀπαντᾷ δὲ παρὰ τῷ Λιβανίῳ καὶ «ἵνα μηδὲν εἴπω *μηδὲ* ἐκεῖ» (Τόμ. Δ', σελ. 320, 15), ὃ ὁ Κόβητος μετέβαλεν ἐν *Μνημοσ.* 1875, σελ. 149 εἰς τὸ «ἵνα μηδὲν εἴπω *μὴ δέον* ἐκεῖ». Πρβ. καὶ 1859, σελ. 393.

Εἶνε δὲ καθ' ἡμαρτημένην ἀνάγνωσιν γεγραμμένον καὶ *Ῥόδαν* ἀντὶ τοῦ *Ῥοδανόν* καὶ *Βίθυν* ἀντὶ τοῦ *Βιθυνόν* καὶ *Μύκον* ἀντὶ τοῦ *Μύκονον* καὶ *Δορύλαι* ἀντὶ τοῦ *Δορύλαιον*, κτλ.

Ῥοδανόν - *Ῥόδαν*. Στέφ. Βυζάντ. σελ. 169, 6 «ἐπὶ τὸν *Ῥόδαν* ποταμὸν τῆς Γαλλίας».

Βιθυνόν - *Βίθυν*. Στέφ. Βυζ. σελ. 169, 20 «ἣ ἐκ μὲν Διὸς ἔσχε *Βίθυν*, ἐκ δὲ Κρόνου Δόλογκον».

Μύκονον - *Μύκον*. Ὀρθῶς μὲν παρὰ τῷ Στράβωνι φέρεται σελ. 487 «ἀφ' ὧν ἡ παροιμία πάνθ' ὑπὸ μίαν *Μύκονον* ἐπὶ τῶν ὑπὸ μίαν ἐπιγραφὴν ἀγόντων καὶ τὰ διηρτημένα τῇ φύσει», πλημμελῶς δὲ παρὰ Στεφάνῳ τῷ Βυζαντίῳ σελ. 461,1 «ἀφ' ὧν ἡ παροιμία πάντα ὑπὸ μίαν *Μύκον* ἐπὶ τῶν ὑπὸ μίαν γραφὴν ἀγαγόντων τὰ διῃρημένα τῇ φύσει». Σημειωτέον δ' ὅτι ἔχουσι τἀντίγραφα Στεφάνου τοῦ Βυζαντίου καὶ «Ἀριστοφάνης δὲ *Ἀργύνει* διὰ διφθόγγου» (σελ. 114, 12), ὃ μετετυπώθη ὑπὸ τοῦ Μεινεκίου εἰς τὸ *Ἀργύνειον*.

Δορύλαιον - *Δορύλαι*. Γαλην. Τόμ. Ϛ', σελ. 515 «ἀλλὰ καὶ *Δορύλαι*, ἥ ἐστιν ἐσχάτη τῆς Ἀσιανῆς Φρυγίας πόλις». Πρβ. καὶ Μεινέκιον εἰς *Στέφ. Βυζάντ.* σελ. 236, 9.

λείψανον - *λείψαν*, *λεγόμενον* - *λέγομεν*. Ἴδε Βάστιον ἐν *Ἐπιστ. Κριτ.* σελ. 263.

ἕδρανον - ἕδραν. Ἴδε Βαλκενάριον εἰς *Εὐριπίδ. Φοιν.* Τόμ. Α', σελ. 427 Λιψ.

Μαραθώνιον - Μαραθῶνι. Παυσαν. Ἀττικ. ΙΔ', 5 «ὁ δὲ τό τε ὄνομα πατρόθεν καὶ τὴν πόλιν ἔγραψε καὶ ὡς τῆς ἀνδρείας μάρτυρας ἔχει τὸ *Μαραθῶνι* ἄλσος». Οὐδενὶ τῶν περὶ τὰ Ἑλληνικὰ γράμματα σπουδαζόντων ἄγνωστον ὑπάρχει τὸ ἐπίγραμμα, ἐν ᾧ κεῖται:

ἀλκὴν δ' εὐδόκιμον Μαραθώνιον ἄλσος ἂν εἴποι
καὶ βαθυχαιτήεις Μῆδος ἐπιστάμενος.

Πρβ. καὶ Κόβητον ἐν *Μνημοσ.* 1884, σελ. 148.

ἀσέληνον - ἀσελήν. Εὐστάθ. Παρεκβ. εἰς Ὅμηρ. σελ. 1620, 20 «τὸ δὲ μὴ σελήνην οὐρανόθεν προφαίνειν τὴν *ἀσελὴν* νύκτα συνέθετο παρὰ τοῖς μεθ' Ὅμηρον». Τὸ σφάλμα τοῦτο ἐμηνύθη καὶ ὑπὸ τοῦ Βαλκεναρίου ἐν τῇ ἐκδόσει τῶν Εὐριπίδου Φοινισσῶν Τόμ. Α', σελ. 465 Λιψ.

πάτριον - πατρί. Ἴδε Κόβητον ἐν *Μνημοσ.* 1859, σελ. 393.

δρᾶσον - δρᾶς. Ἴδε Βάστιον εἰς *Γρηγ. Κορ.* σελ. 18 Σχαιφ.

τὴν νόσον - τινός. Φρύν. Σοφιστ. Προπ. σελ. 8, 1 «Ἀρρωστία σημαίνει μὲν πολλαχοῦ *τινός*, ἀλλὰ καὶ διαφέρει, ὅτι ἡ μὲν νόσος ἐστὶ καὶ μακρὰ καὶ ὀλιγοχρόνιος, ἡ δὲ ἀρρωστία τὴν μακροχρόνιον δηλοῖ». Ὀρθῶς ὁ Βάστιος μετέγραψεν ἐν *Ἐπιστ. Κριτ.* σελ. 262 «σημαίνει μὲν πολλαχοῦ *τὴν νόσον*». *τὴν νόσον - τὴν νόσ' - τινός*. Παρὰ τῷ Εὐναπίῳ σελ. 33 Βοισσ. ἀπαντᾷ «καὶ εἴς γε πέμπτον ἔτος *μηδενὸς* περὶ τῇ παιδίσκῃ φοβηθῇς, μὴ θάνατον, ἀλλ' ἥσυχος ἔσο καὶ ἔμπεδος». Γράφει δὲ περὶ αὐτοῦ ὁ Κόβητος ἐν *Μνημοσ.* 1878, σελ. 336 «Scriptum olim fuisse suspicor: *μὴ νόσον* φοβηθῇς, μὴ θάνατον. Neglecto, ut sexcenties, compendio (') ον significante μηνοσ in μηδενος conversum est».

κακὸν - κάκ. Σουίδ. «Ὄζων *κὰκ* τῶν μασχαλῶν πατρὸς Τραγασαίου. Ἀριστοφάνης· οὐδ' ὥσπερ ὁ πονηρὸς Ἀρτέμων, ὁ ταχὺς ἄγαν τὴν μουσικήν, ὄζων *κὰκ* τῶν μασχαλῶν πατρὸς Τραγασαίου». Ὑπὸ τοῦ Ἀριστοφάνους ἐρρήθη ἐν Ἀχαρνεῦσι στίχ. 850 «ὁ περιπόνηρος Ἀρτέμων, ὁ ταχὺς ἄγαν τὴν μουσικήν, ὄζων *κακὸν* τῶν μασχαλῶν πατρὸς Τραγασαίου». Πρβ. καὶ Κόβητον ἐν *Collect. Crit.* σελ. 154.

οὐχ ἱκανὸν - οὐχὶ κἂν. Λιβάν. Τόμ. Β', σελ. 515, 13 «πῶς οὖν *οὐχὶ κἂν* αὐτοῖς, μᾶλλον δὲ καὶ τούτοις καὶ τοῖς τούτων πράγμασιν

ἱκανὸν οἱ στρατηγοί;». Παρατιθέμεθα τὰ ὑπὸ τοῦ Κοβήτου γεγραμμένα περὶ τοῦ χωρίου τούτου ἐν *Miscell. Crit.* σελ. 164 «Libanius II. pag. 515. 13. πῶς οὖν *οὐχὶ κἂν* αὐτοῖς, μᾶλλον δὲ καὶ τούτοις καὶ τοῖς τούτων πράγμασιν, [ἱκανὸν] οἱ στρατηγοί; Optime correxit Reiscke: πῶς οὖν οὐχ ἱκανΟΝ αὐτοῖς, unde neglecta lineola -ον significante οὐχὶ κἂν natum est. Sed non vidit eadem opera sequens ἱκανὸν expungi oportere. Scriba errorem suum corrigens in margine adscripserat ἱκανὸν, quod manente errore in alienam sedem irrepsit. Saepe notavimus ea de causa syllabam -ον neglectam periisse. Hinc apud Libanium confusa sunt δέ - δέον, ὅς - ὅσον, ὅρον - θρόνον, ἐκ τῶν - ἑκόντων et sim. In libris minus vetustis -ον in *ultima* tantum syllaba sic scribitur, in antiquioribus etiam in medio vocabulo compendium hoc ponitnr, unde ἑκόντων in ἐκ τῶν conversum est». Περὶ τοῦ *θρόνον-ὅρον* ποιεῖται λόγον ὁ μέγας κριτικὸς ἐν *Μνημοσ.* 1874, σελ. 408. Λέγει δὲ τάδε «Libanius III. pag. 204,5. τίς ἴσῃ ψηφίσματι καὶ γνώμῃ κοινῇ πρὸς ὍΡΟΝ ἀγόμενος; Scripserat Libanius πρὸς Θρόνον *ad cathedram.* Rhetorum et Sophistorum θρόνοι sexcenties apud Libanium commemorantur. Confusa sunt Θ et Ο et periit lineola -ον significans». Πρβ. καὶ *Var. Lect.* σελ. XXVII ἐκδ. β´.

Ἐν τῷ κώδικι τοῦ Ἡσυχίου φέρεται *ἄσκι* ἀντὶ τοῦ *ἄσκιΟΝ* καὶ *κατάσκι* ἀντὶ τοῦ *κατάσκιΟΝ* καὶ *σειραί* ἀντὶ τοῦ *σίραιΟΝ* καὶ *θηλυφόν* ἀντὶ τοῦ *θηλυφόνΟΝ*. Ἴδε Ἄλβερτον εἰς *Ἡσύχ.* Τόμ. Α´, σελ. 1545. Πρβ. καὶ σελ. 53.

Συμβαίνει δ' ἐν τοῖς ἀντιγράφοις οὐχὶ ὀλιγάκις καὶ ἡ ἐναντία παραφθορά, καθ' ἣν περατοῦται ἡ λέξις εἰς τὸ ΟΝ κακῶς αὐτῇ προστεθέν, οἷον *Ἐλαιούντιον* ἀντὶ τοῦ *Ἐλαιοῦντι* καὶ *Αἰνιανόν* ἀντὶ τοῦ *Αἰνιάν* καὶ *Αἰσῖνον* ἀντὶ τοῦ *Αἶσιν*, κτλ.

Ἐλαιοῦντι-*ἘλαιούντιΟΝ*. Στέφ. Βυζάντ. σελ. 263, 17 «τὰ τοπικὰ Ἐλαιουντόθεν καὶ Ἐλαιοῦντάδε καὶ *Ἐλαιούντιον*».

Αἰνιάν-*ΑἰνιανΟΝ*. Στέφ. Βυζ. σελ. 287, 3 «Λυκόφρων· μάντιν δὲ νεκρὸν Εὐρυτὰν στέψει λεώς· ὡς τὸ *Αἰνιανόν*».

Αἶσιν-*ΑἰσῖνΟΝ*. Ἀππιαν. Ἐμφυλ. Α´, 87 «ἀρχομένου δ' ἦρος

περὶ τὸν *Αἴσῖνον* ποταμὸν—ἀγὼν καρτερὸς ἐγένετο». Ἴδε Μενδελσῶνα εἰς *Ἀππιαν*. σελ. 649, 12 καὶ Κόβητον ἐν *Μνημοσ*. 1882, σελ. 213.

δορί-δόριΟΝ. Φώτ. Βιβλιοθ. σελ. 71, 22 «καὶ ὅ τι περ ἂν πρὸς τούτοις *δόριον* (*δόρειον*) ἐπικτήσηται πρὸς δυομένου ἡλίου, Πτολεμαίου εἶναι».

κοιτίδι-κοιτίδιΟΝ. Ἴδε Βάστιον εἰς *Γρηγ*. *Κορ*. σελ. 332 Σχ.

ἀωρί-ἀώριΟΝ. Βεκκ. Ἀνέκδ. σελ. 476, 10 «*Ἀωρί*—: τὸ παρὰ τὸν προσήκοντα καιρὸν καὶ τὴν ὥραν. Λέγουσι δὲ *ἀώριον τῶν νυκτῶν* καὶ *ἀώριον νύκτωρ*». Ἡ ὑγιῶς ἔχουσα γραφὴ εἶνε *ἀωρὶ τῶν νυκτῶν* καὶ *ἀωρὶ νύκτωρ*. Πρβ. Βλαϋδέσιον εἰς *Ἀριστοφ*. *Ἐκκλησ*. σελ. 67 καὶ σελ. 171.

πελοποννησιστί-πελοποννησίστιΟΝ. Ἴδε Βάστιον εἰς *Γρηγ*. *Κορ*. σελ. 331 Σχ.

ἀδεῖν-ἀδεῖνΟΝ. Ἴδε Βιλλοισῶνα εἰς *Ἀπολλων*. *Σοφ*. *Λεξ*. *Ὁμηρ*. σελ. 44. Πρβ. καὶ Βάστιον ἐν *Ἐπιστ*. *Κριτ*. σελ. 262-3.

ὀδάξ-ἔδαξΟΝ. Ἴδε Βαλκενάριον εἰς *Εὐριπ*. *Φοιν*. Τόμ. Α', σελ. 465 Λιψ.

χῶρι-χωρίΟΝ. Σχολ. Πινδ. Νεμ. Α', 3 «Καλλίμαχος ἐν Ἑκάλῃ· οἵ νυ καὶ Ἀπόλλωνα παναρκέος Ἠελίοιο *χωρίον* διατμήγουσι». Τὸ *χωρίον διατμήγουσι* ἐπηνωρθώθη μεταβληθὲν εἰς τὸ *χῶρι διατμήγουσι* ὑπὸ τοῦ Βεντληίου, «cuius (λέγει ὁ Ὄθ. Σνειδῆρος ἐν τῇ ἐκδόσει τῶν Καλλιμαχείων Τόμ. Β', σελ. 197-8) admirare insigne acumen verissime mendosum illud χωρίον emendantis, antequam in lucem editi erant *Apollon*. *Dyscol*. de Adverb. p. 549 (cf. Bast. ad Cregor. Cor. p. 332) atque p. 573, et *Ioannes Alex*. p. 37, 7, ubi nomine quidem auctoris non addito citatur χῶρι διατμήγουσι, sed Bentleio nihil erat nisi adverbium χῶρι ex Etym. Magn. et Eustathii locis cognitum».

τεμάχη μέν-τεμαχημένΟΝ. Φρύν. Σοφιστ. Προπ. σελ. 65, 3 «*Τεμαχημένον* ἐπὶ ἰχθύων, τόμους δὲ ἐπὶ κρεῶν καὶ σχελίδας». Ἴδε Βάστιον ἐν *Ἐπιστ*. *Κριτ*. σελ. 262.

ὅς-ὅσΟΝ. Λιβάν. Τόμ. Γ', σελ. 376, 1 «*ὅσον* ἂν μὴ συνενέγκῃ τὰ σχήματα τοῖς λόγοις ἀπώλεσε τὴν εὐφωνίαν». Ὁ Κόβητος γράφει ἐν *Collect*. *Crit*. σελ. 269 «Reiske ὅσΩΝ coniicit et ἀπώ-

λεσAN, at tu scribe ὅσ ἂν μὴ συνενέγκῃ. Accentus gravis librario visus ut saepe alibi syllabae -ον esse compendium».

ἠδί-ἤδιON. Σουίδ. «Περίθετος: προσωπεῖον. Ἀριστοφάνης· *ἤδιον* μὲν οὖν κεφαλὴ περίθετος, ἣν ἐγὼ νύκτωρ φορῶ». Ὁ Ἀριστοφάνης εἶπεν ἐν Θεσμοφοριαζούσαις στίχ. 257 «*ἠδὶ* μὲν οὖν κεφαλὴ περίθετος». Ἀπαντᾷ δὲ καὶ ἐν ταῖς Εἰκόσι Φιλοστράτου τοῦ νεωτέρου σελ. 863 «*ἤδιον* δὲ ἡ ἀναχαιτίζουσα τὴν κόμην καὶ βλοσυρὰ σὺν ἁβρότητι αὐτίκα μάλα διελεγχθήσεται τὴν φύσιν καὶ τὸ ξὺν ἀνάγκῃ ἐπίπλαστον ἐκδῦσα τὸν Ἀχιλλέα ἐκδείξει», ὅ ἀποκατέστησεν ὑγιὲς ὁ Ἰακώψιος μεταγράψας «*ἠδὶ* δὲ ἡ ἀναχαιτίζουσα τὴν κόμην κτέ.» Ἴδε Βάστιον εἰς *Γρηγόρ. Κορ.* σελ. 331 Σχ. καὶ Σχαιφῆρον εἰς *Διον. Ἁλικ. περὶ Συνθ. Ὀνομ.* σελ. 394-5.

ἐν ἀντί-ἐναντίON. Δίων Χρυσόστ. Τόμ. Β', σελ. 113 «ἵν' αὐτῷ περιῇ *ἐναντίον πάντων* Ἕλληνι δοκεῖν τε καὶ εἶναι». Ὁ Βαλέσιος ἀνέγνω, καθὰ σημειοῦται ὁ Ῥείσκιος, «ἵν' αὐτῷ περιῇ *ἐν ἀντὶ πάντων* Ἕλληνι δοκεῖν τε καὶ εἶναι». Ἐν παρόδῳ παρατηροῦμεν ὅτι ἐγράφη πλημμελῶς καὶ *ἐναντίA* ἀντὶ τοῦ *ἐν ἀντί*. Παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ σελ. 682 εἶνε παρατεθειμένη ῥῆσις τοῦ Ἡρακλείτου ἔχουσα ὧδε· «αἱρεῦνται γὰρ *ἐναντία πάντων* οἱ ἄριστοι κλέος ἀέναον θνητῶν· οἱ δὲ πολλοὶ κεκόρηνται ὅπως κτήνεα κτέ.». Ὁ Κόβητος ἐν *Μνημοσ.* 1860, σελ. 437 μετέγραψεν «αἱρεῦνται γὰρ *ἐν ἀντὶ πάντων* οἱ ἄριστοι κλέος ἀέναον· θνητῶν δὲ πολλοὶ κτέ.» ἀποβλέψας εἰς τὸ ἐν σελ. 586 εἰρημένον ὑπὸ τοῦ Κλήμεντος «Ἡράκλειτος *ἐν ἀντὶ πάντων* κλέος ᾑρεῖτο».

πᾶν τοὐμόν-πάντ' οὐ μόνON. Λιβάν. Τόμ. Α', σελ. 622, 15 «εἰ δ' οὐκ οἴεσθέ μοι ταύτης μεταδεδόσθαι τῆς χώρας, *παντ' οὐ μόνον* ἀγνοεῖτε». Ὁ Κόβητος λέγει ἐν *Μνημοσ.* 1874, σελ. 406 «Saepissime compendium syllabae -ον accentui gravi simile omissum (ut in δέ pro δέον) aut perperam additum (ut in Πελοποννασιστίον pro Πελοποννασιστὶ) errores peperit. Libanius dixerat: *πᾶν τοὐμὸν* ἀγνοεῖτε. Felix vitium veterem crasin τοὐμόν incolumem servavit». Πρβ. καὶ *Var. Lect.* σελ. XXVII ἐκδ. β'

Ἐν τῷ κώδικι τοῦ Ἡσυχίου φέρεται «*Αἴγαρ*ON: εἴθε γάρ» ἀντὶ τοῦ *αἰ γάρ* καὶ «Ἐξεσίην: δημοσίαν *ἐκπομπήν*ON» ἀντὶ τοῦ *ἐκπομπήν* καὶ «*Κοὐχί*ON: καὶ οὐχί» ἀντὶ τοῦ *κοὐχί* καὶ «*Μεταμορ*-

φοῖΟΝ: τὴν μορφὴν ἀλλοιοῖ» ἀντὶ τοῦ *μεταμορφοῖ* καὶ «*Χάζεο τηλεΟΝ*: ἀναχώρει μακράν» ἀντὶ τοῦ *χάζεο τῆλε*. Παρατηρητέον δ' ὅτι ὁ Τούπιος ἐν *Διορθ*. Τόμ. Β', σελ. 164 ἀντὶ τοῦ *αἴγαρΟΝ* ἀνέγνω *αἲ γὰρ ΔΗ*, ὃ οὐδαμῶς ἀποδεκτόν. Κεῖται δὲ παρὰ τῷ Ἡσυχίῳ καὶ «*Χλαρόν*: κόχλαξ», περὶ οὗ γράφει ὁ Σμιδίτιος ἐν τῇ ἐκδόσει τοῦ Ἡσυχίου Τόμ. Δ', σελ. 288 «Ordo postulat χλάρ (Laconice pro χλάς, quo de cf. Bachm. Anecd. I 419, 6)». Τὴν γνώμην τοῦ Σμιδιτίου ἐγκρίνει ὁ Ἀρήνσιος ἐν *Beitr. z. Griech. u. Latein. Etym*. Μέρ. Α', σελ. 183 λέγων «Besonders beachtungswerth ist das A Bachm. 419, 6 als vulgäre Form für χλῆδος bezeugte *χλάς*, das ohne Zweifel χλαδός zu flectiren ist. Sehr gut hat M. Schmidt in der Hesychischen Glosse *χλαρόν* κόχλαξ (vor χλαρά) ein entsprechendes Laconisches χλάρ entdeckt».

Μεταβάλλει δ' ὁ Κόβητος ἐν *Var. Lect*. σελ. 444 ἐκδ. β' καὶ τὸ παρὰ Θουκυδίδῃ βιβλ. Γ', 40, 7 «νῦν ἀνταπόδοτε μὴ μαλακισθέντες πρὸς τὸ *παρΟΝ αὐτίκα*» εἰς τὸ «μὴ μαλακισθέντες πρὸς τὸ *παραυτίκα*».

Ἄξια παραθέσεως νομίζομεν τὰ ὑπὸ τοῦ Βαστίου ἐν *Comment. Palaeogr*. σελ. 770-1 γεγραμμένα. «Syllabae *ον* duplex compendium est. Nam indicatur aut lineola superscripta, quae ex regula duplo longior est accentu gravi typothetarum nostrorum — aut superscripto *ο* — *Priorem* notam saepe habuerunt pro ipso accentu gravi, ideoque syllabam *ον* neglexerunt, ubi legi eam oporteret. Sic in Phrynicho MS. reperias τινὸσ pro τὴν νόσ*ον*, δὲ pro δέ*ον*· v. Epist. p. 262. Nec raro lineola illa oculos plane fugit, scripseruntque, ut in Apollonii Lex. Homer., λείψαν pro λείψανον, λέγομεν pro λεγόμενον. v. *ibid*. p. 263. Confer quae ad *Gregor*. p. 18. et 331. dixi. E contrario syllaba *ον* vocibus passim intempestive addita est, quod accentus gravis pro nota eis tachygraghica haberetur. Sic Codex SGerm. 345. in Phrynicho dat τεμαχημένον pro τεμάχη μὲν, v. *Epist*. p. 262., et Codex Gregorii Πελοποννησίστιον pro Πελοποννησιστὶ, v. ad *Gregor*. p. 331. Eiusdem commatis est *ibid* p. 365. citatum τουτεῖον pro τουτεί. Saepe ον etiam ibi

male additum est, ubi accentus gravis non esset causa erroris. Sic factum in *οἷον*, pro οἷ, v. *Epist.* p. 208., in *ἀδεῖνον* pro ἀδεῖν, v. *ibid.* p. 263. Conf. not. ad *Gregor.* p. 332. ubi plura exempla collecta sunt».

Ἐπισυνάπτομεν τούτοις ἃ ἔγραψεν ὁ Κόβητος ἐν *Μνημοσ.* 1859, σελ. 392-3 «Mirum est fugisse Criticos vitium quo obscuratur locus p. 278. C: οὐ γὰρ ᾤμην δεῖν ζυγομαχεῖν οὐδὲ παραστρατηγεῖν εἰ μή πού τι τῶν λίαν ἐπικινδύνων ἑώρων ἢ δέον γενέσθαι παρορώμενον ἢ καὶ τὴν ἀρχὴν *μηδὲ* γενέσθαι γιγνόμενον. In Codice est μὴ δέ (cum acentu gravi) γενέσθαι, id est *μὴ δέον* γενέσθαι, quod etiam absque Codicis auxilio facile reperiri ac restitui potuisset. Compendium syllabae ον accentus gravis est, unde sexcenties factum est ut ον vel oscitanter omitteretur vel stolide pro gravi adderetur: sic δέ et δέον et alia permulta confundi solent. Sic apud Suidam v. περίθετος legitur: *ἥδιον* μὲν οὖν pro *ἡδὶ* μὲν οὖν, et apud Dionem Chrysost. II. p. 113. *ἐναντίον* πάντων pro ἓν ἀντὶ πάντων, et in Bekkeri Anecdot. p. 476, 11. ἀώριον pro ἀωρὶ. Ridicule apud Hesychium legitur *Αἴγαρον*· εἴθε γάρ, pro Αἲ γὰρ ex Homero, et in v. Ἐξεσίην non minus inepte ἐκπομπήνον pro ἐκπομπὴν. Similia passim colligas. Contra in Euripidis Rheso vs. 327. libri dant τοὐπὶ θυσέλας pro τοὐπιὸν θεοῦ σέλας. Pro πατρὶ recte *πάτριον* reponit Theod. Canterus in Var. Lectt. I. 10. Hic quoque pervulgatus scribarum error est».

Ἐν Ἀθήναις τῇ 20 Φεβρουαρίου 1895

ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΣΤ. ΚΟΝΤΟΣ

Ἐν σελ. 12, 30 ἐξαλειπτέον τὸ: καὶ
Ἐν σελ. 20, 10 γραπτέον: δὲ αὐτῶν (δ' αὐτῶν)



ΕΡΝΕΣΤΩι ΚΟΥΡΤΙΩι

Επι τηι Ογδοηκοστηι Γενεθλιωι τηι 2 Σεπτεμβριου 1894 ε. ν.

ΠΑΡΑΤΗΡΗΣΕΙΣ ΤΙΝΕΣ

ΕΙΣ ΤΟΥΣ ΕΛΛΗΝΑΣ ΤΡΑΓΙΚΟΥΣ ΠΟΙΗΤΑΣ

ΕΥΡΙΠΙΔΗΝ ΣΟΦΟΚΛΕΑ ΚΑΙ ΑΙΣΧΥΛΟΝ

Εὐριπίδ. Ἠλέκ. 413 - 414.

Κέλευε δ' αὐτὸν [τόνδ'] εἰς δόμους ἀφιγμένον
ἐλθεῖν ξένων τ' εἰς δαῖτα πορσῦναί τινα.

Πρὸς διόρθωσιν τῶν στίχων τούτων προυτάθησαν ἤδη ὑπὸ μὲν τοῦ Camper «Κέλευε δ' αὐτὸν τῶνδ' εἰς δόμους ἀφιγμένων ἐλθεῖν κεἰς δαῖτα πορσῦναί τινα», ὑπὸ δὲ τοῦ Weil «Κέλευε δ' αὐτὸν τῶνδ' ἀφιγμένων δόμους ἐλθεῖν ξένιά τ' εἰς δαῖτα πορσῦναί τινα», ὑπὸ δὲ τοῦ Heimsoeth «Τῶνδε δεῦρ' ἀφιγμένων κτλ.», ὑπὸ δὲ τοῦ Herwerden «Ἐμῶν ξένων εἰς δαῖτα κτλ.», ὑπὸ δὲ τοῦ Czwalina «Κέλευε δ' αὐτὸν δαῖτα πορσῦναί τινα ἐλθεῖν ξένων τῶνδ' εἰς δόμους ἀφιγμένων», ὁ δὲ Nauck προτιμᾷ ταύτην τοῦ τελευταίου τὴν εἰκασίαν, ἐὰν μεταβληθῇ τὸ «δαῖτα πορσῦναί τινα» εἰς «δαιτὶ πορσύναντά τι». Ἀλλ' οὐδεμία τῶν εἰκασιῶν τούτων ἐφάνη πιθανὴ καὶ ἐπιτυχής, διότι πάντες ἀνεξαιρέτως οἱ ἀσχοληθέντες περὶ τὸ χωρίον τοῦτο οὐ διεῖδον ὅτι εἶχε δύο παρεισηγμένας λέξεις, οὐ μόνον τὸ «τόνδ'» ἀλλὰ καὶ τὸ «ἀφιγμένον». Ὁ ἀμαθὴς νοθευτὴς ἀναγνοὺς τοὺς στίχους 415 - 416 ἐνόμισεν ὅτι ἔδει περιέχεσθαι ἐν τῇ πρὸς τὸν γέροντα τροφὸν κελεύσει τῆς Ἠλέκτρας καὶ τὴν ἀγγελίαν τῆς ἀφίξεως τοῦ Ὀρέστου, ὅθεν εἰσήγαγε τὸ «τόνδ' . . . ἀφιγμένον» παριδὼν ὅτι τὸ «κέλευε» (στίχ. 413) οὐκ ἠνείχετο τὴν παρεισαγωγὴν ταύτην, διότι

ἐξέλαβεν αὐτὸ ὡς σημαῖνον καί τὸ «ἀπάγγελλε», πρβλ. στίχ. 120. Ἐπειδὴ δὲ ἡ ἐν τῇ θέσει τοῦ «ἀφιγμένον» ὑπάρχουσα πρότερον φράσις, ἥτις κατὰ πᾶσαν πιθανότητα ἦν τὸ «μάλ' αὐτίκα», πρβ. στίχ. 421, οὐ συνῇδε τῇ ῥηθείσῃ μετοχῇ ἐξέβαλεν αὐτήν. Ὅτι δ' ἡ παρεισαγωγὴ ἐγένετο, ὥσπερ λέγομεν, ἀποδείκνυται καὶ ἐκ τῆς παρουσίας τοῦ «τόνδ'» ἐν τῷ κειμένῳ, ἥτις ἄλλως ἐστὶν ἀνεξήγητος.

Εὐριπίδ. Μήδ. 168 - 172.

Τροφ. Κλύεθ' οἷα λέγει κἀπιβοᾶται;
[Θέμιν εὐκταίαν Ζῆνά θ', ὃς ὅρκων
θνητοῖς ταμίας νενόμισται;]
Οὐκ ἔστιν ὅπως ἔν τινι μικρῷ
δέσποινα χόλον καταπαύσει.

Τοῦ χωρίου τούτου οἱ ἐν ἀγκύλαις δύο στίχοι σαφῶς φαίνονται παρεισηγμένοι ὑπὸ ξένης χειρός, διότι ἡ τροφὸς οὐδόλως ἔχει ἀνάγκην εἰπεῖν τῷ χορῷ ὅ τι ἡ Μήδεια λέγει καὶ ἐπιβοᾶται, ἐπειδὴ καὶ οὗτος παρὼν ἤκουσεν, ὡς ἐκείνη, τῶν λεχθέντων. Προσέτι ἡ προσκόλλησις αὐτῶν εἰς τὸν προηγούμενον στίχον περιττή ἐστι καὶ βιαία ἕνεκα τοῦ ἀναφορικοῦ «οἷα», ἔδει δ' ἐπαναλαμβάνεσθαι ἐν αὐτοῖς οὐ μόνον τὰ ἐπικληθέντα ὑπὸ τῆς Μηδείας ἀλλὰ καὶ τὰ λεχθέντα· τότε ὅμως ἀλλοία ἂν σύνταξις ἀναγκαία ἦν. Οὐκ ἐξετάζομεν δ' ἐπὶ τοῦ παρόντος εἰ καταλλήλως ἔχει τὸ περιεχόμενον αὐτῶν. Ἀπὸ τῶν χρόνων ὅμως τῶν ἐν Ἀλεξανδρείᾳ γραμματικῶν συζητεῖται διατί, ἐν ᾧ ἡ Μήδεια ἐπικαλεῖται ἐν τῷ 160 στίχῳ τὴν Θέμιν καὶ τὴν Ἄρτεμιν, ἡ τροφὸς λέγει ἐν τῷ προκειμένῳ χωρίῳ ὅτι ἐπικαλεῖται τὴν Θέμιν καὶ τὸν Ζῆνα· οἱ δὲ νεώτεροι ἐκδόται ἀντὶ τοῦ διιδεῖν ὅτι ἡ ἀσυμφωνία προέρχεται ἐκ παρεισάκτων στίχων καὶ ἀποκόψαι αὐτούς, μεταβάλλουσιν αὐθαιρέτως τὸν 160 στίχον, οὗ ἡ γνησιότης ἀποδείκνυται ἐκ τοῦ 208 στίχου· αὐτοῦ γὰρ φαίνεται σαφῶς ὅτι ἡ Μήδεια οὐκ ἐπεκαλέσατο τὴν Θέμιν καὶ τὸν Δία παρ' ἀλλήλους. Ὅσον δὲ περὶ τῆς Ἀρτέμιδος, ἐπειδὴ καὶ τοῦτο συζητεῖται, φαίνεται ὅτι ἐπικαλεῖται αὐτὴν ἡ Μήδεια ὡς τὴν θεὰν τῆς συζυγικῆς πίστεως καὶ ἁγνότητος, ἵνα τιμωρήσῃ τὴν ἀπιστίαν τοῦ αὐτῆς συζύγου Ἰάσονος. Ὁ λόγος δέ, δι' ὃν οὐ ποιεῖται μνείαν ὁ χορὸς ἐν τοῖς

στίχοις 208-212 τῆς θεᾶς ταύτης, ἐστὶν ὅτι ἐκεῖ πρόκειται περὶ ὅρκων μόνον, ὧν ἔφορος καὶ προστάτης ἐστὶν ἡ Θέμις, ἡ ἐκτελέστρια τῶν βουλῶν τοῦ Διός.

Σοφοκλ. 'Αντιγ. 1033-1038.

Ὦ πρέσβυ, πάντες, ὥστε τοξόται σκοποῦ,
τοξεύετ' ἀνδρὸς τοῦδε, κοὐδὲ μαντικῆς
ἄπρακτος ὑμῖν εἰμι, τῶν δ' ὑπαὶ γένους
ἐξημπόλημαι κἀμπεφόρτισμαι πάλαι.
Κερδαίνετ' ἐμπολᾶτε τὸν πρὸς Σάρδεων
ἤλεκτρον, εἰ βούλεσθε, καὶ τὸν Ἰνδικὸν
χρυσόν· τάφῳ δ' ἐκεῖνον οὐχὶ κρύψετε.

Ἐν τοῖς στίχοις τούτοις ὁ Κρέων ὑπαινίσσεται ἀναντιρρήτως τὴν συμβουλὴν τοῦ Τειρεσίου ὡς ἐκ δωροδοκίας δοθεῖσαν, εἰς ἣν πεισθεὶς ἐθυσίασεν ἄλλοτε τὸν υἱὸν αὐτοῦ Μεγαρέα. Ἵνα οὖν αὕτη ἡ ἔννοια ἐν τῷ κειμένῳ σαφὴς γένηται, τὸ μὲν ἀκατανόητον καὶ ἄτοπον «ἄπρακτος» ἀναγνωστέον «ἄτρωτος», ὥσπερ ὀρθῶς ἤκασεν ὁ ἡμέτερος Πάλλης, διότι οὕτως ἀποκαθίσταται ἡ σχέσις μετὰ τῆς προηγουμένης προτάσεως, ἀλλ' ἡ κυρία δυσκολία ἔγκειται ἐν τῇ φράσει «τῶν δ' ὑπαὶ γένους», ἣν αἴρει τις γράφων «τοὺς γὰρ ἐγγενεῖς». Τούτων ὁ μὲν «γὰρ» ἀναγκαιότατός ἐστιν, ἵνα αἰτιολογηθῇ διατὶ τέτρωται ὁ Κρέων καὶ ὑπὸ τῶν μάντεων, τὸ δὲ «ἐγγενεῖς», ἵνα δειχθῇ τὸ καθ' ὃ τέτρωται. Εἰσὶν δὲ «ἐγγενεῖς» τὰ τῆς οἰκογενείας αὐτοῦ μέλη. Ἰδὲ σχόλιον εἰς στίχ. 659. Περὶ δὲ τῆς συντάξεως «τοὺς ἐγγενεῖς ἐξημπόλημαι κἀμπεφόρτισμαι» πρβ. Σοφ. Αἴ. 1178 «γένους ἅπαντος ῥίζαν ἐξημημένος» καὶ Αἰσχύλ. Πέρσ. 1017-1018 «στρατὸν μὲν τοσοῦτον τάλας πέπληγμαι».

Σοφ. Τραχ. 552-555.

ἀλλ' οὐ γάρ, ὥσπερ εἶπον, ὀργαίνειν καλὸν
γυναῖκα νοῦν ἔχουσαν· ᾗ δ' ἔχω, φίλαι,
λυτήριον λύπημα, τῇδ' ὑμῖν φράσω.
Ἦν μοι παλαιὸν δῶρον ἀρχαίου κτλ.

Πρώτη εἰκασία ἐρχομένη εἰς τὸν νοῦν πρὸς διόρθωσιν τοῦ προτελευταίου τούτων τῶν στίχων ἐστὶν ἡ ἐπιτυγχανομένη διὰ τῆς μεταβολῆς τῶν λέξεων «λύπημα τῇδ'» εἰς τὰς «τῶν πημάτων», ἀλλ' ὑπάρχει ὑποψία καὶ οὐ μικρὰ ὅτι ὁ στίχος μετεσκευάσθη ὑπὸ τοῦ παρεισαγαγόντος τοὺς πέντε (1) προηγουμένους τῶν προκειμένων στίχους 547-551 καὶ ὅτι ἀρχικῶς εἶχεν ὧδε.

«ἴαμα τῶνδε πημάτων ὑμῖν φράσω».

Οἱ δ' ἀσχοληθέντες πρὸ ἐμοῦ περὶ τὴν διόρθωσιν ταύτην ἐθεώρησαν μόνον τὸ «λύπημα» δεόμενον μεταβολῆς, ὅθεν προέτειναν ἀντ' αὐτοῦ «κήλημα» (Hermann), «χλίδημα» (Wecklein), «τέχνημα» (Blaydes) κτλ. Πρβ. τοῦ αὐτοῦ δράματος στίχον 535 καὶ καὶ Ἠλέκτρας τοῦ αὐτοῦ ποιητοῦ στίχ. 875-876, καὶ ἰδὲ τὸ Βυζαντιακὸν σχόλιον εἰς τὸν παρόντα στίχον. Οὐκ ἀκατάλληλον δ' ἂν ἦν καὶ τὸ «τῆσδε πημονῆς» εἰ ἐγέγραπτο ἀντὶ τοῦ «τῶνδε πημάτων». Πρβ. στίχ. 375-377 καὶ Αἰσχύλ. Ἱκέτ. 460.

Αἰσχύλ. Πέρσ. 26-28.

τοξοδάμαντές τ' ἠδ' ἱπποβάται,
φοβεροὶ μὲν ἰδεῖν, δεινοὶ δὲ μάχην,
ψυχῆς ἐν τλήμονι δόξῃ.

Τὸν τελευταῖον τούτων τῶν στίχων ἀποβάλλομεν ὡς παρεισηγμένον. Φαίνεται ὅτι τῶν γραμματικῶν τις προσκρούσας τῇ απονεμομένῃ ὑπὸ τοῦ χοροῦ τοῖς ἡττημένοις ὑπόχοις τοῦ Ξέρξου βασιλεῦσι δεινότητι ἐν ταῖς μάχαις διενοήθη περιορίσαι αὐτήν. Κατὰ τὸν παρεμβολέα οὖν οἱ βασιλεῖς οὗτοι οὐκ ἦσαν πράγματι *δεινοὶ τὴν μάχην*, ἀλλ' ἐν τῇ τολμηρᾷ κρίσει τῆς ψυχῆς αὐτῶν, ὃ ὁ Σχολιαστὴς

(1) Οἱ πέντε οὗτοι στίχοι (547-551) ὅτι εἰσὶν ξένοι τοῦ Σοφοκλέους φαίνονται ἔκ τε τοῦ ὅτι εἰσὶν ἀνιάτως κακοσύνθετοι καὶ τοῦ ὅτι διαφωνοῦσι πρὸς τοὺς γνησίους 539-540 καὶ 545-546. Καὶ τῷ ὄντι ἐν μὲν ἐκείνοις ἡ Δηιάνειρα ἀγανακτεῖ καὶ ἀσχάλλει μὴ ἀνεχομένη δικαίως τὴν μεθ' ἑτέρας κοινωνίαν τῆς συζυγικῆς κοίτης, ἐν τούτοις δὲ τοῖς παρεισάκτοις (547-551) περὶ τούτου μὲν οὐδεμίαν ἔχει φροντίδα, φοβεῖται δὲ μὴ ἡ Ἰόλη ὡς νεωτέρα προτιμηθῇ ἑαυτῆς. Λογιστέοι δ' ἐν τοῖς ἐμβολίμοις τοῦ δράματος τούτου στίχοις καὶ οἱ 455-469 μετὰ τοῦ 544ου, περὶ ὧν λόγον ἐκτενῆ ποιησόμεθα ἐν ἄλλῃ εὐκαιρίᾳ.

τοῦ Μεδικείου ἑρμηνεύει «ἐνυποστάτῳ δοκήσει καὶ πείσματι (=ἐμπιστοσύνῃ) ψυχῆς». Ἄλλη ταύτης ἑρμηνεία τοῦ παρεισάκτου στίχου ἀδύνατός ἐστιν· εἰς μάτην δὲ ἐπειράθησαν οἱ ἄλλοι σχολιασταὶ καὶ οἱ νεώτεροι ἐκδόται οἱ μὲν ἐξαγαγεῖν ἀπ' αὐτοῦ πρόσφορόν τινα ἔννοιαν, οἱ δὲ διορθῶσαι αὐτόν. Ἡ παραδοξοτέρα ὅμως τῶν εἰκασιῶν ἐστιν ἡ τοῦ Heimsoeth, ὃς ἰδὼν μὲν τὸ «πείσματι» τοῦ σχολιαστοῦ, εὑρὼν δ' ἐν τῷ Ἡσυχίῳ τὸ «πείσῃ» ἑρμηνευόμενον δι' ἐκείνου, τουτέστιν τοῦ «πείσματι», ἐνόμισεν ὅτι ἀντὶ τοῦ «δόξῃ» ὑπῆρχεν ἐν τῷ ἐμβολίμῳ στίχῳ κατ' ἀρχὰς «πείσῃ», ὡσανεὶ ἀντὶ τοῦ «δόξῃ» ἀνεγινώσκετο ἐν αὐτῷ «πείσματι», ἀλλ' ἔχομεν τὴν λέξιν «δόξῃ», ἣν δεῖ ἐξηγήσασθαι τίνι τρόπῳ εἰσελήλυθεν εἰς αὐτό. Ἀλλ' οὐχ ὁρᾷ τις καὶ κατὰ τί εἰσαγομένου τοῦ «πείσῃ» βελτιοῦται ἡ ἔννοια. Οὐκ ὀλιγώτερον δὲ παράδοξός ἐστι καὶ ὁ τρόπος, καθ' ὃν ὁ κ. Wecklein πειρᾶται ὑποστηρίξαι αὐτὸ λέγων ὅτι ὑπὲρ τῆς εἰρημένης εἰκασίας συνηγορεῖ καὶ Ἀγαμ. 78, ἔνθα τὸ ὀρθὸν «πείσῃ» ἐξεβλήθη ὑπὸ τοῦ γλωσσήματος *χώρᾳ*. Ἀλλὰ τίς συγγένεια μεταξὺ τοῦ *χώρᾳ* ἐκείνου τοῦ στίχου καὶ τοῦ «δόξῃ» τοῦ προκειμένου; Ἀπίθανος δὲ καὶ βεβιασμένη ἐστὶ καὶ ἡ ἑρμηνεία τοῦ Σχολιαστοῦ Β, καθ' ὃν ἡ συζητουμένη φράσις σημαίνει «οὐ μόνον τῷ εἴδει φοβεροί, ἀλλὰ δόξαν πᾶσιν παρέχουσιν ὡς ἄρα δεινοὶ πρὸς τὸ μάχεσθαι ἐν καρτερίᾳ καὶ γενναιότητι ψυχῆς.»

Αἰσχύλ. Περσ. 222-228.

δεύτερον δὲ χρὴ χοὰς
γῇ τε καὶ φθιτοῖς χέασθαι· πρευμενῶς δ' αἰτοῦ τάδε
σὸν πόσιν Δαρεῖον, ὅνπερ φῂς ἰδεῖν κατ' εὐφρόνην,
ἐσθλά σοι πέμπειν τέκνῳ τε γῆς ἔνερθεν ἐς φάος,
τἄμπαλιν δὲ τῶνδε γαίᾳ κάτοχα μαυροῦσθαι σκότῳ.
Ταῦτα θυμόμαντις ὤν σοι πρευμενῶς παρήνεσα.
Εὖ δὲ πανταχῇ τελεῖν σοι τῶνδε κρίνομεν πέρι.

Καὶ ἐνταῦθα ἔχομεν στίχον παρεμβεβλημένον, τὸν τελευταῖον, ὅστις δείκνυται τοιοῦτος πρῶτον μὲν ἐκ τοῦ ὅτι εἰς τὸ «παρήνεσα» τοῦ 227 ῥητορικῶς ὁ λόγος τοῦ χοροῦ πέπαυται· δεύτερον δὲ ἐκ τῆς ἀντιφάσεως, ἥτις περιέχεται ἐν αὐτῷ πρὸς τοὺς προηγουμένους. Ἐν ἐκεί-

νοις γὰρ τοὐναντίον ὁ χορὸς ἀποφεύγει ἐπίτηδες ἐκδηλῶσαι τῇ Ἀτόσσῃ τὴν ἑαυτοῦ σκέψιν, ἵνα μὴ αὐξήσῃ ἔτι μᾶλλον τὴν ἀνησυχίαν αὐτῆς, καθάπερ ἐξάγεται ἐκ τῶν στίχων 218-219 καὶ τῆς εἰς τοὺς θεοὺς καὶ τὸν Δαρεῖον παραπομπῆς· καὶ μάλιστα ἐκ τοῦ ἐπιθέτου «θυμόμαντις», ὃ ἀναμφιβόλως μεταχειρίζεται ὁ χορός, διότι φοβεῖται μήπως διαψευσθῇ ἔπειτα ὑπὸ τῆς κακῆς τῶν πραγμάτων ἐκβάσεως, ἥντινα ὑποπτεύει. Τρίτον δὲ ἐκ τῆς κακῆς συντάξεως, διότι, ὅπως ἐστὶ συντεταγμένος, οὐ φαίνεται ποῖόν ἐστι τὸ ὑποκείμενον τοῦ «τελεῖν». Τοιαῦται δ' ἀσάφειαι οὐκ εἰσὶν ἀναντιρρήτως ἴδιαι τῶν καλῶν χρόνων τῆς Ἑλληνικῆς γλώσσης. Τελευταῖον δ' ἐκ τῆς ἀποκρίσεως τῆς Ἀτόσσης στίχ. 229-232, ἐξ ἧς ἐξάγεται ὅτι ἐκείνη ἐκλαμβάνει ὡς εὐνοϊκὴν τὴν περὶ τοῦ ὀνείρου κρίσιν τοῦ χοροῦ, μόνον, διότι παρέχει αὐτῇ τὴν ἐλπίδα ὅτι διὰ τῶν συμβουλευθεισῶν προσευχῶν καὶ θυσιῶν ἀποτραπήσονται τὰ προμηνυόμενα κακά. Τὸ δὲ «τήνδ' ἐκύρωσας φάτιν» τοῦ 230 στίχου ἀναφέρεται εἰς τὴν συμβουλὴν τοῦ χοροῦ, καὶ οὐχὶ εἰς τὴν κακὴν ἔκβασιν, ὡς παρερμηνεύων λέγει ὁ κ. Wecklein, οὗ ἡ παρερμηνεία καταφανὴς γίνεται καὶ ἐκ τῆς ἑρμηνείας, ἣν αὐτὸς ἐκεῖνος δίδωσι τῆς αὐτῆς φράσεως ἐν στίχῳ 524. Φαίνεται δ' ὅτι ὁ παρεμβολεὺς ὡρμήθη εἰς τὸ παρεμβαλεῖν τὸν συζητούμενον στίχον ἐκ πνεύματος χριστιανικῆς εὐσεβείας, ὡς ὁ τοὺς 842-844 ἐν τῷ αὐτῷ δράματι εἰσαγαγών· ἐπειδὴ κατὰ τὰ σχόλια, ἐν οἷς ἐνίοτε οἱ Βυζάντιοι παρεμβολεῖς ἐφρόντιζον ἀφιέναι ἑρμηνείας τῶν ὑφ' αὐτῶν εἰσαγομένων φράσεων καὶ στίχων, ὑποκείμενον τοῦ «τελεῖν» ἐστιν ὁ Δαρεῖος καὶ οἱ θεοί. Ἴσως ὅμως ἦλθεν αὐτῷ ἡ ἰδέα τῆς παρεμβολῆς ταύτης καὶ ἐκ τῆς περιεχομένης ἐν τῷ στίχῳ 523 ἐπιπλήξεως «ὑμεῖς δὲ φαύλως αὔτ' ἄγαν ἐκρίνατε», ἣν οὐχ ηὗρεν ἀρκούντως δικαιολογουμένην ἐκ τοῦ περιεχομένου τῶν στίχων 218-227. Ἀλλ' ἡ βασίλισσα ἀποτείνει ἐκεῖ τὴν μομφὴν ταύτην τῷ χορῷ ἁπλῶς διότι οὐκ εἶπε κρίνων ὅτι τὰ κακὰ ἦσαν ἤδη διαπεπραγμένα, ὡς σαφῶς ὑπὸ τοῦ ὀνείρου καὶ τοῦ θείου σημείου ἐδηλοῦντο, ἀλλὰ συμβουλεύων τὰς προσευχὰς καὶ τὰς προσφορὰς ἐνεποίησεν αὐτῇ τὴν ἰδέαν ὅτι οὐκ ἦσαν τετελεσμένα καὶ ἠδύναντο ἔτι ἀποτραπῆναι.

Αἰσχύλ. Πέρσ. 238-243.

Ἀτ. Ὧδέ τις πάρεστιν αὐτοῖς ἀνδροπλήθεια στρατοῦ;

Χορ. Καὶ στρατὸς τοιοῦτος ἔρξας πολλὰ δὴ Μήδους κακά.
Ἄτ. Καὶ τί πρὸς τούτοισιν ἄλλο; πλοῦτος ἐξαρκὴς δόμοις;
Χορ. Ἀργύρου πηγή τις αὐτοῖς ἐστι, θησαυρὸς χθονός.
Ἄτ. Πότερα γὰρ τοξουλκὸς αἰχμὴ διὰ χερὸς αὐτοῖς πρέπει;
Χορ. Οὐδαμῶς· ἔγχη σταδαῖα καὶ φεράσπιδες σαγαί.

Οἱ λόγοι, οἵτινες ἔπεισαν ἡμᾶς ὅτι οἱ ἀνωτέρω παρατιθέμενοι στίχοι εἰσὶ παρέμβλητοι, εἰσὶν οἵδε. Ἐν πρώτοις ἡ ἐρώτησις τοῦ πρώτου αὐτῶν (238) εἰσάγεται εἰς τὸν λόγον ἀποτόμως καὶ ἀσχέτως πρὸς τὸν προηγούμενον 237. Δεύτερον δ' ἐκ τῆς δευτέρας ἐρωτήσεως «Καὶ τί πρὸς τούτοισιν ἄλλο» φαίνεται ὅτι ὁ χορὸς εἶπεν ἤδη ὅτι οἱ Ἀθηναῖοι ἦσαν κάτοχοι καὶ πολυπληθοῦς καὶ ἀνδρείου στρατοῦ· ἀλλὰ πολυπληθῆ γε ὁ Αἰσχύλος οὐκ ἠδύνατο καλέσαι τὸν Ἀθηναϊκὸν στρατόν. Ὁ κ. Wecklein (1), ἵνα ἐκποδὼν ποιήσηται τὴν πολυπλήθειαν ταύτην, ἐδέξατο τὴν διόρθωσιν τοῦ Kock, ὅστις μεταβάλλει τὸν «Καὶ» τοῦ 239 στίχου εἰς «Ναί»· ἀλλ' ἡ μεταβολὴ αὕτη, δι' ἧς ἀποφεύγεται δῆθεν ἡ ἀπόκρισις περὶ τῆς πολυπληθείας, οὐκ ἐπιτρέπεται ὑπὸ τῆς ἐρωτήσεως «Καὶ τί πρὸς τούτοισιν ἄλλο» τοῦ ἑπομένου στίχου. Ἀληθὲς μέν ἐστιν ὅτι πρὸς ἄρσιν καὶ τῆς δυσκολίας ταύτης, ὁ κ. Wecklein ἀκολουθῶν τῷ Trendelenburg μετέθηκε τοῦτον (240) σὺν τῷ ἑπομένῳ 241 μετὰ τὸν 243. Ἡ μετάθεσις ὅμως αὕτη οὐκ ἔστιν συγχωρητή, ἐπειδὴ ἐν τῇ φράσει «καὶ τί πρὸς τούτοισιν ἄλλο» ἐξυπακούεται τὸ «πάρεστιν αὐτοῖς», ὡς δείκνυται ἐκ τοῦ 241 στίχου· ἐν ᾧ, ὅταν μετατεθῇ ὁ τὴν ῥηθεῖσαν φράσιν περιέχων στίχος μετὰ τὸν 243, ὑπονοηθήσεται ἐν αὐτῇ ἡ ἔλλειψις «διὰ χερὸς αὐτοῖς πρέπει», ὃ ἄτοπον. Ἀλλ' ἐκτὸς τοῦ ἀτόπου τῆς πολυπληθείας, ἥτις προσγίνεται διὰ τῶν στίχων 238-239 τῷ Ἀθηναϊκῷ στρατῷ, κεῖται περιττῶς ἐν αὐτοῖς καὶ ἡ φράσις «ἔρξας πολλὰ δὴ Μήδους κακά», διότι ἡ πληροφορία αὕτη σχεδὸν ὁμοίως ἐκπεφρασμένη περιέχεται ἐν τῷ γνησίῳ στίχῳ 247. Ὅτι δ' ἐν τούτοις αὕτη κεῖται νόθως, δείκνυται ἐκ τοῦ ὅτι ἡ Ἄτοσσα ἀκούει αὐτῆς ἀπαθῶς καὶ ὑπ' οὐδεμιᾶς, ὡς ἐν ἐκείνῳ, τῷ 247, καταλαμβάνεται ἀνησυχίας περὶ τῆς ἐκβάσεως τῆς ἐκστρατείας. Ἀποβληθέντων δὲ τῶν 238-239

(1) Ἐν τόμῳ τετάρτῳ τῆς Ζωγραφείου Βιβλιοθήκης, σελ. 129 καὶ 267.

συναποβάλλονται καὶ οἱ ἑπόμενοι δύο 240-241, ὡς ἓν μετ' αὐτῶν σῶμα ποιοῦντες. Οἱ ἀκόλουθοι δὲ δύο 242-243 ὅτι εἰσὶν παρείσακτοι ἀποδείκνυται ἐκ τοῦ πρώτου αὐτῶν, διότι καὶ ἄμετρός ἐστι καὶ ἔχει τὸν σύνδεσμον «γὰρ» ἀδικαιολόγητον καὶ ὅταν ἔτι τεθῇ μετὰ τὸν 239. Οὐ φαίνεται δὲ διόρθωσίς τις τῶν ἀνωμαλιῶν τοῦ στίχου τούτου δυνατή· εἰς μάτην δ' ὁ κ. Wecklein ἠθέλησεν ἐξορίσαι ἐκ τῆς ἑαυτοῦ ἐκδόσεως τὴν τοῦ μέτρου δεξάμενος τὴν εἰκασίαν τοῦ Enger, διότι οὔτε τὸ «λαοῖς» τούτου, οὔτε ἄλλη τις μεταβολὴ ἐδυνήθη ἀντικαταστῆσαι τὸ μόνον κατάλληλον ὡς πρὸς τὴν ἔννοιαν «αὐτοῖς» τῶν χειρογράφων. Τελευταία δ' ἀπόδειξις ὅτι ἅπαντες οὗτοι οἱ ἓξ στίχοι εἰσὶν ἐμβόλιμοι, ἐστὶν ὅτι ἀφαιρουμένων, ἀντὶ τοῦ ἐπελθεῖν εἰς τὸ κείμενον διατάραξίν τινα, τοὐναντίον κανονικώτατον γίνεται ἀποκαθισταμένης τῆς τε λογικῆς καὶ γραμματικῆς συνεχείας. Μετὰ γὰρ τὸ «πᾶσα . . . . γένοιτ' ἂν Ἑλλὰς βασιλέως ὑπήκοος» φυσικῶς ἔρχεται εἰς τὴν σκέψιν ἡ ἐρώτησις τοῦ 244 στίχου «τίς δὲ ποιμάνωρ ἔπεστι κἀπιδεσπόζει στρατῷ», ἥτις συμφώνως τοῖς κανόσι τοῦ ἕλληνος λόγου συνάπτεται μετ' ἐκείνου διὰ τοῦ συνδέσμου «δέ». Ἐπισημειωτέον δ' ὅτι ἡ Ἄτοσσα, εἰ ἐβούλετο ποιήσασθαι τὰς περιεχομένας ἐν τοῖς ἐμβολίμοις στίχοις ἐρωτήσεις, ὤφειλεν ποιήσασθαι αὐτὰς πρὸ τοῦ 236 στίχου.

Αἰσχύλ. Πέρσ. 332-333.

Τοιῶνδ' ἀρχόντων ὑπεμνήσθην πέρι·
πολλῶν παρόντων ὀλίγ' ἀπαγγέλλω κακά.

Καὶ οὗτοι οἱ στίχοι οὐκ εἰσιν τῆς χειρὸς τοῦ Αἰσχύλου, ἅτε ὄντες καὶ περιττοὶ καὶ κακοσύνθετοι. Καὶ περιττοὶ μέν εἰσιν, διότι ὁ ἄγγελος οὐ καταπαύει ἐν τῷ μέρει τούτῳ αὐτὸς τὸν λόγον αὐτοῦ, ἀλλ' ἡ βασίλισσα μὴ δυναμένη πλέον ἀκούειν ἀπαγγελλόμενα τοιαῦτα κακὰ καὶ αἴσχη τῶν Περσῶν, ὃ καταφαίνεται ἐκ τῆς φράσεως «ἀτὰρ φράσον μοι τοῦτ' ἀναστρέψας πάλιν» στίχ. 336. Κακοσύνθετοι δὲ, διότι ὁ πρῶτος αὐτῶν χωλαίνει μετρικῶς καὶ ἔχει ἀκαταλλήλως κείμενον τὸ «τοιῶνδε», ὁ δὲ δεύτερος, διότι ἐστὶν ἀσύνδετος μετὰ τοῦ πρώτου ἀδικαιολογήτως. Περὶ τοῦ ἐναντίου βεβαίως οὐδένα πείθει ὁ κ. Wecklein παραπέμπων εἰς 391 στίχον, ὃν φθείρει

λίαν ἀνελληνίστως. Ματαιοπονία δ' ἐστὶ μεγάλη τὸ θέλειν διορθῶσαι αὐτούς, ἐπειδὴ ἔχουσι τὰ θεμέλια, ὡς οἱ πλεῖστοι τῶν ὑπὸ Βυζαντινῶν χαλκευθέντων, σαθρά. Οὐδὲ τὸ αὐθαίρετον «τοιῶνδ' ἄρ' ὄντων τῶνδ' ὑπεμνήσθην πέρι» τοῦ κ. Wecklein ἐστὶ μᾶλλον ἀποδεκτὸν τῶν ὑπ' ἄλλων προταθεισῶν εἰκασιῶν. Ὁ παρεισάκτης φαίνεται μὴ ἐννοήσας ὅτι ὁ Ἄγγελος διακόπτεται εἰς τὸν 331 στίχον ὑπὸ τῆς Ἀτόσσης ἐνόμισεν ὅτι ἔλλειπε τὸ τέλος τοῦ λόγου αὐτοῦ, ὅθεν εἰσήγαγεν εἰς τὸ κείμενον τοὺς προκειμένους στίχους. Προσθετέον δὲ τοῖς ἀνωτέρω λόγοις ὅτι καὶ τὸ «ὑπεμνήσθην» οὐ δοκεῖ τῶν πολὺ προσφόρων λέξεων ἐν τῷ στόματι τοῦ ἀγγέλου.

Αἰσχύλ. Πέρσ. 350.

Θεοὶ πόλιν σῴζουσι Παλλάδος θεᾶς.

Καλὸς μὲν ὁ στίχος ὅδε καὶ γλυκὺς τοῖς Ἕλλησιν καὶ τοῖς φιλέλλησιν, ἀλλ' ἀτυχῶς παρείσακτος· ὃ φαίνεται πρῶτον μὲν ἐκ τοῦ ὅτι ἐστὶν ἄσχετος πρὸς τοὺς προηγουμένους, διότι ἐν ἐκείνοις ὁ λόγος οὐκ ἔστιν περὶ τῶν Ἀθηνῶν καὶ τῆς προστασίας αὐτῶν ὑπὸ τῶν θεῶν, ἀλλὰ περὶ τοῦ συμμαχικοῦ τῶν Ἑλλήνων στόλου καὶ τῆς Σαλαμινίας μάχης. Καὶ εἰ προέκειτο ἔτι περὶ τῶν Ἀθηναίων μόνον, μετὰ τὸ «δαίμων τις κατέφθειρε στρατὸν» τοῦ 348 στίχου περιττὸς ἂν ἦν. Δεύτερον δὲ ἐκ τοῦ ἀκολουθοῦντος αὐτῷ στίχου 351· διότι, εἰ ἀπ' ἀρχῆς ὑπῆρχε τὸ «Θεοὶ πόλιν σῴζουσι Παλλάδος θεᾶς», πῶς ἔπειτα ἠδύνατο ἐρωτᾶν ἡ Ἄτοσσα εἰ «ἔτ' ἄρ' Ἀθηνῶν ἔστ' ἀπόρθητος πόλις;» Τοιαύτη ἐρώτησις παράλογος ἂν ἦν, καὶ ἡ ἀπόκρισις (στίχ. 352) εἰς ταύτην τὴν ἐρώτησιν ἀπέβαλλεν ἂν αὐτῆς πᾶσαν τὴν σημασίαν. Οὐ δυνατὸν δὲ μετατοπίσαι αὐτόν, ὥς τινες ποιοῦσιν, ἄλλοσέ που. Πρὸς δὲ τούτοις καὶ ἀσύνδετός ἐστιν ἀδικαιολογήτως. Ὁ δὲ παρεμβολεὺς ἦν φιλαθήναιος καὶ συνέλαβε τὴν ἰδέαν τῆς παρεμβολῆς ἀναγινώσκων τοὺς στίχους 351-352.

Αἰσχύλ. Πέρσ. 364-374.

Ὁ δ' εὐθὺς (ὁ Ξέρξης) ὡς ἤκουσεν, οὐ ξυνεὶς δόλον
Ἕλληνος ἀνδρὸς (τοῦ Σικίννου) οὐδὲ τὸν θεῶν φθόνον,
πᾶσιν προφωνεῖ τόνδε ναυάρχοις λόγον·

εὖτ' ἂν φλέγων ἀκτῖσιν ἥλιος χθόνα
λήξῃ, κνέφας δὲ τέμενος αἰθέρος λάβῃ,
τάξαι νεῶν στῖφος μὲν ἐν στοίχοις τρισὶν
ἔκπλους φυλάσσειν καὶ πόρους ἁλιρρόθους,
ἄλλας δὲ κύκλῳ νῆσον Αἴαντος πέριξ·
ὡς εἰ μόρον φευξοίαθ' Ἕλληνες κακόν,
ναυσὶν κρυφαίως δρασμὸν εὑρόντες τινά,
πᾶσι στέρεσθαι κρατὸς ἦν προκείμενον.

Τῶν στίχων 370 - 371 τοῦ χωρίου τούτου ὁ κ. Wecklein ἑπόμενος τῷ Köchly μεταλλάσσει τὴν τάξιν γράφων 371 - 370, λόγον δὲ δίδωσι τόνδε (Ζωγρ. Βιβλ. Τ. 4, σελ. 274)· «Ἐκ τοῦ παραδεδομένου κειμένου οὐ μανθάνομεν τί ἔργον εἶχον αἱ περὶ τὴν νῆσον ταχθεῖσαι νῆες. Ἄνευ νεῶν οὐκ ἠδύναντο οἱ Ἕλληνες φυγεῖν ἐκ τῆς Σαλαμῖνος, αἱ δὲ νῆες ἦσαν συνηθροισμέναι ἐν τῷ στενῷ, εἰ δὲ οἱ ἔκπλοι ἐντεῦθεν ἦσαν κατειλημμένοι φυλασσόμενοι, τότε ἡ κύκλῳ τῆς νήσου παράταξις οὐδένα σκοπὸν εἶχεν». Πρῶτον μὲν παρατηροῦμεν ὅτι διὰ τῆς μεταθέσεως ταύτης οὐδόλως ἡ νομιζομένη δυσκολία αἴρεται, ἀλλὰ τοὐναντίον καὶ παράλογοι φράσεις καὶ βίαιαι συντάξεις γεννῶνται. Καὶ τῷ ὄντι, εἰ καὶ τὸ στῖφος τῶν νεῶν καὶ αἱ ἄλλαι ἕνα σκοπὸν παρατάξεως εἶχον, οὐχ ὁρᾷ τις διότι ὁ ποιητὴς οὐκ εἴρηκεν ἁπλῶς, ὅτι ἅπασαι αἱ νῆες ἐτάχθησαν φυλάσσειν τοὺς πόρους. Τίς δὲ ἡ χρεία τῆς ἀντιθετικῆς διαιρέσεως τοῦ ὅλου; Ἔπειτα δὲ μετατιθεμένων τῶν στίχων 370 - 371, ὁ 369 ἀπόλλυσι τὸν τοπικὸν αὐτοῦ διορισμόν, ὃς ἀναγκαῖός ἐστι διὰ τὰς ἀντιθέσεις «μὲν — δέ». Προσέτι δέ, εἰ καὶ συντακτικῶς ὁ τελικὸς διορισμὸς «ἔκπλους φυλάσσειν καὶ πόρους ἁλιρρόθους» δυσκόλως δύναται ἀποδοθῆναι μετὰ τὴν μετάθεσιν καὶ εἰς τὸ «νεῶν στῖφος», οὐ παράλογόν ἐστι τὸ θέλειν πρὸς τὸ φυλάξαι τοὺς πόρους καὶ τοὺς ἐξ αὐτῶν ἔκπλους τάττειν ναῦς πέριξ τῆς Σαλαμῖνος ἐν κύκλῳ; Ἐν ᾧ ὡς παραδεδομένοι εἰσὶν οἱ στίχοι ἔχουσι κάλλιστα καὶ κάλλιστα νοοῦνται ὑπονοουμένου ἔξωθεν εἰς τὸν 371 οὐ μόνον τοῦ «τάξαι» ἀλλὰ καὶ τοῦ «φυλάσσειν», ὡς ὁ Σχολιαστὴς Β σημειοῖ. Σκοπὸς δὲ τοῦ Ξέρξου τάττοντος ναῦς περὶ τὴν Σαλαμῖνα, ὡς φαίνεται ἐκ τῶν στίχων 372 - 373 καὶ τῶν ἀκολούθων λόγων τοῦ Ἡροδότου (VIII, 76) «Τῶνδε εἵνεκα ἀνῆγον

τὰς νέας, ἵνα δὴ τοῖς Ἕλλησι μηδὲ φυγεῖν ἐξῇ, ἀλλ' ἀπολαμφθέντες ἐν τῇ Σαλαμῖνι δοῖεν τίσιν τῶν ἐπ' Ἀρτεμισίῳ ἀγωνισμάτων», ἣν μηδένα τῶν Ἑλλήνων (πρβ. καὶ Πλούταρ. Θεμ. XII) δυνηθῆναι ἐκφυγεῖν μήτε ἀπὸ τῆς ἐν τῷ Σαρωνικῷ κόλπῳ παραλίας, μήτε διὰ τοῦ μεταξὺ τῆς Μεγαρίδος καὶ αὐτῆς στενοῦ. Καὶ γὰρ εἰ μὴ ἐφυλάσσετο ἡ κατὰ τὸν Σαρωνικὸν κόλπον παραλία τῆς Σαλαμῖνος, πολλοὶ τῶν Ἑλλήνων μαχητῶν ἠδύναντο σὺν εὐκολίᾳ, ἐντὸς τὸ πολὺ ἡμισείας ὥρας, ἀπὸ τῆς ἐν τοῖς πόροις παραλίας ἀφικέσθαι εἰς αὐτὴν καὶ ἐκφυγεῖν ἐπιβαίνοντες λέμβων καὶ ἄλλων μικρῶν πλοιαρίων· εἰ μὴ ὑπῆρχον δ' ἐχθρικὰ πλοῖα φράττοντα τὸ μεταξὺ Μεγαρίδος καὶ τῆς νήσου στενόν, ὅπου ὕστερον ἐκτίσθη τὸ φρούριον Βούδωρον, ἦν δυνατὸν πολλὰ Ἑλληνικὰ πλοῖα παραβιάζοντα τοὺς ἐχθρικοὺς στοίχους ἐκφυγεῖν δι' αὐτοῦ. Ὅτι δ' ἦν ἅπασα ἡ Σαλαμὶς περιεζωσμένη, ἐξάγεται καὶ ἐκ τῶν φράσεων τοῦ Ἀριστείδου, ἃς εἶπεν (Ἡροδ. VIII, 79 καὶ 81) ἀπαγγέλλων τὴν κύκλωσιν· ἐρχόμενος γὰρ αὐτὸς ἐξ Αἰγίνης πῶς ἐδύνατο γινώσκειν ἐξ αὐτοψίας (Ἡρόδ. VIII, 79) ὅ τι συνέβαινεν ἔσω τοῦ Ἐλευσινιακοῦ κόλπου; Κυρίως γε ἐν τῇ κινήσει, ἣν ὁ Αἰσχύλος ἀναγράφει ἐν τῷ 371 στ., περιλαμβάνεται ἡ κατάληψις τοῦ μεταξὺ Μεγαρίδος καὶ τῆς νήσου Σαλαμῖνος στενοῦ διὰ τῶν διακοσίων Αἰγυπτιακῶν πλοίων, περὶ ἧς λόγον ποιεῖται ὁ Διόδωρος (ΙΑ', 17) ἀρυσάμενος τὴν εἴδησιν ἐκ τοῦ Ἐφόρου, ἀλλ' ὁ Γρότιος (Ἱστορ. Ἑλλ. Τ. IV, σελ. 475-476. Ἔκδ. Λονδίνου 1884) θεωρεῖ αὐτὴν ἀνωφελῆ καὶ ἀπίθανον. Τὰ ἐπιχειρήματα ὅμως αὐτοῦ οὐ φαίνονται πολὺ ἰσχυρά. Πρῶτον μὲν εἰ ὁ Ἡρόδοτος μὴ ποιεῖται μνείαν τῆς ῥηθείσης καταλήψεως, δυνατὸν ὅμως γεγονέναι αὐτήν· ὡς γὰρ γνωστὸν ὁ ἱστορικὸς οὗτος καὶ συντομώτατός ἐστι καὶ λίαν ἀσαφὴς ἐν τῇ ἀναγραφῇ τῆς κινήσεως τοῦ Περσικοῦ στόλου τῆς διαταχθείσης ὑπὸ τοῦ Ξέρξου εὐθὺς μετὰ τὴν ἄφιξιν τοῦ Σικίννου ἐκ τοῦ στρατοπέδου τῶν Ἑλλήνων. Οὐκ ἦν δ' ἀνωφελὴς ἡ τοποθέτησις πλοίων κατ' ἐκεῖνο τῆς θαλάσσης τὸ μέρος, διότι δυνατὸν ἦν, ὡς ἤδη εἴπομεν, καὶ πρὸ τοῦ συντελεσθῆναι τὴν ἐντὸς τῶν πόρων κύκλωσιν διαφυγεῖν δι' αὐτοῦ τὰς Ἑλληνικὰς ναῦς, καὶ μετὰ τὴν κύκλωσιν οὐκ ὀλίγας αὐτῶν διασπώσας τὴν ἅλυσιν τῶν Περσικῶν πλοίων· ἴσως δ' ἐτάχθησαν αὐτοῦ καὶ ἵνα μή τις ἐκεῖθεν ἔλθοι βοήθεια τοῖς Ἕλλησι κατὰ τὸν ἀγῶνα. Οὐδαμοῦ δὲ τοῦ Ἡροδότου λέγεται ὅτι τὰ Αἰγυπτιακὰ πλοῖα ἔλαβον

ἐνεργὸν μέρος ἐν τῇ Σαλαμινίᾳ μάχῃ· ἐκ γὰρ τοῦ χωρίου Ἡρόδ. VIII, 100, ἐν ᾧ ὁ Ἄγγλος ἱστορικὸς εὑρίσκει ἀπόδειξιν περὶ τούτου, οὐδὲν ἄλλο συνάγεται, ὅταν τις παραβάλῃ αὐτὸ πρὸς τὸ Ἡροδ. VIII, 68, ἢ ὅτι ὁ τοῦ Ξέρξου στόλος, ἅτε μὴ συγκείμενος ἐκ Περσῶν οὐκ ἐξετέλεσε τὸ ἑαυτοῦ καθῆκον. Ἀλλὰ καὶ κατὰ γράμμα ἐὰν λάβωμεν αὐτό, ὅτι δηλ. οἱ Αἰγύπτιοι ἐδείχθησαν «κακοὶ» κατὰ τὴν ναυμαχίαν, οὐκ ἐσμὲν ἠναγκασμένοι παραδέξασθαι ὅτι ἐπολέμησαν, διότι «κακοὶ» ἠδύναντο δειχθῆναι καὶ φεύγοντες ἀπὸ τοῦ στενοῦ, ὅπου ἐτάχθησαν, καὶ μὴ σπεύδοντες εἰς βοήθειαν τοῦ ἐντὸς τῶν πόρων μαχομένου Περσικοῦ στόλου. Καὶ ὁ πολυμαθὴς δὲ καθηγητὴς Γεώργιος Rawlinson (History of Herodotus Vol. IV, σελ. 317) οὐκ ἀνωφελῆ ἡγεῖται τὴν κατάληψιν τοῦ ῥηθέντος στενοῦ, ἀλλ' ἐπιπροστίθησιν ὅτι ἴσως οὐκ ἐγένετο διὰ πάντων τῶν Αἰγυπτιακῶν πλοίων. Ἀλλ' ὅπως ἂν ἔχῃ ἡ ἀκρίβεια περὶ τῆς καταλήψεως ταύτης, οὐ δύναταί τις ἀπορρῖψαι τὴν σαφῆ μαρτυρίαν τοῦ Αἰσχύλου περὶ παρατάξεως πλοίων περὶ τὴν Σαλαμῖνα· καὶ παρὼν γὰρ ἦν ἐν τῇ Σαλαμινίᾳ μάχῃ καὶ οἷος γινώσκειν τὰ κατ' αὐτὴν κάλλιον τοῦ μεταγενεστέρου Ἡροδότου, καὶ οὐδένα εἶχε λόγον ἐφευρίσκειν ἀνύπαρκτα πράγματα, καὶ λέγειν αὐτὰ ἐνώπιον τῶν Ἀθηναίων, οἳ ἐγίνωσκον, ὅσον ἐκεῖνος τὴν ἀλήθειαν.

Αἰσχύλ. Πέρσ. 483 - 484.

Ναῶν δὲ ταγοὶ τῶν λελειμμένων σύδην
κατ' οὖρον οὐκ εὔκοσμον αἴρονται φυγήν.

Καὶ ἐνταῦθα εὑρισκόμεθα πρὸ παρεισάκτων στίχων. Ὅτι δ' εἰσὶ παρείσακτοι ἀποδείκνυνται πρῶτον μὲν ἐκ τοῦ ὅτι εἰσὶν ἄσχετοι πρὸς τὴν ἐρώτησιν τῆς Ἀτόσσης, διότι ἡ βασίλισσα αὕτη ἐρωτᾷ μόνον περὶ τοῦ πεζοῦ στρατοῦ, ἐπειδὴ περὶ τοῦ ναυτικοῦ ἤκουσεν ἤδη ὅτι κατεστράφη ἐντελῶς· δεύτερον δέ, διότι ὁ σύνδεσμος «δὲ» τοῦ πρώτου αὐτῶν οὐ δικαιολογεῖται ἕνεκα τῆς ἀντιθέσεως, ἥτις ἀπαιτεῖται ἀναγκαίως ὑπὸ τοῦ «δὲ» τοῦ γνησίου 485 στίχου «στρατὸς δ' ὁ λοιπὸς κτλ.». Ὁ δὲ κ. Wecklein μὴ ὑποπτεύων ὅτι εἰσὶν παρέμβλητοι βούλεται θεραπεῦσαι αὐτοὺς μεταβάλλων κατὰ τὸν Robortelli τὸν «δὲ» τοῦ πρώτου εἰς «γὲ», ἀλλ' ὁ «γὲ» βεβαίως τότε μόνον ἦν ἂν δεδικαιολογημένος, εἰ ἡ Ἄτοσσα ἠρώτα περὶ τῶν πλοίων.

Ἐκτὸς δὲ τούτου τοῦ λόγου, δι' ὃν ἀπρόσδεκτός ἐστιν, οὐκ ἔστιν καὶ ἱκανὸς δεῖξαι τὴν ἀντίθεσιν πρὸς τὸν «δὲ» τοῦ 485 στίχου. Αἰτία δὲ τῆς παρεμβολῆς τῆς προκειμένης φαίνεται ὅτι ὑπῆρξεν ἡ ἐσφαλμένη γραφὴ τοῦ «ναῶν οἳ» καὶ τοῦ «τούσδε» τῶν στίχων 481-482, διότι ὁ νοθευτὴς ἀναγνοὺς μὲν «ναῶν αἳ» καὶ «τάςδε», ὡς πάντα τὰ χειρόγραφα ἐσφαλμένως φέρουσιν, ἰδὼν δ' ὅτι λόγος ἐν τῇ ἀποκρίσει τοῦ ἀγγέλου οὐκ ἐγίνετο περὶ τῶν διασωθεισῶν ἐκ τῆς ναυμαχίας νεῶν, ὑπέθηκεν ὅτι ἔλειπον στίχοι τινὲς περιλαμβάνοντες περὶ αὐτῶν, ὅθεν εἰσήγαγε τοὺς προκειμένους δύο. Τὸ σχόλιον δὲ «οὗτος ὁ σύνδεσμος (ὁ *δὲ*) συνάφειά ἐστι πρὸς τὴν ἄνω διήγησιν αὐτοῦ τοῦ ἀγγέλου, εἰ καὶ διὰ μέσου ἀπεκλαύσατο ἡ Ἄτοσσα τὴν τῶν Περσῶν δυστυχίαν» φαίνεται ὅτι ἀνῆκεν κατ' ἀρχὰς οὐ τῷ συνδέσμῳ «δὲ» τοῦ πρώτου τῶν ἐμβολίμων ἀλλὰ τῷ «δὲ» τοῦ γνησίου 485 στίχου· ἀλλὰ καὶ εἰ μὴ ἀνῆκε τούτῳ δύναται ἀπὸ τοῦ νῦν ἀνήκειν ἄνευ διαμφισβητήσεως καὶ φόβου τινὸς ἐκ τῶν φιλολόγων.

Αἰσχύλ. Πέρσ. 768-769.

ἄλλος δ' ἐκείνου παῖς τόδ' ἔργον ἤνυσεν·
φρένες γὰρ αὐτοῦ θυμὸν ᾠακοστρόφουν.

Οἱ στίχοι οὗτοι φαίνονται ὅτι εἰσήχθησαν πρὸς πλήρωσιν τοῦ ὑπάρχοντος κενοῦ μεταξὺ τοῦ Μήδου καὶ τοῦ Δαρείου ἐν τῇ ἐξαριθμήσει τῶν βασιλέων τῆς Ἀσίας· διότι εἰ ἦσαν τῆς χειρὸς τοῦ Αἰσχύλου, ἐν τῷ πρώτῳ αὐτῶν ἀντὶ τοῦ ἀνοήτου «ἄλλος δ' ἐκείνου παῖς» ὑπῆρχεν ἂν «δεύτερος δ' ὁ παῖς ἐκείνου» ἢ «εἶτα δ' ὁ παῖς ἐκείνου». Ὅτι δὲ ταῦτα ἔδει εἶναι σύμφωνα ταῖς ἀπαιτήσεσι τοῦ μέτρου, νοεῖται οἴκοθεν. Ἔπειτα, ἵνα δικαιολογηθῇ ὁ δεύτερος τῶν παρεισηγμένων στίχων, ἔδει ὑπάρχειν ἐν τῷ πρώτῳ λέξιν τινὰ δηλοῦσαν ἀγαθὴν τοῦ παιδὸς τοῦ Μήδου βασιλείαν· ἀλλ' οὐδεμία τοιαύτη ὑπάρχει. Πῶς δὲ ὁ Αἰσχύλος ἠδύνατο ἐπαινέσαι βασιλέα, οὗ καὶ τὸ ὄνομα αὐτὸ ἠγνόει; Οὐδὲν δὲ τῶν γνωστῶν ὀνομάτων τῶν Μήδων βασιλέων δύναται εἰσχωρῆσαι εἰς τὸν ῥηθέντα στίχον. Προσέτι δὲ καὶ ἡ φράσις «ἀπ' αὐτοῦ» τοῦ 770 στίχου δείκνυσιν ὅτι οἱ ἀποβαλλόμενοι οὗτοι στίχοι οὐχ ὑπῆρχον ἐν τῷ κειμένῳ ἀπ' ἀρχῆς· ὑπαρχόντων γὰρ αὐτῶν γεννᾶται ἀμφιβολία εἰ δεῖ ἀνενεγκεῖν αὐτὴν εἰς τὸν

Μῆδον ἢ εἰς τὸν υἱὸν αὐτοῦ. Φαίνεται δ' ὅτι ὁ Αἰσχύλος οὐκ ἐγίνωσκεν ἀκριβῶς τὰ ὀνόματα καὶ τὸν ἀριθμὸν τῶν πρὸ τῶν Περσῶν ἀρξάντων τῆς Ἀσίας Μήδων βασιλέων· τὸν πρῶτον γὰρ αὐτῶν, τὸν Δηϊόκην, ὀνομάζει διὰ τοῦ ὀνόματος τοῦ Μηδικοῦ λαοῦ «Μῆδον», τὸν δὲ Δαρεῖον ὄντα πέμπτον τὴν τάξιν τίθησι τρίτον (1).

Αἰσχύλ. Πέρσ. 891-892.

Ἀντιστρ. Καὶ τὰς ἀγχιάλους
ἐκράτυνε μεσάκτους.

Αἱ λέξεις «ἀγχιάλους» καὶ «μεσάκτους» τοῦ χωρίου τούτου παρεδόθησαν ἐσφαλμένως ὑπὸ τῶν χειρογράφων. Καὶ τὴν μὲν πρώτην αὐτῶν ὀρθῶς καὶ δεδικαιολογημένως διώρθωσεν ὁ Pauw μεταβαλὼν εἰς «ἀμφιάλους», (πρβ. Ὁμήρ. Ὀδύσ. Β. 293, καὶ ἰδὲ ἐν τῷ βιβλίῳ Les Papyrus grecs. par M. M. W Brunet de Presle et E. Egger τὸν ὑπ' ἀριθ. 3 πάπυρον, ὅπου εὕρηται «ἀμφιμαχηταὶ» ἀντὶ τοῦ «ἀγχιμαχηταὶ» Ὁμ. Ἰλ. Ν, 150), ἡ δὲ δευτέρα διορθοῦται, ἐάν τις γράψῃ «παράκτους», διότι πᾶσαι αἱ ἐν τῇ ἀντιστροφῇ ταύτῃ ἀναφερόμεναι νῆσοί εἰσιν *παράκτιοι* τῆς Μικρᾶς Ἀσίας. Ὁ δὲ κ. Wecklein γράφει ἀντὶ μὲν τοῦ «τὰς ἀγχιάλους» λίαν ἀπιθάνως «νηριτοτρόφους» ὃ λαμβάνει ἐξ ἐσφαλμένου χωρίου τοῦ Ἀθηναίου (3, 86B), ἀντὶ δὲ τοῦ «μεσάκτους» τὸ ἰσοδύναμον αὐτοῦ «μετάκτους».

Αἰσχύλ. Πέρσ. 946-950.

Ἀντιστρ. 1. Χορ. Ἥσω τοι καὶ πάνδυρτον
λαοπαθέα σέβων
ἁλίτυπά τε βάρη
πόλεως γέννας πενθητῆρος,
κλάγξω δ' ἀρίδακρυν ἰαχάν.

Τοῦ χωρίου τούτου μία μόνη διόρθωσις ὑπελείπετο τῷ κ. Wec-

(1) Περὶ τῶν ἄλλοτε ὑποδειχθέντων ὑφ' ἡμῶν δέκα ὀκτὼ ἐμβολίμων στίχων τοῦ αὐτοῦ δράματος ἰδὲ τὸ ἡμέτερον πονημάτιον «Quelques remarques critiques sur les Perses d'Eschyle. Paris, 1890.

klein, τῷ τελευταίῳ τοῦ Αἰσχύλου ἐκδότῃ, ἡ τοῦ «λαοπαθέα» (στίχ. 947), ὅ, ἐπειδὴ ἔχει τὴν «λὰ» συλλαβὴν μακράν, οὐκ ἔστιν ἡ ἀρχικὴ λέξις. Ἐκεῖνος ὅμως ἀντὶ τοῦ πειραθῆναι ποιῆσαι τοῦτο παρανοήσας ὅλως τὸ χωρίον, ὡς οὐκ ὀλίγα ἄλλα τοῦ Αἰσχύλου, κατέστησεν αὐτὸ διὰ μεταβολῶν ἀδικαιολογήτων καὶ ἑρμηνειῶν αὐθαιρέτων ἐντελῶς ἀκατάληπτον. Πρῶτον μέν, ἵνα ἐκποδὼν ποιήσηται τὴν ῥηθεῖσαν μετρικὴν δυσκολίαν ἐπενόησεν ὑπόθεσίν τινα, καθ' ἣν τὸ «λαοπαθέα» οὐκ ἐσχηματίσθη ἐκ τοῦ «λαὸς» ἀλλ' ἐκ τοῦ ἐπιτατικοῦ «λὰ» (ἐν διαλύσει «λάο»), καὶ σημαίνει οὕτως «παμπαθῆ». Δεύτερον δέ, ἵνα χρήσιμον ποιήσηται τὴν νέαν ταύτην σημασίαν ἠναγκάσθη δοῦναι καὶ τῷ «βάρη» (στίχ. 948) νέαν σημασίαν λέγων ὅτι σημαίνει «τὰ πληρώματα τῶν πλοίων». Τρίτον δέ, ἵνα ἀπαλλαγῇ τοῦ «πόλεως» (στίχ. 949), ἐπειδὴ ἐνοχλητικὸν ἦν ταῖς νέαις αὐτοῦ σημασίαις, εἰσήγαγεν ἀντ' αὐτοῦ τὰ γλωσσήματα «αὖ γόον» τοῦ 950 στίχου (1)· ἃ βούλεται ὑποστυλῶσαι λέγων ὅτι οὕτως τὸ «πάνδυρτον» τοῦ 946 στίχου προσλαμβάνει τὸ ἀναγκαῖον οὐσιαστικόν, τὸ «γόον», ἐν ᾧ οὐκ ἀγνοεῖ ὅτι τὸ ῥηθὲν ἐπίθετον οὐδεμίαν ἔχει ἀνάγκην ῥητοῦ οὐσιαστικοῦ, ἐπειδὴ ὑπακούεται τὸ «αὐδὰν» τοῦ 943 στίχου. Παραλείπομεν δ' εἰπεῖν ὅτι ἔδει ἐμποδισθῆναι αὐτὸν τοῦ ποιῆσαι τὴν ἀντικατάστασιν ταύτην καὶ ὑπὸ τῆς θέσεως τῶν λέξεων, δι' ἣν τὸ «γόον» οὐ δύναται συναφθῆναι τῷ «πάνδυρτον», ἐπειδὴ ἐμπέδως γινώσκομεν ὅτι ἡ θέσις τῶν λέξεων συχνάκις οὐ λαμβάνεται (2) ὑπ' ὄψιν παρ' αὐτοῦ. Τελευταῖον δὲ λέγει ὅτι τὸ

(1) Τὸ μὲν «αὖ» κατ' ἀρχὰς ἐπεγράφη ἐπὶ τοῦ «κλάγξω δ' ἀρίδακρυν ἰαχάν», ἵνα δειχθῇ ὅτι ἡ φράσις ἐστὶν ἐπανάληψις τοῦ 941 στίχου· εἰσαχθέντος δ' αὐτοῦ εἰς τὸ ἔδαφος τοῦ κειμένου ἐγένοντο καὶ αἱ ἄλλαι μεταβολαί, δηλ. ἡ ἀποβολὴ τοῦ «ἰαχὰν» καὶ ἡ ἀντικατάστασις αὐτοῦ διὰ τοῦ «γόον», ἵνα ἐξισωθῇ ἴσως ὁ ἀριθμὸς τῶν συλλαβῶν πρὸς τὰς τοῦ ἀντιστοίχου τῆς στροφῆς στίχου 941.

(2) Ὡς π. χ. ἐν στίχ. 132 τῶν Περσῶν, ἐν ᾧ τὸ «μελισσᾶν» ἕνεκα τῆς θέσεως αὐτοῦ οὐδεμίαν μεταβολὴν ὑπέφερε, μετεβλήθη κάκιστα εἰς «μέλισσαι». Ἐν στίχ. 713 τοῦ αὐτοῦ δράματος, ἐν ᾧ τὸ «Πέρσαις» ὡς ἐκ τῆς θέσεως αὐτοῦ ἀνήκει τῷ «εὐαίωνα», διότι ἡ καλὴ καὶ ἡ κακὴ τῶν βασιλέων ζωὴ ζῆται ἐπ' ὠφελείᾳ ἢ βλάβῃ τῶν ὑπηκόων λαῶν, ἐκεῖνος συνάπτει αὐτὸ τῷ «ζηλωτὸς» τοῦ προηγουμένου στίχου. Ἐν στίχ. 121 τοῦ αὐτοῦ δράματος τὸ «τοῦτο» τῆς χειρὸς αὐτοῦ ἕνεκα τῆς θέσεως αὐτοῦ ἐστι ὑποκείμενον καὶ οὐκ ἀντικείμενον τοῦ «στένηται». Ἐν στίχῳ 589 τὸ περιττὸν «Ἁλοσύδνας» οὐ δύναται διὰ τὴν θέσιν, ἣν κατέχει, συναφθῆναι τῷ ἐπιθέτῳ «τῆς ἀμιάντου» τοῦ στίχου 581. Ἐν στίχ. 908 τὸ ἄχρηστον «παλάμαισι», ὃ εἰσήγαγεν ἀντὶ τοῦ «πολέ-

Ἐν τοῖς εἰς Δημοσθένη Σχολίοις ἀπαντᾷ σελ. 268, 21 Δινδ. «Ἤδη γὰρ ἔγνωμεν ὡς ὅτι ἐν ταῖς πομπαῖς προσωπεῖά τινες φοροῦντες ἀπέσκωπτον τοὺς ἄλλους, ὡς ἐν ἑορτῇ παίζοντες, ἐπὶ ἁμαξῶν φερόμενοι. Ὅθεν καὶ ἡ παροιμία *ἐξ ἁμάξης με ὕβριζεν*», ἐν δὲ τοῖς εἰς Ἀριστοφάνη σελ. 54, 5 Δυϐν. «Ἑορτὴ παρὰ τοῖς Ἀθηναίοις τὰ Λήναια, ἐν ᾗ μέχρι νῦν ἀγωνίζονται ποιηταὶ συγγράφοντές τινα ᾄσματα τοῦ γελασθῆναι χάριν· ὅπερ ὁ Δημοσθένης εἶπεν *ἐξ ἁμάξης*. Ἐπὶ ἁμαξῶν γὰρ οἱ ᾄδοντες καθήμενοι λέγουσί τε καὶ ᾄδουσι τὰ ποιήματα» (Πρϐ. καὶ Σουίδ. σελ. 375 α′ Βεκκ.) καὶ σελ. 95, 47 «Ἐπειδὴ τὴν τρύγα χριόμενοι, ἵνα μὴ γνώριμοι γένωνται, οὕτω τὰ ἑαυτῶν ᾖδον ποιήματα ἁμάξης (γρ. ἴσ. *ἁμάξΑΙΣ*) ἐπικαθήμενοι. Διὸ καὶ παροιμία *ὡς ἐξ ἁμάξης λαλεῖ*, ἤγουν ἀναισχύντως ὑβρίζει. Τοῦτο δὲ ἐποίουν οἱ κωμικοὶ ποιηταί», ἐν δὲ τοῖς εἰς Λουκιανὸν σελ. 185 Ἰακ. «Ἐν τῇ ἑορτῇ τῶν Διονυσίων παρὰ τοῖς Ἀθηναίοις ἐπὶ ἁμαξῶν καθήμενοι ἔσκωπτον ἀλλήλους καὶ ἐλοιδοροῦντο πολλά. Παροιμία οὖν ἐκράτησεν ἐπὶ τῶν ὑβριστικῶς χρωμένων *τὰ ἐξ ἁμάξης*». Πρϐ. σελ. 157 «Ὅλας ἁμάξας: Ἐπὶ τῶν ἄγαν ὑβριστικῶς ἀλλήλοις χρωμένων εἴρηται τοῦτο· καὶ γὰρ ἐν τοῖς Διονυσίοις ἐφ᾽ ἁμαξῶν ἀναϐαίνοντες—ἔσκωπτον ἀλλήλους, ἀφ᾽ οὗ παροιμία *τὰ ἐξ ἁμάξης*. Οὗτος οὖν, ἵν᾽ ἐνδείξηται πλέον τι ἐπὶ τῷ σκώμματι παρακολουθῆσαν τοῦ εἰωθότος, ὅλας εἶπεν ἁμάξας». Ὁ Λουκιανὸς ἐποιήσατο χρῆσιν τοῦ «*ὅλας ἁμάξας* βλασφημιῶν κατεσκέδασαν ἀλλήλων», ἵνα παραστήσῃ μέγα πλῆθος βλασφημιῶν. Πρϐ. Διογενιαν. Παροιμ. Γ′, 41 «*Ἁμαξιαῖα ῥήματα*: μεγάλα κομπάσματα». Ἴδε Μεινέκιον ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Κωμικῶν Τόμ. Δ′, σελ. 663.

Ἐν τοῖς εἰς Ἀριστοφάνη Σχολίοις σελ. 376, 46 λέγεται «Ἐπὶ τῆς ἁμάξης: Αἱ γὰρ Ἀθηναίων γυναῖκες ἐπὶ ἁμαξῶν ὀχούμεναι εἰς τὰ μεγάλα Ἐλευσίνα ἀπήρχοντο. Ὡς ἐπὶ ἁμαξῶν οὖν ὀχουμένων αὐτῶν, ἐπὰν εἰς Ἐλευσῖνα βαδίζωσιν εἰς τὰ μεγάλα μυστήρια, καὶ λοιδορουσῶν ἀλλήλας ἐν τῇ ὁδῷ, τοῦτο εἶπεν· ἔθος γὰρ ἦν αὐταῖς τοῦτο» (Πρϐ. Σουίδ. σελ. 1005 ϐ′).

Ἐν τοῖς χωρίοις ἃ ἐκ τοῦ Δημοσθένους καὶ ἄλλων ἐμνημονεύσαμεν εἶνε τεθειμένον τὸ ἑνικὸν *ἐξ ἁμάξης*-*τὰ ἐξ ἁμάξης*. Γίνεται δ᾽ ἐν τῷ Λεξικῷ τοῦ Φωτίου μνεία καὶ τοῦ κατὰ πληθυντικὸν ἀριθμὸν προε-

νηνεγμένου *τὰ ἐκ τῶν ἁμαξῶν* σελ. 565, 11 «*Τὰ ἐκ τῶν ἁμαξῶν*: ἐπὶ τῶν ἀπαρακαλύπτως σκωπτόντων· Ἀθήνησι γὰρ ἐν τῇ τῶν Χοῶν ἑορτῇ οἱ κωμάζοντες ἐπὶ τῶν ἁμαξῶν τοὺς ἀπαντῶντας ἔσκωπτόν τε καὶ ἐλοιδόρουν. Τὸ δ' αὐτὸ καὶ τοῖς Ληναίοις ἐποίουν ὕστερον».Πρβ. καὶ Σουίδ. σελ. 1005 β' «Τὰ *ἐκ τῶν ἁμαξῶν σκώμματα*: ἐπὶ τῶν ἀπαρακαλύπτως σκωπτόντων· Ἀθήνησι γὰρ κτέ.» καὶ Παροιμιογρ. Ἑλλ. Τόμ. Α', σελ. 453 «*Τὰ ἐκ τῶν ἁμαξῶν*: ἐπὶ τῶν ἀσελγέστερα σκωπτόντων τάττουσι ταύτην· Ἀθήνησι γὰρ ἐν τοῖς Διονυσίοις μεθυσθέντες κωμάζουσι, μεθ' ἡμέραν δὲ τοὺς ἀπαντῶντας σκώπτουσιν ἐφ' ἁμαξῶν καθήμενοι». Τῇ ἐκφορᾷ *τὰκ τῶν ἁμαξῶν* ἐχρήσατο ὁ Φιλήμων. Ἴδε τὴν ὑπὸ τοῦ Κοκκίου συναγωγὴν τῶν Ἀποσπασμάτων τῶν Κωμικῶν Τόμ. Β', σελ. 489.

Παρατιθέμεθα καὶ τὰ ὑπὸ τοῦ Ἁρποκρατίωνος γεγραμμένα σελ. 253, 2 «Πομπείας καὶ πομπεύειν: ἀντὶ τοῦ λοιδορίας καὶ τὸ λοιδορεῖν Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. Μεταφέρει δὲ ἀπὸ τῶν ἐν ταῖς Διονυσιακαῖς πομπαῖς ἐπὶ τῶν ἁμαξῶν λοιδορουμένων ἀλλήλοις. Μένανδρος Περινθίᾳ.

ἐπὶ τῶν ἁμαξῶν εἰσι πομπεῖαί τινες
σφόδρα λοίδοροι».

Λέγει δὲ καὶ ὁ Ἑρμογένης περὶ Μεθ. Δειν. Β' (Ῥήτ. Ἑλλ. Οὐαλζ. Τόμ. Γ', σελ. 403, 7) «Πομπεύειν ἀντὶ τοῦ κατηγορεῖν εἵλετο. Ἐν Ἀθήναις τοῖς Διονυσίοις ἐπόμπευον καὶ ἀλλήλοις διελοιδοροῦντο, καὶ τοῦτο ἐκαλεῖτο πομπεύειν» καὶ Γρηγόριος ὁ Κορίνθου ἐν τοῖς εἰς τὸ περὶ Μεθόδου Δεινότητος τοῦ Ἑρμογένους Σχολίοις (Ῥητ. Ἑλλ. Οὐαλζ. Τόμ. Ζ', σελ. 1118, 6) «Νομικὸν δὲ ὄνομα τὸ τοιοῦτον πομπεύειν. Τοῦτο λέγει Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος· καὶ ἔστι μεταφορικὸν ἀπὸ τῶν ἐν Διονυσιακαῖς πομπαῖς ἐπὶ τῶν ἁμαξῶν διαλοιδορουμένων ἀλλήλοις· ἐν Ἀθήναις γὰρ Διονυσίων ἀγομένων ἀλλήλοις διαλοιδορεῖσθαι ἔθος ἦν· καὶ τοῦτο ἔλεγον πομπεύειν» (Πρβ. καὶ σελ. 1118, 14). Ἐν τοῖς Νόμοις τοῦ Πλάτωνος κεῖται σελ. 637 α' «οὐδ' ἔστιν ὅστις ἀπαντῶν κωμάζοντί τινι μετὰ μέθης οὐκ ἂν τὴν μεγίστην δίκην εὐθὺς ἐπιθείη, καὶ οὐδ' ἂν Διονύσια πρόφασιν ἔχοντ' αὐτὸν λύσαιτο, ὥσπερ ἐν ἁμάξαις εἶδόν ποτε παρ' ὑμῖν ἐγώ· καὶ ἐν Τάραντι δὲ παρὰ τοῖς ἡμετέροις ἀποίκοις πᾶσαν ἐθεασάμην τὴν πόλιν περὶ τὰ Διονύσια μεθύουσαν».

Ἐν τοῖς Ἱππεῦσι τοῦ Ἀριστοφάνους στίχ. 467 ἀπαντᾷ «σὺ δ' οὐδὲν *ἐξ ἁμαξουργοῦ* λέγεις;». Ποιεῖται δὲ περὶ αὐτοῦ ὁ Βλαϋδέσιος ἐν τῇ ἐκδόσει τῶν Ἱππέων σελ. 290 τὴν παρατήρησιν τήνδε· «Respicit forsan ad locutionem ἐξ ἁμάξης λέγειν». Τὸ αὐτὸ ἐδόξαζεν ἐν παλαιοτέροις χρόνοις ὁ Βεργλῆρος, ἀλλ' εὐλόγως ἀπεδοκίμασε τὴν δόξαν αὐτοῦ ὁ Βρούγκιος γράψας «Nulla in his est allusio ad proverbium ἐξ ἁμάξης λέγειν, quod satis inepte somniat Berglerus» (Ἴδε τὴν Βεκκήρειον ἔκδοσιν τοῦ Ἀριστοφάνους Τόμ. Γ', σελ. 163).

Σκοποῦντες τὰ περὶ τῆς προκειμένης ἡμῖν παροιμίας παραδεδομένα βλέπομεν ὅτι ἔλαβεν αὕτη τὴν γένεσιν κατά τινα μὲν γνώμην ἐκ τῶν γελοιαστικῶν ποιημάτων ἃ κωμικοὶ ποιηταὶ ᾖδον καθήμενοι ἐφ' ἁμαξῶν, καθ' ἑτέραν δ' ἐκ τῶν λοιδοριῶν ἃς ἐποιοῦντο σκώπτοντες τοὺς ἀπαντῶντας ἐν τῇ ἑορτῇ τῶν Διονυσίων ἢ τῇ τῶν Χοῶν ἄνδρες ἐφ' ἁμαξῶν φερόμενοι. Ἡ πρώτη γνώμη ἥκιστ' ἀποδεκτὴ φαίνεται (Πρβ. Κουστῆρον ἐν τῇ Δυβνηρείῳ ἐκδόσει τῶν εἰς Ἀριστοφάνη Σχολίων σελ. 407, 547). Βλέπει δέ τις καὶ τοῦτο ἐν τοῖς παραδεδομένοις, ὅτι αἱ γυναῖκες τῶν Ἀθηναίων ὀχούμεναι ἐφ' ἁμαξῶν εἰς Ἐλευσῖνα, τῶν μεγάλων τελουμένων μυστηρίων, ἐλοιδόρουν ἀλλήλας. Ἄξιον μνείας εἶνε καὶ τὸ ὑπὸ τοῦ Κλεομήδους εἰρημένον σελ. 112 Βακ. «ὧν τὰ μὲν ἐκ χαμαιτυπείων ἄν τις εἶναι φήσειε, τὰ δὲ ὅμοια τοῖς λεγομένοις *ἐν τοῖς Δημητρίοις ὑπὸ τῶν Θεσμοφοριαζουσῶν γυναικῶν*» καὶ τὸ ὑπὸ τοῦ Φωτίου Λεξ. σελ. 538, 9 «Στήνια: Ἑορτὴ Ἀθήνησιν, ἐν ᾗ ἐδόκει ἡ ἄνοδος γενέσθαι τῆς Δήμητρος. Ἐλοιδοροῦντο δ' ἐν αὐτῇ νυκτὸς αἱ γυναῖκες ἀλλήλαις. Οὕτως Εὔβουλος». Ἴδε καὶ Βλαϋδέσιον εἰς *Ἀριστοφ. Θεσμοφ.* σελ. 220, 834.

Ὁ Δισσένιος γράφει ἐν τῇ ἐκδόσει τοῦ περὶ τοῦ στεφάνου λόγου τοῦ Δημοσθένους σελ. 293 «ὥσπερ ἐξ ἁμάξης. Haec σκώμματα primum usitata fuerunt in Anthesteriis. Huius festi primus dies πιθοίγια, secundus χόες, tertius χύτροι dicebatur. Secundo die primum novum vinum bibeban et tum pompae fiebant laetae ac petulantes curribus, ubi qui occurrebant, conviciis obruebantur. Inde res etiam in Lenaea introducta. Idem fecerunt postea mulieres in Thesmophoriis». Ἴδε Βάκιον εἰς *Κλεομήδ.* σελ. 435 κέξ. Πρβ. καὶ Βεντλήϊον ἐν *Dissert. op. the Epistl. of Phalar. etc.* σελ. 288 κέξ.

Σημειωτέον δ' ὅτι ὑπάρχει ἐν τῇ Ἑλληνικῇ γλώσσῃ ῥῆμα *γεφυρίζω* συνωνυμοῦν τῷ *λοιδορῶ* ἢ *χλευάζω*, νομίζεται δ' ὅτι ἔχει τὴν ἀρχὴν ἐκ τοῦ ὅτι ἐπὶ γεφύρας τινὲς καθεζόμενοι ἔσκωπτον τοὺς παριόντας· νοεῖται δὲ γέφυρα ἡ ἐπὶ τοῦ ἐν Ἀθήναις Κηφισοῦ. Ὁ Στράβων λέγει σελ. 400 «ποταμοὶ δ' εἰσὶν ὁ μὲν Κηφισὸς ἐκ Τρινεμέων τὰς ἀρχὰς ἔχων, ῥέων δὲ διὰ τοῦ πεδίου, ἐφ' οὗ καὶ ἡ γέφυρα καὶ οἱ *γεφυρισμοί*, κτέ.». Παρήχθη δ' ἐκ τοῦ *γεφυρίζω* καὶ ὄνομα *γεφυριστής-σταί*. Ἴδε Κοραῆν ἐν τῇ ἐκδόσει τῶν Παραλλήλων Βίων τοῦ Πλουτάρχου Μέρ. Γ', σελ. 375. Πρβ. καὶ Ἰ. Σμιδίτιον ἐν *Synonym. d. Griech. Sprach.* Τόμ. Γ', σελ. 456.

Ἡ λέξις *ζάγκλον* μνημονεύεται ὑπὸ τοῦ Θουκυδίδου βιβλ. ϛ',4, 5 δηλοῦντος ἅμα καὶ τὴν σημασίαν αὐτῆς. Ὁ συγγραφεὺς λέγει «Ὄνομα δὲ τὸ μὲν πρῶτον Ζάγκλη ἦν, ὅτι δρεπανοειδὲς τὸ χωρίον ἐστί (τὸ δὲ δρέπανον οἱ Σικελοὶ ζάγκλον καλοῦσιν), ὕστερον δὲ κτέ.». Παρὰ τῷ Στράβωνι ἀπαντᾷ σελ. 268 «παρ' ὧν τοὔνομα μετήλλαξε καλουμένη Ζάγκλη πρότερον διὰ τὴν σκολιότητα τῶν τόπων (*ζάγκλιον* γὰρ ἐκαλεῖτο τὸ σκολιόν), Ναξίων οὖσα πρότερον κτίσμα κτέ.». Ἀλλ' ὁ Μεινέκιος ἐν τῇ ἐκδόσει τοῦ Στράβωνος μετετύπωσε τὸ *ζάγκλιον* εἰς τὸ *ζάγκλον*. Φέρεται δ' ὅμως καὶ ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς τοῦ Εὐσταθίου σελ. 1716, 11 «Μεσσήνη — κτίσμα Πελοποννησίων Μεσσηνίων ἥ ποτε καλουμένη Ζάγκλη δι' ἣν ἔχει σκολιότητα· *ζάγκλιον* γὰρ παρὰ τοῖς ἐκεῖ τὸ σκολιόν· ὅθεν καὶ ζάγκλον τὸ δρέπανον». Ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Δ', σελ. 3 Διδ. εἶνε γεγραμμένον «Ubi scrib. videtur ζάγκλον, nisi ζαγκλὸν malis, quo accentu ἀγκλὸν scriptum ap. Hesych. cum interp. σκολιόν. Forma Dor. ΔΑΝΚΛΗ in numis: v. Eckhel. D. N. vol. I. p. 187, 219». Ἐπισυνάπτομεν τούτοις τὰ ὑπὸ τοῦ Ἀρηνσίου εἰρημένα ἐν τῷ περὶ Διαλέκτου Δωρικῆς συγγράμματι σελ. 95 «δάγκλον (cod. δάγκολον), δρέπανον pro ζάγκλον. Quamquam in hac quidem voce ea mutatio non solis Laconibus propria fuisse videtur, quum Zancle, urbs Sicula, in nummis Δάνκλη scribatur, vid. Mionn. Suppl. I. p. 400». Πρβ. Βλαϋδέσιον εἰς *Ἀριστοφ. Ἀχαρν.* σελ. 143, 911.

Ἄξια παραθέσεως νομίζομεν καὶ ἃ λέγει Στέφανος ὁ Βυζάντιος σελ.

293, 7 «Ζάγκλη:—Οἱ μὲν ἀπὸ ζάγκλου τοῦ γηγενοῦς—οἱ δὲ διὰ τὸ ἐκεῖ Κρόνον τὸ δρέπανον ἀποκρύψαι, ᾧ τὰ τοῦ πατρὸς ἀπέκοψεν αἰδοῖα. Νίκανδρος ἐν τῷ Η΄ Σικελίας· καί τις καὶ Ζάγκλης ἐδάη δρεπανηΐδος ἄστυ. Τὸ γὰρ δρέπανον οἱ Σικελοὶ ζάγκλον καλοῦσι». Τὸ *δρεπανηΐδος* ἐμφαίνει ὁμοίαν ἔννοιαν τῷ *δρεπανοειδοῦς*, ὡς παρετήρησε καὶ ὁ Ὄθ. Σνειδῆρος ἐν τῇ ἐκδόσει τῶν τοῦ Νικάνδρου σελ. 32.

Τοῦ ὀνόματος *ζάγκλον* ἐποιήσατο χρῆσιν ὁ Καλλίμαχος, ὡς διδασκόμεθα ἐκ τῶν κειμένων ἐν τῷ Μεγάλῳ Ἐτυμολογικῷ σελ. 406, 51 «Ζάγκλον: τὸ δρέπανον, ὥς φησι Καλλίμαχος· κέκρυπται γυνὴ ζάγκλον ὑποχθονίη». Πρβ. καὶ Τζέτζ. Σχολ. εἰς Λυκόφρ. 869 (σελ. 848) «Τὸ δρέπανον παρὰ Σικελοῖς ζάγκλον καλεῖται. Μέμνηται δὲ καὶ Καλλίμαχος ἐν δευτέρῳ Αἰτίων». Σημειωτέον δ' ὅτι τὸ χωρίον τοῦ Καλλιμάχου ὑπὸ μὲν τοῦ Βεντληίου ἀνεγνώσθη «κέκρυπται *βύνη* ζάγκλον ὑποχθονίη», ὑπὸ δὲ τοῦ Ῥουγκηνίου «κέκρυπται *γύπη* ζάγκλον ὑποχθονίη». Ἴδ. Ὄθ. Σνειδῆρον ἐν τῇ ἐκδόσει τῶν Καλλιμαχείων Τόμ. Β΄, σελ. 432. Πρβ. καὶ σελ. 132 καὶ Κόβητον ἐν *Μνημοσ.* 1861, σελ. 415-6.

Εἶνε δὲ καὶ κατὰ θηλυκὸν γένος προενηνεγμένον τὸ περὶ οὗ ὁ λόγος ὄνομα ἐν τοῖς Ἀλεξιφαρμάκοις τοῦ Νικάνδρου στίχ. 180 «ἦμος ὑπὸ *ζάγκλῃσι* περιβρίθουσαν ὀπώρην ῥυσαλέην—κείροντες θλίβωσιν». Ἐν τοῖς Σχολίοις φέρεται «*Ζάγκλῃσι*: ταῖς δρεπάναις τῶν τρυγητῶν».

Ἱκανά, νομίζομεν, εἴπομεν περί τε τῆς φράσεως *ἐβόα* (*βοᾷς*) *ὥσπερ ἐξ ἁμάξης* καὶ περὶ τοῦ ὀνόματος *ζάγκλον*. Μνημονεύεται δ' ἐν τῇ ῥήσει τοῦ Σέξτου, ἣν ἐν ἀρχῇ τοῦ κεφαλαίου τοῦδε κατεχωρίσαμεν, καὶ λέξις *τορνεύοντες* ὡς ῥηθεῖσα ὑπὸ τοῦ Θουκυδίδου. Ἀλλ' ἡ λέξις αὕτη δὲν ἀπαντᾷ παρὰ τῷ Θουκυδίδῃ· ἔπειτα δὲ τὸ ῥῆμα *τορνεύω* εἶνε σαφὲς καὶ γνώριμον καὶ οὐδαμῶς ἀναγκαία φαίνεται γραμματικὴ δεινότης πρὸς κατάληψιν ἢ ἐξήγησιν αὐτοῦ. Κατὰ τὴν ἡμετέραν γνώμην ἔγραψεν ὁ Σέξτος «τί τε σημαίνει παρὰ Θουκυδίδῃ λόγου χάριν τὸ ζάγκλον καὶ τὸ *ὤνευον*, παρὰ δὲ Δημοσθένει τὸ ἐβόα ὥσπερ ἐξ ἁμάξης (βοᾷς ὥσπερ ἐξ ἁμάξης)».

Ἐποιήσατο χρῆσιν τοῦ ῥήματος *ὤνευον* ὁ Θουκυδίδης ἐν βιβλ. Ζ΄, 25, 6 «Προσαγαγόντες γὰρ ναῦν μυριοφόρον αὐτοῖς οἱ Ἀθηναῖοι πύργους τε ξυλίνους ἔχουσαν καὶ παραφράγματα ἔκ τε τῶν ἀκάτων

ὤνευον ἀναδούμενοι τοὺς σταυροὺς καὶ ἀνέκλων καὶ κατακολυμβῶντες ἐξέπριον». Εἶνε δ' ἐν τοῖς εἰς Θουκυδίδην Σχολίοις τάδε γεγραμμένα (σελ. 117, 10 Διδ.) «Ὤνευον ἀναδούμενοι τοὺς σταυρούς: Ὄνος μηχανή ἐστι περιαγωγῆς, ᾗ οἱ χρώμενοι ὀνεύειν λέγονται. Ἄλλως. Ὄνος ἐστὶ μηχανὴ ἐπ' ἄκρων τῶν ἀκατίων πηγνυμένη, ἀφ' ἧς περιβάλλοντες βρόχοις τοὺς σταυροὺς ῥᾳδίως ἐκ τοῦ βυθοῦ ἀνέσπων· ἔστι γὰρ ἡ μηχανὴ ἐπὶ τοσοῦτον βιαιοτάτη, ὥστε σαγήνην βαρεῖαν ὑπὸ δύο ἀνδρῶν ἀπόνως ἕλκεσθαι. Καλοῦσι δὲ τὴν μηχανὴν οἱ τοὺς χαμαιλίχοντας ἕλκοντες ἁλιεῖς ἠλακάτην. Ἐρρωμενέστερον (ἐρρωμενεστέρα) δὲ πρὸς τὴν ἀνέλκυσιν καθίσταται, ὅταν καὶ δίκρουν ξύλον πρὸ αὐτῆς τεθείη· ἐπ' εὐθείας γὰρ ἡ ἀντίσπασις τῶν ἀνελκομένων γίνεται».

Ἐν τῷ Λεξικῷ τοῦ Σουίδα λέγεται «Ὤνευον: παρὰ Θουκυδίδῃ· ἐκίνουν καὶ περιῆγον· ὄνος γὰρ τοῦ μύλωνος (γρ. *μυλῶνος*) τὸ κινούμενον καὶ αἱ τοιαῦται μηχαναὶ ὄνοι. Θουκυδίδης· ὤνευον ἀναδούμενοι τοὺς σταυρούς· τουτέστιν ὄνοις ἐχρῶντο». Ἐπιφέρονται δὲ τούτοις τὰ ἐν τοῖς εἰς Θουκυδίδην Σχολίοις κείμενα «Ἔστι δὲ ὄνος μηχανὴ ἐπ' ἄκρων τῶν ἀκατίων πηγνυμένη—ἐπ' εὐθείας γὰρ ἡ ἀντίσπασις τῶν ἀνελκομένων γίνεται». Ἀλλ' εἶνε παρὰ τῷ Σουίδᾳ γεγραμμένον *χαμαὶ λείχοντας* ἀντὶ τοῦ *χαμαιλίχοντας*. Ἴδε Πόππον εἰς *Θουκυδ.* Μέρ. Γ', δ', σελ. 429.

Τῶν ἐν ἀρχῇ ὑπὸ τοῦ Σουίδα εἰρημένων πατὴρ εἶνε ὁ Αἴλιος Διονύσιος, ὡς μανθάνομεν ἐξ ὧν γράφει ὁ Εὐστάθιος ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 862, 37 «Ὄνος δὲ κοινῶς μὲν τὸ ζῷον τό τε χερσαῖον καὶ ὁ ἰχθύς, ὁ καὶ ὀνίσκος καὶ βάκχος. Ἡ δὲ ὁμωνυμία καί τι σκεῦος αὐτὸ οἶδε παρὰ τοῖς Ἀριστοτελικοῖς. Καὶ ἔστιν ἀπ' αὐτοῦ ὀνεύειν ῥῆμα, περὶ οὗ Αἴλιος Διονύσιος γράφων φησίν· *ὤνευον παρὰ Θουκυδίδῃ τὸ ἐκίνουν καὶ περιῆγον· ὄνος γὰρ τοῦ μύλου τὸ κινούμενον καὶ αἱ τοιαῦται μηχαναὶ ὄνοι*» (Ἴδε Σχουάβιον ἐν τῇ συναγωγῇ τῶν τοῦ Αἰλίου Διονυσίου σελ. 197, 269. Πρβ. καὶ *Leipz. Stud.* Τόμ. Δ', σελ. 104).

Παρατιθέμεθα καὶ τὰ ὑπὸ Θωμᾶ τοῦ Μαγίστρου εἰρημένα σελ. 407, 14 «*Ὤνευον*: ἀντὶ τοῦ ἐκίνουν καὶ περιῆγον ἀπὸ τῶν τοὺς μύλωνας (γρ. *μυλῶνας*) κινούντων ὄνων. Θουκυδίδης ἐν τῇ ἕκτῃ (ἐν τῇ ἑβδόμῃ)· ἔκ τε τῶν ἀκάτων ὤνευον ἀναδούμενοι τοὺς σταυρούς» καὶ

τὰ ὑπὸ τοῦ Φρυνίχου Σοφιστ. Προπαρ. σελ. 57, 21 «*Ὀνεύειν*: τὸ περιάγειν τὰ μηχανήματα, οἷς τούς τε λίθους καὶ τὰ ἄλλα ἕλκουσιν. Ὄνος δ' ἐστὶν αὐτὸ τὸ μηχάνημα τὸ διὰ τροχιλίων (γρ. *τροχιλιῶν*) καὶ σχοινίων». Εἴρηται ὀνεύειν ἤτοι ὅτι καὶ ὄνοις ἐχρῶντο πρὸς τὴν περιαγωγήν, οὐ μόνον ἀνθρώποις, ἢ κατὰ μεταφορὰν ὄνων, ἐπεὶ καὶ οὗτοι ἀχθοφοροῦσιν».

Ἐν τῇ τοῦ Γαληνοῦ τῶν Ἱπποκράτους Γλωσσῶν Ἐξηγήσει (Γαλην. Τόμ. ΙΘ΄, σελ. 126) φέρεται« *Ὀνεύεσθαι*: ἤγουν δι' ὄνων ἐπιστροφῆς (γρ. ἴσ. *ΠΕΡΙστροφῆς*) τείνειν· ὄνοι δὲ καὶ ὀνίσκοι οἱ ἄξονες. Γράφεται δὲ κατονεύεσθαι». Παρὰ τῷ Ἐρωτιανῷ (Τῶν παρ' Ἱπποκρ. Λεξ. Συναγ. σελ. 102, 19 Κλ.) ἔχουσι τἀντίγραφα «*Οἰνεύεσθαι*: τείνειν» ἀντὶ τοῦ *ὀνεύεσθαι*. Σημειωτέον δ' ὅτι καὶ τὸ ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου «*Ἰνεύει*: τείνει» μετεβλήθη ὑπὸ τοῦ Ἑμστερρουσίου εἰς τὸ *ὀνεύει*.

Τῶν ὀνομάτων *ὄνος* καὶ *ὀνίσκοι* γίνεται χρῆσις ἐν τῷ περὶ Ἀγμῶν καὶ περὶ Ἄρθρων συγγράμματι τοῦ Ἱπποκράτους (ἢ Ψευδιπποκράτους) κεφ. ΛΒ΄ (Τόμ. Γ΄, σελ. 42 Ἐρμ.) «*ὄνου* τε περιαγωγὴ καὶ μόχλευσις καὶ σφήνωσις» καὶ κεφ. ΙΓ΄ (σελ. 20) «ἢν δὲ θέλῃς, *ὀνίσκους* καταστήσας ἔνθεν καὶ ἔνθεν ἐπ' ἐκείνων τὴν κατάτασιν ποιέεσθαι». Ποιούμενος δὲ περὶ αὐτῶν λόγον ὁ Γαληνὸς γράφει Τόμ. ΙΗ΄, β΄, σελ. 593 «*Ὄνους* τε καὶ *ὀνίσκους* τοὺς ἄξονας ὀνομάζει. Τούτων οὖν τὴν περιαγωγὴν ἕν τι τῶν βιαιοτάτων φησὶν εἶναι, ὥσπερ καὶ τὴν μοχλείαν καὶ τὴν σφήνωσιν· ὀνομάζει δὲ σφήνωσιν τὴν διὰ τῶν σφηνῶν διάστασίν τε καὶ διαίρεσιν τῶν ξύλων» καὶ σελ. 485 «Τοὺς ἄξονας αὐτοὺς *ὄνους* εἴωθε καλεῖν, ὥπερ καὶ τὸ λέγειν ὄνου τε περιαγωγὴν (γρ. ἴσ. «ὥσπερ *κἀν τῷ* λέγειν ὄνου τε περιαγωγή»). Νῦν οὖν τοὺς μικροὺς ἄξονας *ὀνίσκους* εἴρηκεν ὑποκοριστικῶς, ὥσπερ ἐν τῇ προγεγραμμένῃ ῥήσει τὴν μικρὰν δοκὸν δοκίδα». Πρβ. καὶ Τόμ. ΙΗ΄, α΄, σελ. 522 «Χεῖρον δ' οὐδὲν εἶναί φησι καὶ *ὀνίσκοις* εἰς τὰ τοιαῦτα χρῆσθαι· καλεῖ δ' οὕτως δηλονότι τοὺς ἄξονας».

Ἀπαντᾷ δ' ἐν τῷ περὶ Ἀγμῶν καὶ περὶ Ἄρθρων βιβλίῳ καὶ «ὥστε ἀπὸ τροχιλίης τὰ χαλώμενα εἶναι ὅπλα ἢ ἀπὸ *ὄνου*» (κεφ. ϞΑ,΄ Τόμ. Γ΄, σελ. 99). Ἐρρήθη δὲ καὶ ὑπὸ τοῦ Ἡροδότου βιβλ. Ζ΄, 36 «ταῦτα δὲ ποιήσαντες κατέτεινον ἐκ γῆς στρεβλοῦντες *ὄνοισι ξυλίνοισι* τὰ ὅπλα» καὶ ὑπὸ τοῦ Ψευδαριστοτέλους Μηχαν. ΙΘ΄

(Τόμ. Δ', α', σελ. 65, 12 Διδ.) «μεταφέρουσι γὰρ ἀπὸ τῆς αὐτῆς τροχιλέας ἐφ' ἑτέραν καὶ πάλιν ἀπ' ἐκείνης εἰς *ὄνους* καὶ μοχλούς». (Πρβ. καὶ ΙΔ', σελ. 63, 15). Ἴδε καὶ Βαίριον εἰς *Ἡρόδ.* Τόμ. Γ', σελ. 507 ἐκδ. β'.

Τὸ ὑποκοριστικὸν *ὀνίσκος* βλέπει τις καὶ ἐν τοῖς Βελοποιικοῖς τοῦ Φίλωνος § 51 «περιάγοντα ταῖς σκυτάλαις τὸν *ὀνίσκον* ἐναλλάξ» καὶ § 54 «καθ' ὃν τόπον ὁ *ὀνίσκος* ἦν ὁ κατάγων τὴν χεῖρα» καὶ § 57 καὶ § 58. Πρβ. καὶ Ἑμστερρούσιον εἰς *Ἡσύχ.* Τόμ. Β', σελ. 49 Ἀλβ.

Εἴπομεν ὅτι κατὰ τὴν ἡμετέραν γνώμην ἔγραψεν ὁ Σέξτος «τί τε σημαίνει παρὰ Θουκυδίδῃ λόγου χάριν τὸ ζάγκλον καὶ *τὸ ὤνευον*, παρὰ δὲ Δημοσθένει κτέ.». Νομίζομεν δ' ὅτι προσφυέστατα τῷ ἑαυτοῦ σκοπῷ ἐμνήσθη ὁ Σέξτος τῆς λέξεως *ὤνευον*, ἧς τὴν σημασίαν δὲν δύναται νὰ γινώσκῃ ὁ μὴ ἱκανὴν περὶ τὰ γραμματικὰ ἐμπειρίαν κεκτημένος. Δὲν ἦτο δὲ δύσκολον ν' ἀναγνωσθῇ ὑπὸ βιβλιογράφου ἀμαθοῦς ἢ ὀλιγώρου *τορνεύοντες* ἀντὶ τοῦ *τὸ ὤνευον*. ΤΟΩΝΕΥΟΝ - ΤΟΡΝΕΥΟΝ - ΤΟΡΝΕΥΟΝ(Τες).

Περὶ τοῦ παρὰ τῷ Πλάτωνι ΗΔΟΣ παρατηροῦμεν ὅτι ἡ ὀρθὴ αὐτοῦ ἐκφορὰ εἶνε *ἦ δ' ὅς*. Ἀκριβέστατα περὶ τοῦ ῥήματος *ἠμί - ἠσί* (Δωρ. *ἠτί*), *ἦν* (*ἦν δ' ἐγώ*), *ἦ* (*ἦ καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων*, κτλ., *ἦ δ' ὅς*, *ἦ δ' ἥ*) θὰ διαλάβωμεν ἐν ἄλλῳ τόπῳ. Ἴδε Σχαιφῆρον εἰς *Γρηγ. Κορ.* σελ. 144-5 καὶ Γ. Δινδόρφιον ἐν *Θησ. Στεφ.* Τόμ. Η', σελ. 746 κέξ. καὶ Φρίσχιον ἐν *Ὑπομν. εἰς Ἀριστοφ. Βατρ.* σελ. 15 κέξ. καὶ Κόβητον ἐν *Μνημοσ.* 1860, σελ. 428 καὶ Ναβῆρον εἰς *Φωτ. Λεξ.* Τόμ. Α', σελ. 254 καὶ 255. Πρβ. καὶ Λέρσιον ἐν τῷ *De Arist. Stud. Homer.* σελ. 95 ἐκδ. β'.

ΚΕΦ. ΙΒ'.

Ἀπημελημένος — ἀτημελημένος, ἀπημελημένα — ἀτημελημένα.

Παρὰ τῷ Προκοπίῳ εἶνε γεγραμμένον Τόμ. Α', σελ. 396, 22 Βόνν. «Ἦν γὰρ ὁ Καρχηδόνιος περίβολος οὕτω δὴ ἀ τ η μ ε λ η μ έ ν ο ς, ὥστε ἐσβατὸς ἐν χώραις πολλαῖς τῷ βουλομένῳ καὶ εὐέφοδος ἐγεγόνει» καὶ σελ. 465, 23 «Ἔστι δὲ καὶ φρούρια ἐνταῦθά πῃ ἀ τ η μ ε λ η μ έ ν α τῷ μὴ δοκεῖν ἀναγκαῖα τοῖς ταύτῃ ᾠκημένοις εἶναι».

Ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου λέγεται Τόμ. Α', Β', σελ. 2369 «[Ἀτημελέω.] in VV. LL. habetur et verbum Ἀτημελῶ, pro Non curo, Abjicio: quod verbum si apud aliquem probatum auctorem extat, fuerit ἀτημέλητος ab ejus passivo, sc. a 3 sing. praet.». Ἐπιφέρονται δὲ τούτοις ὑπὸ τοῦ Λ. Δινδορφίου προστεθέντα τάδε· «Schol. cod. Paris. Apoll. Rh. 1, 609: Διὰ τὸ ἀτημελῆσαι σφᾶς τῶν πρὸς αὐτὴν τιμῶν, ubi Laur. κατολιγωρῆσαι. Procop. Vandal. 1, 21, p. 226, B: Ἦν γὰρ ὁ Καρχηδόνιος περίβολος οὕτω δὴ ἀτημελημένος, ubi notandum augmentum more novitio omissum. Id. Gotth. 4, 22, p. 627, B: Τῷ ἀτημελεῖσθαι ἀντέχει».

Κεῖται δὲ καὶ παρὰ Γεωργίῳ τῷ Παχυμέρῃ (Παχυμέρει) Τόμ. Β', σελ. 460, 11 «εἰς τρυγητὸν ἐξιοῦσι τῶν *ἀτημελημένων* κτημάτων» καὶ σελ. 558, 6 «*ἀτημελημένας* τὰς ἑκατέρωθεν νήσους ὁρῶντες» καὶ σελ. 574, 3 «αἱ δὲ *ἀτημελημέναι* κείμεναι καθωρῶντο».

Ἂν τις νομίζῃ ὅτι ἐποιήσατο ὁ Παχυμέρης χρῆσιν τοῦ ἀναυξήτου τύπου *ἀτημελημένων* - *ἀτημελημένας* - *ἀτημελημέναι*, δὲν θ' ἀκούσῃ παρ' ἡμῶν σφοδρὰν ἀντιλογίαν. Διισχυριζόμεθα δ' ὅμως ἐντονώτατα ὅτι κατ' οὐδένα τρόπον ἠδύνατο ὁ Προκόπιος νὰ εἴπῃ ἄνευ αὐξήσεως *ἀτημελημένος* καὶ *ἀτημελημένα*. Ἀνενδοιάστως δ' ἀναγινώσκομεν παρ' αὐτῷ «ἦν γὰρ ὁ Καρχηδόνιος περίβολος—*ἀΠημελημένος*» καὶ «ἔστ' δὲ καὶ φρούρια ἐνταῦθά πῃ *ἀΠημελημένα*».

Λίαν δ' ἀσμενίζει ὁ Προκόπιος τῷ ἐκ τοῦ *ἀπαμελοῦμαι* ἐσχηματισμένῳ παρακειμένῳ, οἷον

ἀπημέληται, ἀπημελῆσθαι. Τόμ. Α', σελ. 211, 22 «πρὸς Ῥωμαίων *ἀπημέληται* λίαν». Τόμ. Γ', σελ. 259, 11 «ἐρείπιον ἤδη πολλῷ πρότερον τῷ *ἀπημελῆσθαι* γεγενημένον». σελ. 312, 14 «τῷ *ἀπημελῆσθαι* καταπεσὸν ἤδη». σελ. 335, 23 «ψάμμου τε πλήθει τὰ πολλὰ τῷ *ἀπημελῆσθαι* καταχωσθεῖσα». Πρβ. καὶ σελ. 299, 2 «ὅτι *ἀπημέλητο* ταῦτα τοῖς ἐκ παλαιοῦ δειμαμένοις τὴν πόλιν».

ἀπημελημένος, ἀπημελημένη, ἀπημελημένον, κτλ. Τόμ. Α', σελ. 252, 20 «τινὲς δὲ καὶ *ἀπημελημένοι* ἀπορίᾳ τροφῆς εὐθὺς ἔθνησκον». σελ. 256, 19 «τοὺς *ἀπημελημένους* τῶν νεκρῶν ἔθαπτεν». σελ. 409, 10 «τοῖς ἤδη ἐς ἄγαν *ἀπημελημένοις*». Τόμ. Β', σελ. 51, 16 «οἴκημα ἦν κομιδῇ *ἀπημελημένον*». σελ. 335, 20 «δίαιταν δὲ σκληράν τε καὶ *ἀπημελημένην*». σελ. 360, 13 «καὶ τοῦτο δὲ *ἀπημελημένον* ὡς μάλιστα». σελ. 630, 10 «τὸ δὲ ἄλλο τῆς πόλεως τεῖχος *ἀπημελημένον* ὑπερεώρων». Τόμ. Γ', σελ. 132, 12 «ἐν τοῖς φαυλοτάτοις τε καὶ *ἀπημελημένοις* τῶν οἰκιδίων δίαιταν ἔχειν». σελ. 189, 13 «θήκας δὲ ξυλίνας ἐνταῦθά πη *ἀπημελημένας* τεθέανται τρεῖς». σελ. 226, 2 «*ἀπημελημένον* δὲ καὶ ἄλλως ἀφύλακτον ὄν». σελ. 230, 23 «ἀτείχιστόν τε καὶ *ἀπημελημένον* τὰ πρότερα ὄν». σελ. 242, 8 «ἦν δέ τι ἐπὶ Συρίας κομιδῇ *ἀπημελημένον* πολίχνιον». σελ. 248, 22 «ἀλλὰ καὶ ὣς ἡ πόλις *ἀπημελημένη* Ῥωμαίοις τούτοις δὴ ἀεὶ τοῖς βαρβάροις ἀπέκειτο». σελ. 287, 25 «πύργος ἐκ παλαιοῦ *ἀπημελημένος* εἱστήκει». σελ. 332, 6 «ἔρημα μὲν τὰ πολλὰ τετύχηκεν εἶναι *ἀπημελημένα* ἐκ τοῦ ἐπιπλεῖστον (ἐπὶ πλεῖστον)».

Ἀπαντᾷ δ' οὐχὶ ὀλιγάκις παρὰ τῷ Προκοπίῳ καὶ τὸ ἐπίρρημα *ἀπημελημένως*, οἷον Τόμ. Α', σελ. 326, 5 «ὅπου δὴ (ὁπουδὴ) *ἀπημελημένως* *ἐκάθευδε*». Τόμ. Β', σελ. 183, 10 «τὸ τεῖχος *ἀπημελημένως* ἐδείμαντο». σελ. 556, 15 «οὐκ *ἀπημελημένως* οἶκοι ἐκτρέφουσιν». σελ. 598, 4 «πόλεμον τόνδε *ἀπημελημένως* διαφέρων». σελ. 626, 23 «*ἀπημελημένως* εἱστήκει». Τόμ. Γ', σελ. 200, 20 «ἀρχήν τε *ἀπημελημένως* πεποιημένον». σελ. 292, 15 «φρούριον οὐκ *ἀπημελημένως* ᾠκοδομήσατο». σελ. 293, 12 «τὰ πεπονηκότα τῷ χρόνῳ ἀνῳκοδομήσατο οὐκ *ἀπημελημένως* Ἰουστινιανός». σελ. 292, 24 «τὰ πεπονθότα οὐκ *ἀπημελημένως* ὁ βασιλεὺς ἐπηνώρθωσε». σελ. 300, 17 «πα-

ρέργως τε καὶ λίαν *ἀπημελημένως* ἐδείμαντο διατείχισμα κλίμακι ἁλωτόν».

Διττὴν γραφὴν βλέπει τις ἐν Τόμ. Β', σελ. 125, 1, τήν τε ὑγιῶς ἔχουσαν «ὑλώδης τε ἡ ὁδός ἐστι καὶ ἄλλως *ἀπημελημένη*» καὶ τὴν ἡμαρτημένην *ἀτημελημένη*. Φέρεται δὲ καὶ ὁ ἐνεστὼς *ἀτημελεῖσθαι* ἐν Τόμ. Β', σελ. 572, 20 «τάς τε (τῆς) πόλεως διεσώσαντο οἰκοδομίας καὶ τῶν ἐγκαλλωπισμάτων τὰ πλεῖστα, ὅσα οἷόν τε ἦν χρόνῳ τε τοσούτῳ καὶ τῷ *ἀτημελεῖσθαι* δι' ἀρετὴν τῶν πεποιημένων ἀντέχει(ν)». Ἀλλ' ἴσως εὔλογον εἶνε νὰ μετατυπωθῇ τὸ *ἀτημελεῖσθαι* εἰς τὸ *ἀΠημελΗσθαι*.

Σημειωτέον δ' ὅτι ἐλέχθη καὶ ὑπὸ Κλήμεντος τοῦ Ἀλεξανδρέως σελ. 572 «αἱ ἄλλαι *ἀπημέληνται* ἀρεταί» καὶ ὑπὸ τοῦ Λιβανίου Ἐπιστ. 536 (σελ. 262) «ἢ παυσόμεθά σε χάριν αἰτοῦντες ὡς *ἀπημελημένοι*» καὶ 1329 (σελ. 619) «ὁ δὲ λύπην τινὰ ἀπήγγελλεν ἐκείνου νομίζοντος *ἀπημελῆσθαι*» καὶ 1417 (σελ. 649) «εἰ δὲ καὶ τῶν λίαν ἦν *ἀπημελημένων*» καὶ 1450 (σελ. 663) «θῶμεν αὐτὸν ταπεινὸν καὶ τὸν ἄλλον *ἀπημελῆσθαι* χρόνον».

Ἐκ τοῦ δοκίμου ἑλληνισμοῦ τρία μαρτύρια τοῦ περὶ οὗ ὁ λόγος παρακειμένου μνημονεύονται ἔν τε τῷ Θησαυρῷ τοῦ Στεφάνου καὶ ἐν ἄλλοις λεξικοῖς τῆς Ἑλληνικῆς γλώσσης, δύο μὲν ἐκ τοῦ Ἡροδότου, ἓν δ' ἐκ τοῦ Σοφοκλέους. Ὑπὸ τοῦ Ἡροδότου ἐρρήθη βιβλ. Γ', 129 «ὅκου δὴ (ὁκουδὴ) *ἀπημελημένον*» καὶ 132 «*ἀπημελημένον* ἐν τοῖσι ἀνδραπόδοισι», ὑπὸ δὲ τοῦ Σοφοκλέους Φιλοκτ. 652 «εἴ μοί τι τόξων τῶνδ' *ἀπημελημένον* παρερρύηκεν». Παράδοξον δ' ἡμῖν φαίνεται ὅτι τὸ Ἑλληνικώτατον *ἀπημελημένον* ἠθέλησεν ὁ Βλαϋδέσιος ἐν τῇ ἐκδόσει τοῦ Φιλοκτήτου νὰ μεταβάλῃ εἰς τὸ βαρβαρώτατον *ἀτημελημένον*.

Ὑπάρχει δ' ἐν τῇ Ἑλληνικῇ γλώσσῃ καὶ ῥῆμα *ἐξαμελῶ-ἐξημέληκα* καὶ *ἐξαμελοῦμαι-ἐξημέλημαι*. Δύναται δὲ τὸ *ἀπαμελεῖσθαι-ἀπημελῆσθαι* νὰ παραβληθῇ τῷ *ἀπατιμάζεσθαι-ἀπητιμάσθαι*, οὗ ἔχομεν παράδειγμα τὸ τοῦ Αἰσχύλου Εὐμεν. 95 «ἐγὼ δ' ὑφ' ὑμῶν ὧδ' *ἀπητιμασμένη* κτέ.». Πρβ. καὶ Ἡσύχ. «Τροπαγός: ὁ *ἀπητιμασμένος*». Ἐν Ἰλιάδος Ν, 113 φέρεται «οὕνεκ' *ἀπητίμησε* ποδώκεα

Πηλείωνα (Πηλείωνα)», γράφει δὲ περὶ αὐτοῦ ὁ Κόβητος ἐν *Μνημοσ.* 1874, σελ. 368 «Compositum ἀπατιμᾶν et ratio et usus reiiciunt, quum ἀτιμᾶν et ἀτιμάζειν passim eo sensu legantur. Quid est facilius quam emendare: οὔνεκ' ῎ΑΡ' ἠτίμησε». Ὁ Εὐστάθιος λέγει ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 923, 1 «Τὸ δὲ *ἀπητίμησε* περιττὴν ἔχει καὶ αὐτὸ κειμένην τὴν πρόθεσιν, ὡς καὶ τὸ ἀπομηνίσας καὶ ἕτερα, περὶ ὧν προείρηται, ἐν οἷς καὶ τὸ ἀπελωβήθη παρὰ Σοφοκλεῖ». Πρβ. Σχόλ. εἰς Ἰλ. Τόμ. Β', σελ. 248, 19 Δινδ. «Ἀποσκίδνασθαι: ἀφ' ἑαυτοῦ χωρίζεσθαι· ἢ παρέλκει ἡ ἀπό, ὡς ἐν τῷ *ἀπητίμησε*» καὶ Τόμ. Δ', σελ. 304, 32. Ἀπαντᾷ δὲ καὶ ἐν ἐπιγράμματι τῶν μεταγενεστέρων χρόνων παρὰ Καιβελίῳ 1046, 54 (σελ. 466) «οὐδ' Ἕρσην γοργῶπις *ἀπητίμησεν* Ἀθήνη». Ἐλέχθη δὲ καὶ *ἐξατιμάζειν* ὑπὸ τοῦ Σοφοκλέους Οἰδ. Κολ. 1378 «μὴ *'ξατιμάζητον*», περὶ οὗ ἴδε Κόβητον ἐν *Μνημοσ.* 1877, σελ. 229. Σημειωτέον δ' ὅτι ὁ Βέργκιος ἐξέδωκε παρὰ τῷ Θεόγνιδι στίχ. 821 «οἳ δ' *ἀπὸ γηράσκοντας* ἀτιμάζουσι τοκῆας», τουτέστιν «οἳ δὲ γηράσκοντας *ἀπατιμάζουσι* τοκῆας», ἀντὶ τοῦ «οἳ δ' *ἀπογηράσκοντας* ἀτιμάζουσι τοκῆας».

Παρατηρητέον δ' ὅτι ἀλλότριον τῆς παλαιᾶς Ἑλληνικῆς γλώσσης εἶνε τὸ ῥῆμα *ἀτημελῶ - ἀτημελοῦμαι*, τὸ δ' ἐπίθετον *ἀτημέλητος* ἐσχηματίσθη διὰ συνθέσεως, *ἀ-τημέλητος*, ἐκ τοῦ ῥήματος *τημελῶ*, οὗ γίνεται χρῆσις ἔν τε τῷ δοκίμῳ καὶ τῷ ἀδοκίμῳ ἑλληνισμῷ.

Παντὶ δὲ φανερὸν ὑπάρχει ὅτι εὐκολώτατον ἦτο ν' ἀναγνωσθῇ ὑπὸ τῶν βιβλιογράφων *ἀΤημελημένος* ἀντὶ τοῦ *ἀΠημελημένος* καὶ *ἀΤημελημένα* ἀντὶ τοῦ *ἀΠημελημένα*. Μετέπεσε δ' ἐκ κακῆς ἀναγνώσεως καὶ τὸ *Πέλμα* εἰς τὸ *Τέλμα* καὶ τὸ *ἀναΠλήσειν* εἰς τὸ *ἀναΤλήσειν*, κτλ. καὶ τοὐναντίον τὸ *Τρασιά - Τρασιάν* εἰς τὸ *Πρασιά - Πρασιάν*, καὶ τὸ *Τυρούς* εἰς τὸ *Πυρούς*, κτλ.

πέλμα - τέλμα. Ἴδε Θησ. Στεφ. Τόμ. Ζ', σελ. 1990. Ὁ ἀοίδιμος Κοραῆς γράφει ἐν Ἀτάκτ. Τόμ. Β', σελ. 289 «**Πατοῦσα** (Ἑλλην. *Κοῖλον ποδός*, καὶ *Πέλμα* ἢ *Τέλμα*· διότι ἀμφιβάλλεται ἀκόμη ἡ γραφή) τὸ κατώτατον μέρος τοῦ ποδὸς τὸ πατοῦν τὴν γῆν». Οὐδαμῶς δύναται νὰ ὑπάρχῃ εὔλογος περὶ τῆς γραφῆς ἀμφιβολία·

διότι ἀτοπώτατον πάντως εἶνε νὰ νομίζηται ὅτι τὸ ὄνομα *τέλμα*, ὃ συνωνυμεῖ τῷ *ἕλος*, παρελαμβάνετο ὑπὸ τῶν Ἑλλήνων καὶ καὶ πρὸς δήλωσιν τοῦ *πέλματος*, τουτέστι: *τοῦ κάτω τοῦ ποδός*.

ἀναπλήσειν - ἀνατλήσειν. Ὀδ. Ε, 302 «ἥ μ' ἔφατ' ἐν πόντῳ — ἄλγε' *ἀναπλήσειν*». Φέρεται καὶ γραφὴ πλημμελὴς *ἀνατλήσειν*, ἧς ποιεῖται μνείαν καὶ ὁ Εὐστάθιος ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 1542, 18 λέγων «Τὸ δὲ ἄλγε' ἀναπλήσειν ἀντὶ τοῦ ἐντελῶς παθεῖν καὶ πληρέστατα· γράφεται δὲ καὶ *ἀνατλήσειν*». Εἶνε δ' ὁ τύπος *ἀνατλήσειν* τοῦ πονηροῦ κόμματος· διότι οὐδέποτ' ἐσχηματίσθη ὑπὸ παλαιοῦ Ἕλληνος μέλλων *τλήσω* κατὰ τὴν ἐνεργητικὴν φωνήν. Εὕρομεν δ' ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς τοῦ Εὐσταθίου καὶ *ἀναΤλῆσαι* γεγραμμένον καθ' ἡμαρτημένην ἀνάγνωσιν ἀντὶ τοῦ *ἀναΠλῆσαι* σελ. 1742, 5 «ἵνα εἴπω ὅσα τοι αἶσα ἐν δόμοις κήδεα *ἀναΤλῆσαι*». Πρβ. σελ. 1742, 49 «*ἀναΠλῆσαι* δὲ κήδεα τὸ ἐντελῶς καὶ κατὰ τὸ πλῆρες ἀνατλῆναι, ὡς δεδήλωται ἀλλαχοῦ» (Ἴδε καὶ Βρεδόβιον ἐν *Quaest. Crit. de Dial. Herod.* σελ. 60). Σημειωτέον δ' ὅτι παρὰ τῷ Ἡσιόδῳ ἀπαντᾷ Θεογον. 709 «ὄτοβος δ' *ἄΠλητος* ὀρώρει», ἐν δὲ τῷ Μεγάλῳ Ἐτυμολογικῷ κεῖται σελ. 667, 57 «ὄτοβος δ' *ἄΤλητος* ὀρώρει». Ταύτην δὲ τὴν γραφὴν ὑπολαμβάνει ὀρθὴν ὅ τε Ἑρμαννὸς ἐν *Opusc.* Τόμ. Ϛ', α', σελ. 182 καὶ ὁ Μυτζέλιος ἐν τῷ *De Emend. Theog. Hes.* σελ. 57.

περάτων - τεράτων. Ἴδε Βάκιον ἐν τῇ συναγωγῇ τῶν Ποσειδωνίου Λειψάνων σελ. 240 καὶ Ὑβνῆρον ἐν τῇ ἐκδόσει Διογένους τοῦ Λαερτίου Τόμ. Β', σελ. 176.

πόκου - τόκου. Φώτ. Λεξ. σελ. 75, 7 «Ἠρινοῦ *τόκου*: ἐπεὶ ἔαρος οἱ φόροι ἐφέροντο». Τὸ ὀρθὸν *πόκου* εὗρεν ὁ Δοβραῖος ἐν *Adversar.* Τόμ. Α', σελ. 593. Ἴδε Ναβῆρον εἰς *Φωτ. Λεξ.* Τόμ. Α', σελ. 267 καὶ Σμιδίτιον εἰς *Ἡσύχ.* Τόμ. Β', σελ. 288. Πρβ. καὶ Βλαϋδέσιον εἰς *Ἀριστοφ. Ὀρν.* σελ. 296, 714 καὶ εἰς *Ἀχαρν.* σελ. 303, 505.

οὔπω - οὕτω. Ἴδε Κόκκιον ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Κωμικῶν Τόμ. Β', σελ. 210, 131 καὶ σελ. 293, 12. Βλέπει δέ τις καὶ παρὰ τῷ Ἰουλιανῷ σελ. 231 α' κείμενον κατὰ πλημμελῆ γραφὴν τὸ *οὔΤω* ἀντὶ τοῦ *οὔΠω* καὶ παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ σελ. 892 καὶ 917.

παχέως - ταχέως. Πλάτ. Τόμ. Ζ', σελ. 22, 1-2 Σχανζ.

πόρευμα-τόρευμα. Εὐριπ. Ἡρ. Μαιν. 977 «ὁ δ' ἐξελίσσων παῖδα κίονος κύκλῳ *τόρευμα* δεινὸν ποδὸς—βάλλει πρὸς ἧπαρ». Ὀρθῶς ἐγράφη ὑπὸ τοῦ Στεφάνου *πόρευμα*.

παραχθέντες-ταραχθέντες. Ξενοφ. Ἀπολ. 4. Ἴδε Κοραῆν ἐν τῇ ἐκδόσει τῶν Ξενοφῶντος Ἀπομνημονευμάτων καὶ τοῦ Πλάτωνος Γοργίου σελ. 304.

Πίγρης-Τίγρης. Ἴδε Βρεδόβιον ἐν *Quaest. Crit. de Dial. Herod.* σελ. 59.

περίρρυπος-περίρρυτος. Κράτ. παρὰ Διογ. Λαερτ. Ϛ', 85 «Πήρη τις πόλις ἐστὶ μέσῳ ἐνὶ οἴνοπι τύφῳ καλὴ καὶ πίειρα, *περίρρυτος*, οὐδὲν ἔχουσα». Τὸ *περίρρυΤος* μετέβαλεν εἰς τὸ *περίρρυΠος* ὁ Στέφανος. Πρβ. καὶ Rzach ἐν *Stud. zur Techn. des Nachhom. Her. Vers.* σελ. 89.

Εὐρώπου-Εὐρώτου. Ἴδε Κραμῆρον εἰς *Στράβ.* Τόμ. Β', σελ. 77 καὶ 321. Πρβ. καὶ Κοραῆν εἰς *Στράβ.* Τόμ. Δ', σελ. 128.

κἀπεπόρδει-κατέπαρδε. Ἴδε Κόβητον ἐν τῇ Μνημοσύνῃ 1858, σελ. 48 καὶ Κόκκιον ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Κωμικῶν Τόμ. Α', σελ. 20.

Ἀργιόπης-Ἀρσίου τῆς. Ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις Β, 595 φέρεται «Θάμυριν: οὗτος παῖς ἦν Φιλάμμονος καὶ *Ἀρσίου Τῆς* νύμφης» ἀντὶ τοῦ «*ἈργιόΠης* νύμφης» Ἡ ὀρθὴ γραφὴ εὑρέθη ὑπὸ τοῦ Εὐνίου. Ἴδε Δινδόρφιον ἐν τῇ ἐκδόσει τῶν εἰς Ἰλιάδα Σχολίων Τόμ. Α', σελ. 121, 6. Πρβ. καὶ Βέργκιον ἐν *Μικρ. Συγγρ.* Τόμ. Β', σελ. 163.

τρύγοιπος-τρυγητός, τρύγοιπον-τρυγητόν. Ἴδε ἃ ἐγράψαμεν ἐν τῇ Ἀθηνᾷ Τόμ. Ε', σελ. 437.

βουπόροις-βουτόροις. Σουίδ. «*Βουτόροις*: τοῖς πλήττουσι τοὺς βόας. Μαυρούσιοι ἔχουσι δόρατα *βουτόροις* ὀβελοῖς ἴσα». Ἐλέγετο μὲν ὑπὸ τῶν Ἑλλήνων *ῥινοτόρος* ἐκ τοῦ *ῥινός* καὶ *τείρω*, ἀλλὰ *βουπόρος* ἐκ τοῦ *βοῦς* καὶ *πείρω*. Τὴν ὀρθὴν ἐκφορὰν βλέπει τις παρὰ τῷ Ἡσυχίῳ «*Βουπόρους ὀβελούς*: μεγάλους ὀβελίσκους» καὶ παρὰ τῷ Πολυδεύκει Ϛ', 88 καὶ Θ', 77 καὶ Ι', 95. Εἶνε δὲ παρὰ τῷ Σουίδᾳ γεγραμμένον καὶ «*ΒΟπόρους* παρὰ Ἡροδότῳ ὀβελοὺς μεγάλους». Ὁ Ἡρόδοτος εἶπε βιβλ. Β', 135 «ποιησαμένη ὀβελοὺς *βουπόρους* πολλοὺς σιδηρέους—ἀπέπεμπε ἐς Δελφούς». Ἀπαντᾷ δὲ καὶ παρὰ Διονυσίῳ τῷ Ἁλικαρνασσεῖ Ῥωμ. Ἀρχ. σελ. 346 «ταῖς μαγειρικαῖς

σφαγίσι καὶ τοῖς *βουπόροις* ὀβελοῖς παιόμενος ἀποθνήσκει». Ἴδε καὶ Θησ. Στεφ. Τόμ. Β΄, σελ. 372-3.

πευθήν-τευθήν. Σουίδ. «*Τευθήν*: ὁ κατάσκοπος». Ὄνομα *τευθήν* δὲν ὑπάρχει ἐν τῇ Ἑλληνικῇ γλώσσῃ ἀλλὰ *πευθήν* ἐκ τοῦ *πεύθομαι* παρηγμένον, ἐξ οὗ ἐγένετο καὶ τὸ *πευθῶ* (καὶ τὸ *πεύθη*, περὶ οὗ ἴδε Λοβέκκιον ἐν *Ῥηματ.* σελ. 258). Πρβ. καὶ *ἀπευθής*, *νεοπευθής*, *φιλοπευθής*, περὶ ὧν ἀλλαχοῦ. Ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις φέρεται σελ. 275, 30 Βεκκ. «Τὸ δὲ ἐπίσκοπον τὸν εἰς πολεμίους στελλόμενον κατάσκοπον· τοῦτον δὲ ὕστερον καὶ *πευθῆνα* ἐκάλεσαν». Λέγει δε καὶ ὁ Εὐστάθιος ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 1458, 34 «Ἰστέον δὲ ὅτι ἐκ τοῦ τοιούτου πεύθω γίνεται καὶ *πευθὴν πευθῆνος*, ὡς σωλὴν σωλῆνος, ὁ στελλόμενος ἐφ' ᾧ τὰ τῶν πολεμίων πεύθεσθαι. Καὶ πολλὴ τῆς λέξεως ταύτης χρῆσις παρὰ τοῖς παλαιοῖς» καὶ σελ. 947, 51 «Οἱ δὲ τοιοῦτοι ὠτακουσταὶ εἶεν ἂν καὶ *πευθῆνες* ὡς ἀπὸ τοῦ πεύθω, οὗ παράγωγον ἡ πύστις» (Πρβ. καὶ σελ. 788, 10 καὶ 17 καὶ σελ. 799, 18). Ὁ Κοραῆς γράφει ἐν τῇ ἐκδόσει τῶν Ἐπικτήτου Διατριβῶν σελ. 362 «πευθῆνες· πολυπράγμονες, φιλοῦντες πάντας περὶ πάντων ἐρωτᾷν καὶ τὰ μηδὲν αὐτοῖς προσήκοντα ἐξετάζειν· καὶ μηδὲ μέχρι τούτου ἐφιστάμενοι, ἀλλὰ καὶ παρακούειν αἰσχρῶς τῶν ἄλλων τὰ ἀπόρρητα τολμῶντες. *Πευθῆνες*, *ἐπήκοοι*, φησὶ Φώτιος». Ὁ Σουίδας ἐξηγεῖται τὸ περὶ οὗ ὁ λόγος ὄνομα διὰ τοῦ *μανδάτωρ*· «Πευθήν, πευθῆνος: ὁ μανδάτωρ». Κεῖται δὲ καὶ ἐν τῷ Λεξικῷ τοῦ Ζωναρᾶ σελ. 1530 «Πευθήν: ὁ μανδάτωρ. Καὶ κλίνεται πευθῆνος. Ἀπὸ τοῦ πεῦσις ἡ ἐρώτησις ἢ ἡ ἀπόκρισις. Οἱ γὰρ μανδάτωρες ποιοῦσι τὰ μηνύματα ἔν τε τοῖς δικαστηρίοις καὶ τοῖς ἐν αὐτοῖς δικαζομένοις» (Ἴδε Πετάβιον εἰς *Θεμίστ.* σελ. 656 Δινδ. Πρβ. καὶ Θησ. Στεφ. Τόμ. ϛ΄. σελ. 1023). Ὁ Τζέτζης εἶπεν Ἐπιστ. σελ. 16 Πρεσσ. «ἔνθεν τοι καὶ *πευθῆνας καὶ κατασκόπους* ἀπέσταλκε καὶ προκήρυκας», ὁ δὲ Θεμίστιος Λόγ. ΛΔ΄, σελ. 461, 16 Δινδ. «δέδοικε δὲ οὐδεὶς οὐ παλαμναῖον λογιστήν, οὐκ ἀλιτήριον ἐκλογέα, οὐ *τοὺς καταράτους πευθῆνας*». Σημειωτέον δ' ὅτι, ὡς φέρονται ἐν τῷ Λεξικῷ τοῦ Σουίδα τὰ παρεφθαρμένα *βουτόροις* καὶ *τευθήν*, οὕτω καὶ ἄλλα οὐκ ὀλίγα ἐκ κακῆς ἀναγνώσεως προελθόντα, ὧν μνημονεύομεν ἐν τῷ παρόντι τὸ *αἶψα* ἀντὶ τοῦ *λιτά* (Α = Λ καὶ Ψ = Τ). Λέγει ὁ Σουίδας «*Αἶψα*: θᾶττον. Λάζεο, τιμήεσσα Κυ-

θηριάς, ὑμνοπόλοιο *αἶψα* τάδε κλειτοῦ δῶρα Λεωνίδεω· ἐν ἐπιγράμματι». Ἀλλ' ἡ ὀρθὴ γραφὴ εἶνε «λάζεο—ὑμνοπόλοιο *λιτὰ* τάδ' ἐκ λιτοῦ δῶρα Λεωνίδεω» (Ἴδε Κόβητον ἐν *Μνημοσ.* 1873, σελ. 394 καὶ 1876, σελ. 375). Περὶ τῆς ἐκφορᾶς *ΛΕΙτός-ΛΕΙτοῦ* οὐδὲν νῦν λέγομεν.

Περμησσοῖο-Τερμησσοῖο. Ἴδε Μυτζέλιον ἐν τῷ *De Emend. Theog. Hes.* σελ. 33 καὶ Λεννέπιον εἰς *Ἡσ. Θεογον.* σελ. 1. Πρβ. καὶ Ἑρμαννὸν ἐν *Opusc.* Τόμ. Ϛ', α', σελ. 152-3 καὶ Σχούβαρτον καὶ Οὐάλζιον εἰς *Παυσαν.* Τόμ. Γ', σελ. 385. Περὶ τῆς διὰ δύο ΣΣ γραφῆς *ΠερμηΣΣός* καὶ τῆς δι' ἑνὸς *ΠερμηΣός* θὰ εἴπωμεν τὰ δέοντα ἑτέρωθι.

Θεσπιῶν-Θεστιῶν (*Θεστίων*). Ἴδε Ἑύνιον εἰς *Ἀπολλόδ.* Τόμ. Α', σελ. 156. Πρβ. καὶ Τόμ. Β', σελ. 136 καὶ Σιμπλίκ. Ὑπομν. εἰς Ἀριστοτ. Τόμ. Θ', σελ. 707, 32.

Πειρεσίαι-τ' Εἰρεσίαι. Ὁμηρ. Ὕμν. εἰς Ἀπόλλ. 32 «Αἰγαί τ' *Εἰρεσίαι* τε καὶ ἀμφιάλη Πεπάρηθος». Ὀρθῶς ὁ Ῥουγκήνιος ἀνέγνω *Πειρεσίαι* ἀντὶ τοῦ *τ' Εἰρεσίαι.* Πρβ. στίχ. 52, ἔνθα πρὸς τῇ ὑγιῶς ἐχούσῃ γραφῇ *πίονα* φέρεται καὶ ἡ ἡμαρτημένη *τίονα.*

πεπραδίλαι-πετραδίλαι. Ἡσύχ. «*Πετραδεῖλαι*: οἱ μὲν τοὺς ἀποπνευματισμούς, οἱ δὲ εἶδος ἰχθύων». Βλέπει δέ τις παρὰ τῷ Ἡσυχίῳ καὶ τὴν ὀρθὴν ἐκφορὰν «*ΠεΠραδίλαι*: εἶδος ἰχθύων». Ἐν τῷ κώδικι τοῦ Λεξικοῦ τοῦ Φωτίου εἶνε γεγραμμένον (σελ. 412, 23) «*ΠεπραδίΔαι*: πορδαὶ ἢ γένος ἰχθύων ὅμοιον μεμβράδι». Ἐν τοῖς Κανόσι τοῦ Θεογνώστου σελ. 111, 12 γίνεται μνεία τοῦ τρισυλλάβου τύπου *πραδίλη*, περὶ οὗ ἐποιήσατο λόγον ὁ Λοβέκκιος ἐν *Προλεγομ.* σελ. 108.

διάσπασις-διάστασις. Ἴδε Ἰδελῆρον εἰς *Ἀριστοτ. Μετεωρολ.* Τόμ. Β', σελ. 278. Σημειωτέον δ' ὅτι ὁ Τούπιος ἐν *Διορθώσ.* Τόμ. Δ', σελ. 327 μετετύπωσε τὸ παρ' Ἡσυχίῳ «Ἀσφακέλιστον: *ἀπερίστατον*» εἰς τὸ *ἀπερίσΠαστον.* Ἀλλὰ δὲν ἐνέκρινε τὴν μεταβολὴν ταύτην ὁ Σμιδίτιος.

παγῶδες-ταγῶδες. Σωραν. περὶ Γυναικ. Παθ. ΛΑ' «πήξεως δὲ καὶ παχύτητος, εἰ μετριοπαγές· τὸ μὲν γὰρ ὑγρὸν καὶ λεπτότερον καὶ ὑδαρὲς ἄτροφον καὶ κοιλίας ἐκταρακτικόν, τὸ δὲ παχὺ καὶ *ταγῶδες* δυσκατέργαστον κτέ.». Τὴν ὀρθὴν γραφὴν *παγῶδες* ἀποκατέστησεν ὁ

Ἑρμερίνσιος ἐν τῇ ἐκδόσει τοῦ περὶ Γυναικείων Παθῶν συγγράμματος τοῦ Σωρανοῦ σελ. 141, 5

που-τοῦ. Εὐστάθ. σελ. 887, 41 «εἴ *τοῦ* ἐξαπίνης περιτύχοι τραυματίᾳ τινί». Γραπτέον «εἴ *που* ἐξαπίνης κτέ.».

δι' ἀπ(λ)ῆς-διὰ τῆς. Σχολ. Ἀριστοφ. σελ. 52, 38 Διδ. «διὰ τῶν ἀφελῶν πεδίων: ἀντὶ τοῦ *διὰ τῆς* φράσεως». Ὁ Βλαϋδέσιος ἐν τῇ ἐκδόσει τῶν Ἀριστοφάνους Ἱππέων σελ. 301, 527 εἴκασεν «ἀντὶ τοῦ *δι' ἀφελοῦς* φράσεως». Ἀλλ' ἡμεῖς νομίζομεν ὅτι τὸ «*διὰ τῆς* φράσεως» εἶνε ἡμαρτημένη ἀνάγνωσις τοῦ «*δι' ἁΠ(λ)ῆς* φράσεως». Ἐν τοῖς ἔπειτα φέρεται «τὸ ἐπὶ τῆς φράσεως ἄκομψον καὶ *ἁπλοῦν* τοῦ Κρατίνου ἀλληγορεῖσθαί φασι τὸ ἀφελές». Καὶ παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ ἐγράφη κακῶς σελ. 945 «καὶ πτωχεύουσα ὧν τις ὑπὸ *τούτου* διαφθείρει σώζεται καὶ πλουτοῦσα τούτων ὧν ἐπιτρίβει πλοῦτος θανατοῦται» ἀντὶ τοῦ *Π(λ)ούτου*.

τρασιά-πρασιά, τρασιάν-πρασιάν. Ἴδε Βάστιον καὶ Κοίνιον εἰς *Γρηγόρ. Κορ.* σελ. 514. Πρβ. καὶ Βάστιον ἐν *Comment. Palaeogr.* σελ. 731.

τυρούς-πυρούς. Πλάτ. Τόμ. ΙΒ', σελ. 18, 21 Σχανζ.

Τεριναίω-Περιναίω. Ζηνόβ. Δ', 35 «θᾶττον ὁ τόκος Ἡρακλείτω *Περιναίω* τρέχει». Ἡ ἀληθὴς ἐκφορὰ τῆς παροιμίας εἶνε «θᾶΣΣον ὁ τόκος Ἡρακλείτω ΤΩ *Τεριναίω* τρέχει», ὡς παρετήρησεν ὁ Κόβητος ἐν *Mnemos.* 1873, σελ. 142 καὶ ἐν *Collectan. Crit.* σελ. 150. Πρβ. καὶ *Nov. Lect.* σελ. 726.

Τιτακίδαι-Τιπαγίδαι. Ἴδε Δάμιον ἐν *Observat. in Lex. Seguer.* σελ. 76. Πρβ. καὶ Κόκκιον ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Κωμικῶν Τόμ. Α', σελ. 9.

Τρώτιλον-Πρώτιλον. Ἴδε Πόππον εἰς *Θουκυδ.* Μέρ. Β', δ', σελ. 16 ἐκδ. μεγ.

Τιθραύστη-Πιθραύστη. Ἀθήν. σελ. 484 ε' «Δίφιλος *Πιθραύστῃ*». Τὴν ὀρθὴν γραφὴν *Τιθραύστῃ* ἀποκατέστησεν ὁ Κασαύβων. Ἴδε Μεινέκιον ἐν *Histor. Crit. Com. Gr.* σελ. 455-6.

Τριταρταίχμη-Τριπανταίχμη. Ἡρόδ. Α', 192. Ἴδε Βρεδόβιον ἐν *Quaest. Crit. de Dial. Her.* σελ. 59.

ταχυτέραν-παχυτέραν. Ὀρειβάσ. Τόμ. Α', σελ. 502, 13 Δαρεμβ.

ἐπισκοτεῖν-ἐπισκοπεῖν. Γεωπονικ. Ζ', 5 (σελ. 472, l. 6).

τοσῷδε-ποσῷ δέ. Πρόκλ. Διάδ. Ὑπομν. εἰς Πλάτ. Τίμ. σελ. 690, 12 Σνειδ.

εὐτρεπές-εὐπρεπές. Εὐριπ. Βάκχ. 844 «πάντῃ τό γ' ἐμὸν *εὐπρεπὲς* πάρα». Εὖ ποιῶν ὁ Καντῆρος μετέβαλε τὸ *εὐΠρεπές* εἰς τὸ *εὐΤρεπές* (Ἴδε Ἐλμσλήϊον εἰς *Εὐριπ. Βάκχ*. σελ. 60 Λιψ.). Ὀρθῶς δὲ καὶ ὁ Μεινέκιος ὑπέλαβε τὸ ἐν ταῖς Ἱστορίαις Ἰωάννου τοῦ Κιννάμου βιβλ. Γ', 7 (σελ. 106, 11) «ὁπόσον ὅπλοις τε φράττοιτο καὶ ἐν ἐπιλέκτοις ἐστὶν *εὐπρεπὲς* ἔχοντα» ἡμαρτημένην ἀνάγνωσιν τοῦ *εὐΤρεπές*. Ἴδε καὶ Βυττεμβάχιον εἰς *Πλουτ. Ἠθ*. Τόμ. Ϛ', σελ. 989 καὶ Ἰακώψιον εἰς *Ἀχιλλ. Τάτ*. σελ 579 καὶ 620 καὶ Κόβητον ἐν *Μνημοσ*. 1860, σελ. 254. Πρβ. καὶ Βαλκενάριον εἰς *Εὐριπ. Φοιν*. Τόμ. Α', σελ. 313 Λιψ. Ἐγένετο δ' ὑφ' ἡμῶν λόγος περὶ τοῦ πράγματος καὶ ἐν τῷ Δελτίῳ τῆς Ἑλληνικῆς Ἀλληλογραφίας Τόμ. Β', σελ. 314. Ὁ Κοραῆς ἐν τῇ ἐκδόσει τοῦ Ἰσοκράτους Τόμ. Β', σελ. 152 μετετύπωσε τὸ παρ' Ἡσυχίῳ «Σχέδιον:—τὸ *ἀνευπρεπῶς* γενόμενον» εἰς τὸ «*ἀνευΤρεπῶς* γενόμενον (γινόμενον)». Ἀλλ' ἴσως δὲν εἶνε ἀναγκαία ἡ μεταβολὴ αὕτη. Σημειωτέον δ' ὅτι καὶ τὸ *εὐΠρεπής* μετέπεσεν ἐκ κακῆς γραφῆς εἰς τὸ *εὐΤρεπής* ἐν ταῖς Ἀριστοφάνους Ἐκκλησιαζούσαις στίχ. 427 καὶ τὸ *Πρέπουσι* εἰς τὸ *Τρέπουσι* ἐν τοῖς Βεκκήρου Ἀνεκδότοις σελ. 110, 2. Πρβ. καὶ Οὐαγνῆρον ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Τραγικῶν Τόμ. Β', σελ. 162.

ἀταλός-ἁπαλός. Ἴδε Δινδόρφιον εἰς *Κλήμ. Ἀλεξ*. Τόμ. Α', σελ. 140. Τὸ παρ' Ἀρχιλόχῳ «κλέψας ἐκ στηθέων *ἁπαλὰς* φρένας» μετέβαλεν ὁ Μεινέκιος εἰς τὸ *ἀταλάς*, ὃ καὶ ὁ Βέργκιος ἐνέκρινεν ἐν τῇ Δ' ἐκδόσει τῶν Λυρικῶν Ποιητῶν Τόμ. Β', σελ. 414. Ὁ Κόβητος γράφει ἐν τῷ Λογίῳ Ἑρμῇ Τόμ. Α', σελ. 267 «Ἔσφαλται δὲ τὸ *ἁπαλόφρων*. Αἱ φρένες γὰρ οὐχ *ἁπαλαὶ* καὶ μαλακαὶ καλοῦνται, ἀλλ' *ἀταλαί*, ὅθεν συχνὸν παρὰ τοῖς τῶν ἐπέων ποιηταῖς τὸ *ἀταλὰ φρονέων* καὶ *θυγάτηρ ἀταλὰ φρονέουσα*—Φιλοῦσι δ' οἱ ἀντιγραφεῖς τὰ παλαιὰ ταῦτα *ἀταλαὶ* φρένες καὶ *ἀταλὰ* φρονέοντα καὶ *ἀταλόφρων* εἰς τὰ γνωριμώτερα *ἁπαλαί* καὶ *ἁπαλά* καὶ *ἁπαλόφρων* παραφθείρειν». Περὶ τοῦ πράγματος ἐποιήσατο λόγον ὁ μέγας κριτικὸς καὶ ἐν τῇ Μνημοσύνῃ 1861, σελ. 352-3. Πρβ. καὶ Σπιτζνῆρον ἐν *Παρατηρ. εἰς Κόϊντ. Σμυρν*. σελ. 279-80 καὶ Κοιχλῦν εἰς *Κόϊντ. Σμυρν*. ΙΓ', 323, σελ. 555. Ὁ Ἑρμαννὸς νομίζει ὅτι ἐρρήθη ὑπὸ τοῦ Αἰ-

σχύλου Πέρσ. 532 (535) «*ἀταλαῖς* χερσί» (Ἴδε τὴν ὑπ' αὐτοῦ ἔκδοσιν τοῦ Αἰσχύλου Τόμ. Β', σελ. 218). Ἀλλ' ὑγιέστατ' ἔχει ἡ γραφὴ «*ἀπαλαῖς* χερσί». Πρβ. καὶ Ἐκκῆρον ἐν *Comment. Crit. de Anthol. Gr.* Τόμ. Α', σελ. 353.

ὀττευσάμενοι - *ὀπτευσάμενοι*. Εὐστάθ. Παρεκβ. εἰς Διον. σελ. 251, 32 Διδ. «βοὸς εὑρόντες κεφαλὴν ἀπέσχοντο τοῦ ὀρύσσειν, οἷα *ὀπτευσάμενοι* μόχθους καὶ δουλείαν συνεχῆ, ὃ καὶ οἱ βόες πάσχουσιν». Φέρεται καὶ γραφὴ *ὀπτΛσάμενοι*. Ὁ Βερνάρδυς ἐν τῇ ἐκδόσει Διονυσίου τοῦ Περιηγητοῦ σελ. 875 γράφει «videtur ὑποπτευσάμενοι opus esse». Κατὰ τὴν γνώμην ἡμῶν ὁ Εὐστάθιος ἐποιήσατο χρῆσιν τοῦ *ὀΤτευσάμενοι*. Πολλὰ περὶ τοῦ ῥήματος *ὀττεύομαι* θὰ εἴπωμεν ἐν ἑτέρῳ τόπῳ.

ταώς - *παώς*. Κραμ. Ἀν. Ὀξ. Τόμ. Γ', σελ. 167, 33 «καὶ *παὼς* Μηδικός». Πρβ. Κλήμ. Ἀλεξ. σελ. 164 «Μῆδον ταῶνα» καὶ σελ. 271 «ὄρνεις Ἰνδικοὺς καὶ ταῶνας Μηδικοὺς ἐκτρέφουσιν».

ὅτου - *ὅπου*. Ἐν τῷ Αἴαντι τοῦ Σοφοκλέους στίχ. 33 ἄλλα μὲν τῶν ἀντιγράφων ἔχουσι «καὶ τὰ μὲν σημαίνομαι, τὰ δ' ἐκπέπληγμαι κοὐκ ἔχω μαθεῖν *ὅτου*», ἄλλα δὲ «κοὐκ ἔχω μαθεῖν *ὅπου*». Καὶ ἀλλαχοῦ δ' ἀνεγνώσθη ὑπὸ τῶν βιβλιογράφων *ὅΠου* ἀντὶ τοῦ *ὅΤου*, ὡς παρετήρησεν ὁ Βλαϋδέσιος ἐν τῇ ἐκδόσει τοῦ Αἴαντος σελ. 19. Ὁ Κόβητος μετετύπωσεν ἐν τῷ Λογίῳ Ἑρμῇ Τόμ. Α', σελ. 444 τὸ ἐν ἀποσπάσματι τοῦ Μενάνδρου «εὕροις δ' ἂν οὐδὲν τῶν ἁπάντων — ἀγαθόν, *ὅπου* τι μὴ πρόσεστι καὶ κακόν» εἰς τὸ «*ὅτῳ* τι μὴ πρόσεστι καὶ κακόν», ὁ δὲ Μουσγράβιος τὸ ἐν τῷ Ῥήσῳ τοῦ Εὐριπίδου (ἢ Ψευδευριπίδου) στίχ. 465 «εἰ γὰρ ἐγὼ τόδ' ἦμαρ εἰσίδοιμ' — *ὅπως* πολυφόνου χειρὸς ἀποινάσαιο λόγχᾳ» μετέβαλεν εἰς τὸ «*ὅτῳ* πολυφόνου χειρὸς κτέ.». Τὸ χωρίον τοῦ Μενάνδρου θὰ ἐξετάσωμεν ἀκριβῶς ἑτέρωθι.

ἡμιθνῆτι ἀπειλεῖν - *ἡμιονήπια τελεῖν*. *ἡμιΘνῆΤι* - *ἀΠειλεῖν* - *ἡμιΘνηΤια Πειλεῖν* - *ἡμιΟνήΠια Τελεῖν*. Θ = Ο. Ἴδε Κόβητον ἐν *Λογ. Ἑρμ.* Τόμ. Α', σελ. 183 καὶ ἐν *Μνημοσ.* 1873, σελ. 2.

τᾶς - *πᾶς*. Ἀρχιμήδ. Τόμ. Β', σελ. 242, 11 Τευβν. «ἁλίκος ὁ *πᾶς* γᾶς ὄγκος». Ὀρθῶς ὁ Οὐαλλίσιος ἀνέγνω «ὁ *τᾶς* γᾶς ὄγκος».

ταρ' ὦ - *παρ' ᾧ*. Ἀριστοφ. Ἀποσπ. παρ' Εὐσταθ. σελ. 1419, 54 «ἐπὶ Παλλαδίῳ, *παρ' ᾧ*, πάτερ, δώσεις δίκην». Ὁ Ἀριστοφάνης ἔγραψεν «ἐπὶ Παλλαδίῳ *ταρ', ὦ* πάτερ, δώσεις δίκην». Ἴδε Ἐλμ-

σλήϊον εἰς *Ἀριστοφ. Ἀχαρν.* σελ. 122. Πρβ. καὶ Κόκκιον ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Κωμικῶν Τόμ. Α', σελ. 541.

κυλλήστεις-κυλληπεῖς. Φώτ. Λεξ. σελ. 185, 20 «*Κυλληπεῖς:* τοὺς ὀξεῖς ἄρτους Αἰγύπτιοι». Ἐπηνώρθωσε τὸ σφάλμα ὁ Πόρσων ἀναγνοὺς *κυλλήσΤεις.*

τετρήνας-πειρήνας. Ὁμηρ. Ὕμν. εἰς Ἑρμ. 48 «*πειρήνας* διὰ νῶτα λιθορρίνοιο χελώνης». Τὴν ἀληθῆ γραφὴν *τετρήνας* ἀποκατέστησεν ὁ Ματθίας. Πρβ. καὶ Κόβητον ἐν *Μνημοσ.* 1862, σελ. 308-9 καὶ Γεμόλλιον εἰς *Ὁμηρ. Ὕμν.* σελ. 202. Σημειωτέον δ' ὅτι τοὐναντίον ἐγράφη παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ σελ. 749 ἐν ῥήσει Ἡροδοτείῳ *τό Τε ῥησθῆναι* ἀντὶ τοῦ *τὸ Πειρηθῆναι.*

ὑπέθραττε-ὑπέθραπτε. Γεώργ. Κεδρην. Τόμ. Β', σελ. 63, 20 «*ὑπέθραπτε* δὲ οὐδὲν ἧττον τὸν βασιλέα καὶ ἐξεδειμάτου καὶ ἡ τῆς οἰκείας μητρὸς ὄψις». Παντὶ φανερὸν ἀποβαίνει ὅτι τὸ ὑγιῶς ἔχον εἶνε *ὑπέθραΤτε.*

τλᾶσα-πλᾶσα. Ἡρῳδιαν. περὶ Διχρόν. ἐν Κραμ. Ἀνεκδ. Τόμ. Γ', σελ. 289, 22 «Τὰ εἰς ΣΑ λήγοντα θηλυκὰ εἴτε ἐπὶ ὀνομάτων εἴτε καὶ ἐπὶ μετοχῶν, εἰ ἔχοι τὴν πρὸ τέλους συλλαβὴν εἰς δίχρονον καταλήγουσαν, πάντως ἐκτεταμένον αὐτὸ ἔχει· πᾶσα, *πλᾶσα,* φῦσα, κτέ.». Τὸ *πλᾶσα* φέρεται καὶ παρὰ τῷ Ψευδοδράκοντι σελ. 21, 3 καὶ σελ. 95, 15. Ὁ Λέρσιος ἐξέδωκε παρὰ τῷ Ἡρῳδιανῷ σελ. 355 «πᾶσα, *πτᾶσα,* φῦσα»· οὕτω δ' ἔγραψε καὶ ὁ Λοβέκκιος ἐν *Παραλειπομ.* σελ. 400. Ἀλλ' ἡμεῖς νομίζομεν ὅτι ἐλέχθη ὑπὸ τοῦ Ἡρῳδιανοῦ «πᾶσα, *τλᾶσα,* φῦσα».

ἐτημελεῖτο-ἐπεμελεῖτο. Παρὰ Διονυσίῳ τῷ Ἁλικαρνασσεῖ Ῥωμ. Ἀρχ. σελ. 802 φέρουσι τἀντίγραφα «ὡς ἀνοίσουσαν ἐκ τοῦ τραύματος *ἐτημελεῖτο*» καὶ *ἐπεμελεῖτο* (καὶ *ἔτι μένει* . .). Κατὰ τὴν γνώμην τοῦ Ἑρουερδῆνος (ἐν Ἀθηνᾶς Τόμ. Δ', σελ. 374) ἐποιήσατο χρῆσιν ὁ Διονύσιος τοῦ ἐνεργητικοῦ τύπου *ἐτημέλει.*

τάλανες-πάντες. Εὐριπ. Ἑλ. 608 «ὦ ταλαίπωροι Φρύγες *πάντες* τ' Ἀχαιοί». Ὁ Ἑρμαννὸς μετέγραψε «*τάλανές* τ' Ἀχαιοί». ΤΑΛΑΝΕΣ-ΠΑΝΤΕΣ.

Πολλάκις ἐν τοῖς ἀντιγράφοις συνεχύθησαν τὸ ἐπίρρημα *ἔτι* καὶ ἡ πρόθεσις *ἐπί.* Ἐν τῷ Ὀνομαστικῷ τοῦ Εὐσεβίου σελ. 52, 2 ἔχουσι

τἀντίγραφα *ἐπίμερος* ἀντὶ τοῦ *ἔτι μέρος*. Ὁ Κισλίγγιος γράφει ἐν τῇ ἐκδόσει τοῦ Θεοκρίτου σελ. 203 «ἐπάνωθεν pro vulgato ἔτ' ἄνωθεν ex Aldina lectione ἐπ' ἄνωθεν, probantibus Toupio, Valckenario et omnibus deinceps editoribus, refinxit Reiskius. Aldina lectio extat item in uno Cod. Med. Etiam in Epigr. XX. 3. est ἐπάνωθε. Neque tamen ἔτι, quod etiam Cd. Schellersh. tuetur, nihili prorsus est; dicunt enim Graeci, ἐκ παλαιῶν ἔτι, ἐξ ἐκείνων ἔτι τῶν χρόνων». Ἀκριβέστατα περὶ τοῦ πράγματος θὰ γράψωμεν ἐν οἰκειοτέρῳ τόπῳ.

Ἐγένετο δὲ σύγχυσις ὑπὸ τῶν βιβλιογράφων καὶ τῶν ἐπιρρημάτων *τότε* καὶ *ποτέ*. Ἴδε Κόκκιον ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Κωμικῶν Τόμ. Β', σελ. 314,45, 7. Πρβ. καὶ Κόβητον ἐν *Μνημοσ.* 1880, σελ. 136 καὶ 140. Ἀνεγνώσθη δὲ πλημμελῶς καὶ *πώΠοτε* ἀντὶ τοῦ *πω Τότε*, ὡς παρετήρησεν ὁ Κόβητος ἐν *Μνημοσ.* 1883, σελ. 351.

Παρὰ Διοδώρῳ τῷ Σικελιώτῃ βιβλ. ΙΓ', ζ', 1 φέρεται «ἐπ' ἄρχοντος δ' Ἀθήνησι *Πεισάνδρου* Ῥωμαῖοι—χιλιάρχους κατέστησαν τέτταρας». Λέγει δὲ περὶ αὐτοῦ ὁ Λ. Δινδόρφιος ἐν τῇ Τευβνηρείῳ ἐκδόσει τοῦ Διοδώρου Τόμ. Γ', σελ. ιη' «13, 7, 1, Πείσανδρος archon secundum inscriptionem nuper inventam scribendus Τείσανδρος». Περὶ τῆς διὰ διφθόγγου ἐκφορᾶς *Τείσανδρος* ἴδε Μειστεράνσιον ἐν *Γραμμ. τῶν Ἀττικ. Ἐπιγρ.* σελ. 144 ἐκδ. β'.

Ὁ Ῥείσκιος μετετύπωσε τὸ παρὰ τῷ Ἀρτεμιδώρῳ σελ. 201, 27 Ἑρχ. «ἢ δειπνεῖν παρ' ἑαυτῷ ἢ πίνειν ἢ *συντείνειν* (*συντίνειν*) ἢ ἀπολέσαι τι» εἰς τὸ *συμΠίνειν* καὶ τὸ παρὰ τῷ Προκοπίῳ Τόμ. Γ', σελ. 32, 11 «ἅτε πρὸς αὐτῆς διασεσωσμένον αἰχμάλωτον *ἀναρπάσασθαι*» εἰς τὸ *ἀναρΤήσασθαι*. Ὁ δὲ Βυττεμβάχιος ἐν *Βιβλιοθ. Κριτ.* Τόμ. Γ', α', σελ. 100 μετέβαλε τὸ παρὰ τῷ Ἀππιανῷ Συριακ. 10 «*ταχὺ* γοῦν ἐλπίζοντα ἕξειν τὰ τρίτα» εἰς τὸ *Πάγχυ* κατὰ τὸ ὑπὸ τοῦ Ἡροδότου ῥηθὲν βιβλ. Β', 31 «δοκέων *πάγχυ* δευτερεῖα γῶν οἴσεσθαι».

Ἐν τοῖς Χαρακτῆρσι τοῦ Θεοφράστου κεφ. Ζ' ἔχουσι τἀντίγραφα

«καὶ σκωπτόμενος ὑπομεῖναι καὶ ὑπὸ τῶν αὐτοῦ παιδίων, ὅταν αὐτὸν ἤδη καθεύδειν βουλόμενον κελεύῃ λέγοντα *ταῦτα*· λαλεῖν τι ἡμῖν, ὅπως ἂν ἡμᾶς ὕπνος λάβῃ». Καὶ ἄλλοι μὲν ἐξέβαλον τὸ *ταῦτα*, ἄλλοι δὲ μετετύπωσαν αὐτὸ εἰς τὸ *πάππα*· «ὅταν—κελεύῃ λέγοντα· *πάππα*, λαλεῖν τι ἡμῖν, κτέ.». Καὶ ἡμῖν φαίνεται πιθανὸν ὅτι ἐρρήθη μὲν ὑπὸ τοῦ Θεοφράστου *ΠάπΠα*, μετεβλήθη δ' ὑπὸ τῶν βιβλιογράφων εἰς τὸ *ΤαῦΤα*. Ἧττον δ' ἀρεσκόμεθα τῇ ἀναγνώσει «*ἄττα*, λαλεῖν τι ἡμῖν». Ὁ Ἄστιος ὑπερμαχεῖ ἐν τῇ ἐκδόσει τῶν Χαρακτήρων τοῦ Θεοφράστου σελ. 100 τῆς παραδεδομένης γραφῆς, συμφωνεῖ δ' αὐτῷ καὶ ὁ Σχέππαρδος ἐν τῇ ἐκδόσει τοῦ συγγράμματος τούτου σελ. 95. Ἀλλὰ τὰ ὑπὸ τοῦ Ἀστίου γεγραμμένα δὲν εἶνε ἱκανὰ νὰ πείσωσιν ἡμᾶς ὅτι ὑγιῶς ἔχει τὸ φερόμενον ἐν τοῖς ἀντιγράφοις τοῦ Θεοφράστου «ὅταν—κελεύῃ λέγοντα *ταῦτα*· λαλεῖν τι ἡμῖν, κτέ.».

Ἐν τέλει παρατηροῦμεν ὅτι παρὰ μὲν Στεφάνῳ τῷ Βυζαντίῳ κεῖται σελ. 538, 17 «*Πυῆνις*: πόλις Κόλχων. Τὸ ἐθνικὸν *Πυηνίτης* τῷ λόγῳ τῶν εἰς ΙΣ ληγόντων» καὶ σελ. 640, 16 «*Τυῆνις*: πόλις Κόλχων—Τὸ ἐθνικὸν *Τυηνίτης*», ὑπὸ δὲ τοῦ Εὐσταθίου λέγεται ἐν ταῖς εἰς Διονύσιον Παρεκβολαῖς σελ. 387, 24 Διδ. «Ἄλλοι δὲ καὶ τὴν ἄρχουσαν μετὰ τοῦ Π προφέρουσι· καὶ εὕρηται τοιαύτη γραφὴ παρά τε τῷ Ἰουλιανῷ καὶ παρὰ τῷ Ἀρριανῷ δὲ ἐν τοῖς περὶ Ἀλεξάνδρου· πολλὰ γὰρ τῶν παλαιῶν ἀντιγράφων ἔχουσιν οὕτω· τῶν ποταμῶν τοῦ Εὐφράτου καὶ τοῦ Πίγρητος, οἳ τὴν μέσην σφῶν Ἀσσυρίαν ἀπείργουσιν, ὅθεν καὶ Μεσοποταμία πρὸς τῶν ἐπιχωρίων κληΐζεται, ὁ Πίγρης πολύ τι ταπεινότερός ἐστιν Εὐφράτου» (Ἴδε καὶ Κυννῆρον εἰς *Ξενοφ. Ἀνάβ.* σελ. 83). Ἄξιον παρατηρήσεως προσέτι νομίζομεν ὅτι ἐν μὲν τῷ Ὀνομαστικῷ τοῦ Πολυδεύκους Β', 28 εἶνε γεγραμμένον «τὰς μέντοι συνεστραμμένας μετὰ ῥύπου τρίχας ἡ κωμῳδία *σΤόρθυγγας* καλεῖ», ἐν δὲ τῷ Λεξικῷ τοῦ Ἡσυχίου «*σΠόρθυγγες*: αἱ συνεστραμμέναι μετὰ ῥύπου τρίχες» (Ἴδε Κόκκιον ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Κωμικῶν Τόμ. Γ', σελ. 597-8). Φέρεται δὲ παρὰ τῷ Ἡσυχίῳ καὶ «*ἔγκαρΤα*: τοὺς κεκουρευμένους πυρούς· ἀλλὰ καὶ *ἔγκαρΠα* Φρύνιχος Δαναΐσιν». Πιθανώτατον δ' ἡμῖν φαίνεται ὅτι μόνον τὸ *ἔγκαρπα* ἔχει ὑγιῶς.

ΚΕΦ. ΙΓ'.

Τὸ στόμα διαίρειν — στόμα αἴρειν.

Ἐν ταῖς Ἐπιστολαῖς τοῦ Φωτίου σελ. 303 Βαλ. κεῖται «Τοῦτό με σιγᾷν (σιγᾶν) αὐτοὺς ἐπιτάττειν περιίστησιν εἰς ἀνάγκην. Διὰ τοῦτο μηδὲ στόμα αἴρειν οὐκ ἐπιτρέπω διὰ τὴν ἐν λόγοις παρρησίαν, τὴν ἰσχύν, τὴν χάριν, τὴν ἔμφυτον πιθανότητα».

Ἐπειδὴ ἐπὶ τῆς ἐννοίας τοῦ *ἀνοίγειν τὸ στόμα* (ἐπὶ τῷ φωνὴν ἀφιέναι ἢ προΐεσθαι) δὲν λέγεται ἑλληνιστὶ *στόμα αἴρειν* ἀλλὰ *τὸ στόμα διαίρειν*, νομίζομεν ὅτι ἐγράφη ὑπὸ τοῦ Φωτίου «Διὰ τοῦτο *μηδὲ τὸ στόμα διαίρειν* οὐκ ἐπιτρέπω διὰ τὴν ἐν λόγοις παρρησίαν», ᾧ ὅμοιον εἶνε τὸ ἀπαντῶν ἐν τῇ Εὐαγγελικῇ Προπαρασκευῇ τοῦ Εὐσεβίου βιβλ. ΙΔ', ιη', 21 (Φιλοσ. Ἑλλ. Ἀποσπ. Τόμ. Γ', σελ. 212 Μουλλ.) «βέλτιον οὖν ἡσυχίαν ἄγειν αὐτοὺς καὶ *μηδὲ τὸ στόμα διαίρειν*».

Τῆς φράσεως *διαίρειν τὸ στόμα* ἢ *τὸ στόμα διαίρειν* ἱκανὰ ἔχομεν νὰ μνημονεύσωμεν μαρτύρια ἐκ τῆς Ἑλληνικῆς καθόλου γλώσσης, οἷον

Δημοσθέν. σελ. 375, 112 «οὐ τοίνυν ἀντεῖπεν οὐδὲ *διῆρε τὸ στόμα*» καὶ σελ. 405, 207 «οὐδεὶς πώποτ' ἀκούων ταῦτ' ἀντεῖπεν οὐδὲ *διῆρε τὸ στόμα*» καὶ σελ. 536, 67 «μηδὲ *διᾶραι τὸ στόμα* περὶ αὐτοῦ ἔχειν ἐμέ».

Ἱπποκράτ. (ἢ Ψευδιπποκρ.) Τόμ. Β', σελ. 389 «αἱ γένυες πήγνυνται καὶ *τὸ στόμα διαίρειν* οὐ δύναται».

Πλούτ. Ἠθικ. σελ. 70 δ' «ποῦ γὰρ ἔστι τούτοις *τὸ στόμα διᾶραι*, κτέ.;» καὶ σελ. 503 α' «ἂν δ' αὐτὸς ἄρξηται *διαίρειν τὸ στόμα*».

Διονύσ. Ἁλικαρν. Ῥωμ. Ἀρχ. σελ. 2093 «ὥστ' οὐδὲ φωνὴν ἀξιοῦσί τινα ἡμῶν ἀφιέναι περὶ τῆς πατρίδος ἐλευθέραν οὐδὲ *διᾶραι τὸ στόμα*».

Φίλ. Ἰουδ. Τόμ. Α', σελ. 275 «ἀφανῶς ἡμᾶς ἔνδοθεν ἐλέγχει *μηδὲ διᾶραι τὸ στόμα ἐῶν*».

Ἀριστείδ. Τόμ. Α', σελ. 510 «καὶ οὔτε *διᾶραι τὸ στόμα* οἷός τ' ἦν ἀπορίᾳ τε εἰχόμην δεινῇ».

Ἰωάνν. Χρυσόστ. Ὁμιλ. εἰς Ματθ. σελ. 384 β' «δυνηθῆναι *διᾶραι* (*τὸ*) *στόμα*» καὶ σελ. 727 γ' «ἆρα οὐκ ὀφθήσεται διασπασθεὶς πρὶν ἢ *διᾶραι τὸ στόμα*;». Ὅτε πρὸ ἐτῶν ἀναγινώσκοντες τὰς εἰς Ματθαῖον Ὁμιλίας τοῦ Χρυσοστόμου ἐνετύχομεν τῇ ῥήσει ταύτῃ, κατενοήσαμεν παραχρῆμα ὅτι τὸ *οὐκ ὀφθήσεται*, ἀνθ' οὗ φέρεται ἔν τινι τῶν ἀντιγράφων *οὐ φθαρήσεται*, εἶνε πλημμελὴς ἀνάγνωσις τοῦ *οὐ φθήσεται*. Εἴδομεν δ' ἔπειτα ὅτι καὶ ὁ Φίελδος ἐν τῇ ἐκδόσει τῶν εἰς Ματθαῖον Ὁμιλιῶν τοῦ Χρυσοστόμου Τόμ. Γ', σελ. 152 εὗρε τὴν ἀληθῆ γραφήν. Καὶ παρὰ τῷ Ἰσοκράτει μετεβλήθη ὑπὸ τῶν βιβλιογράφων τὸ *φθήσονται* εἰς τὸ *ὀφθήσονται* καὶ τὸ *φθῆναι* εἰς τὸ *ὀφθῆναι*. Ἴδε Κοραῆν εἰς *Ἰσοκρ.* Τόμ. Β', σελ. 41 καὶ 42 καὶ 239. Πλείονα περὶ τοῦ πράγματος θὰ γράψωμεν ἀλλαχοῦ.

Συνέσ. Δίων. σελ. 55 δ' «βούλοιντο δ' ἂν καὶ *διάραντα* μόνον, ὥσπερ ἀνδριάντα, τὸ *στόμα* καὶ τὴν χεῖρα, ἔπειτα ἀφωνότερον ἀνδριάντος γενέσθαι».

Λιβάν. Τόμ. Δ', σελ. 714 «ὁ μὴ *διαίρων τὸ στόμα*» (Ἴδε Βάστιον ἐν *Append.* σελ. 56).

Θεόδ. Πρόδρ. Α', 367 (Ἐρωτ. Συγγρ. Ἐρχ. Τόμ. Β', σελ. 300). «πολλοὺς καθ' ἡμῶν ἐξερεύγεται λόγους χείλη πεταννὺς καὶ *διαίρων τὸ στόμα*» (Ἴδε Βοισσονάδην εἰς *Εὐνάπ.* Τόμ. Α', σελ. 221).

Ἐν τῷ Λεξικῷ τοῦ Κυρίλλου κεῖται «Ἀχανής: — ὁ μὴ κεχηνώς, μὴ *διᾶραι τὸ στόμα* δυνάμενος» (Ἴδε Βαλκενάριον εἰς *Θεοκρ. Ἀδωνιαζ.* σελ. 232 α'). Ἀπαντᾷ δὲ καὶ ἐν τοῖς εἰς Λουκιανὸν Σχολίοις σελ. 213 Ἰακ. «μειδίαμα ἄχρι τοῦ *τὰ ΧΕΙΛΗ διᾶραι*» (Πρβ. Βάστιον ἐν *Ἐπιστ. Κριτ.* σελ. 254).

Ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Β', σελ. 1161 μνημονεύεται ἐξ Ἰωάννου τοῦ Χρυσοστόμου χωρίον ἔχον ὧδε· «Ἡμεῖς δὲ οὐδὲ χᾶναι οὐδὲ *διᾶραι τὸ στόμα* συνεχωρήσαμεν αὐτοῖς» (Πρβ. καὶ Τόμ. Ζ', σελ. 804). Ἐν Τόμ. Η', σελ. 1221 νομίζεται τὸ *χᾶραι* ἡμαρτημένη γραφὴ τοῦ *χᾶναι*. Τὸ *διᾶραι* μεταβλητέον εἰς τὸ *διᾶραι*, τὸ δὲ *χᾶναι* εἰς τὸ *χανΕΙΝ*. Βάρβαρον εἶνε τὸ παρ' Ἡσυχίῳ φερόμενον «*Χάναι*: ἀνοῖξαι στόμα» (Πρβ. καὶ Σνειδεβῖνον εἰς *Παροιμιογρ. Ἑλλ.* Τόμ. Α', σελ. 158). Ἑλληνιστὶ λέγεται *ἔχανον*, *χάνοιμι*,

κτλ. Τοῦ *χάνοιμι* ποιεῖται μνείαν ὁ Ἡσύχιος ἐξηγούμενος αὐτὸ διὰ τοῦ *εἴποιμι*. Βλέπει δέ τις παρ' αὐτῷ γεγραμμένον καὶ «*Ἤχανεν*: εἶπεν», περὶ οὗ ἑτέρωθι. Ἀντὶ δὲ τοῦ ἐν τῷ κώδικι αὐτοῦ κειμένου «Χάνης: στόμα, χανιόν, ἀνοίγων στόμα» ἐξέδωκεν ὁ Σμιδίτιος «*Χάνος*: στόμα» καὶ «*Χανών*: ἀνοίγων στόμα». Σημειωτέον δ' ὅτι ἐλέχθη καὶ *χανεῖν τι*, τουτέστιν (ἀνοίξαντα τὸ στόμα) *εἰπεῖν τι*. Ἴδε Βλαϋδέσιον εἰς *Ἀριστοφ*. *Σφ*. σελ. 242. Πρβ. καὶ Θησ. Στεφ. Τόμ. Η', σελ. 1221 α'.

Παλαιὸς γραμματικὸς παρ' Ἑρμαννῷ ἐν τῷ *De Emend. Rat. Gramm. Gr.* σελ. 358 λέγει «*Διαίρω* τὸ διανοίγω ἐπὶ χειλέων ἢ ὀφθαλμῶν λεγόμενον αἰτιατικῇ, ὡς Δημοσθένης *διάρας τὰ χείλη* καὶ ὁ Θεολόγος *κᾆτα διάρας τοὺς ὀφθαλμοὺς ὁρῶ*». Ἐν τῷ Παρισιακῷ κώδικι φέρεται, ὡς διδάσκει ὁ Βάστιος ἐν *Append*. σελ. 56, «ἐπὶ χειλέων ἢ *ἐπὶ* ὀφθαλμῶν» καὶ «διάρας τοὺς ὀφθαλμοὺς ὁρῶ *ἀντὶ τοῦ διανοίξας καὶ διαπετάσας*». Παρὰ τῷ Δημοσθένει δὲν εὑρίσκεται ἡ φράσις *διάρας τὰ χείλη*.

Ὁμοίως τῷ *τὸ στόμα διαίρειν* καὶ *τὰ χείλη διαίρειν* ἐρρήθη καὶ *τὰς γνάθους διαίρειν* παρ' Ἱπποκράτει (ἢ Ψευδιπποκράτει) Τόμ. Α', σελ. 728 «οὐκ ἠδύνατο—*τὰς γνάθους διαίρειν*, εἰ μὴ ἕτερος *διαίροι*».

Παρ' Ἰωάννῃ τῷ Χρυσοστόμῳ Ὁμιλ. ΚΘ' εἰς Α' Ἐπιστ. πρὸς Κορινθ. Τόμ. Γ', σελ. 430 Ἐτ. εἶνε γεγραμμένον «Λέγεται τοίνυν αὕτη ἡ Πυθία γυνή τις οὖσα ἐπικαθῆσθαι τῷ τρίποδί ποτε τοῦ Ἀπόλλωνος *διαιροῦσα* τὰ σκέλη, εἶθ' οὕτω πνεῦμα πονηρὸν κάτωθεν ἀναδιδόμενον καὶ διὰ τῶν γεννητικῶν αὐτῆς διαδυόμενον μορίων πληροῦν τὴν γυναῖκα τῆς μανίας». Εὕρομεν δὲ τὸ *διαιροῦσα τὰ σκέλη* καὶ ἐν τοῖς εἰς Ἀριστοφάνη Σχολίοις σελ. 327, 15 «Ἦν δὲ ἡ Πυθία γυνή, ἥτις, ὥς φασιν, ἐπικαθημένη τῷ τρίποδι τοῦ Ἀπόλλωνος καὶ *διαιροῦσα* τὰ σκέλη πονηρὸν κάτωθεν ἀναδιδόμενον πνεῦμα διὰ τῶν γεννητικῶν ἐδέχετο μορίων καὶ οὕτω μανίας πληρουμένη—τὰ τῆς μαντείας ἢ μᾶλλον μανίας ἐφθέγγετο ῥήματα». Ἀλλὰ κατὰ τὴν ἡμετέραν γνώμην ἡ ὑγιῶς ἔχουσα γραφὴ ἐν ἀμφοτέραις ταῖς ῥήσεσιν εἶνε *διαίρουσα τὰ σκέλη*, ἤτοι ἀνοίγουσα τὰ σκέλη.

Ἐν τῷ Τοξάριδι τοῦ Λουκιανοῦ § 9 ἔχουσι τἀντίγραφα «ἃ *διη-*

Οὐδείς ποτε τῶν Ἑλλήνων εἶπε *σκίμπων*, τοῦ πονηροῦ δὲ κόμματος εἶνε ὁ διὰ τοῦ Η προενηνεγμένος τύπος *σκήπων* (καὶ *σκηπίων*). Μόνον τὸ *σκίπων* ἔχει ὑγιῶς. Βλέπει δέ τις τὴν ἐκφορὰν ταύτην καὶ ἐν ἐπιγραφῇ τῆς Ἐπιδαύρου παρὰ Βαυνακκ. (*Stud. auf dem Gebiet des Griech. und der Ar. spr.* Τόμ. Α', σελ. 129) «τούτου καθημένου, παῖς τις ὕπαρ τὸν *σκίπωνα* ἁρπάξας ἔφευγε». Εὕρομεν δὲ καὶ ἐν ἐπιγραφῇ τῆς Πισιδίας κατακεχωρισμένῃ ἐν τῷ Ἑρμῇ (1888, σελ. 542) «ἕρμα γουνάτων, ὁδοιπόρον *σκείπωνα*, τῷ διάνυον κέλευθα ἐρείδων χεῖρα». Πρβ. καὶ Ἐπίγρ. παρὰ Καιβελ. 257, 4 (σελ. 99): *σκείπωνι*.

Διὰ τοῦ Η γράφεται τὸ οὐδέτερον ὄνομα *σκηπάνιον*, οὗ γίνεται χρῆσις ὑπὸ τοῦ Ὁμήρου Ἰλ. Ν, 59 καὶ Ω, 247. Ἀπαντᾷ δὲ καὶ ἐν τῇ Παλατίνῃ Ἀνθολογίᾳ Ϛ', 83, 6 καὶ Ζ', 731, 2 καὶ Θ', 233,6. Πρβ. καὶ Καλλίμ. Τόμ. Β', σελ. 714 Ὀθ. Σνειδ. Ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις φέρεται Τόμ. Δ', σελ. 5, 15 Δινδ. «*σκηπανίῳ*: Κυρηναῖοι οὕτω καλοῦσι τὸ σκῆπτρον· σκῆπτρον δὲ καὶ δόρυ Ποσειδῶνος ἡ τρίαινα». Λέγει δὲ καὶ ὁ Εὐστάθιος ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 920, 36 «Οὕτω δὴ κἀνταῦθα τὸ τοῦ Ποσειδῶνος σκηπάνιον, ἤτοι σκῆπτρον, ἐρεθίζει τεραστίως τοὺς Αἴαντας. *Γλώσσης δέ, φασί, Κυρηναίων τὸ σκηπάνιον*». Γελοῖον εἶνε τοῦτο, ἥκιστα δ' ἐπαινετὸν φαίνεται τὸ κείμενον ἐν σελ. 1702, 17 «Τὸ δὲ σκηρίπτεσθαι ἀφ' οὗ συγκοπὲν τὸ σκήπτεσθαι ποιεῖ τὸ σκῆπτρον καὶ τὸ σκηπάνιον, ἀντέρεισιν δηλοῖ». Παρήχθησαν μὲν τὰ ὀνόματα *σκῆπτρον* καὶ *σκηπάνιον* ἐκ τοῦ ῥήματος *σκήπτομαι*, ἀλλὰ δυσκόλως τις πείθεται ὅτι ἐγένετο τοῦτο κατὰ συγκοπὴν ἐκ τοῦ *σκηρίπτομαι*. Ὁ Σουίδας γράφει «*Σκηπάνιον*: σκῆπτρον» καὶ «Σκήπων: ῥόπαλον· παρ' ὃ καὶ *σκηπάνιον*» καὶ «Βάκτρον: ῥάβδος—Λέγεται καὶ *σκηπάνιον*». Παρὰ δὲ τῷ Ἡσυχίῳ φέρεται «*ΣκΑπάνιον*: ἡ βακτηρία. Ἄλλοι σκίπωνα» καὶ «*Σκηπάνιον*: βακτηρία ἢ σκῆπτρον» καὶ «*Σκηπανίῳ*: τὰ αὐτά» καὶ «*ΣκηπΗνιον*: βακτηρία, τρίαινα, βάκτρον, κηρύκιον (κηρύκειον), ῥάβδος». Τὸ *σκΑπάνιον* εἶνε Δωρικὸς τύπος (Ἴδε Ἀρήνσιον ἐν τῷ

Περὶ Διαλ. Δωρ. σελ. 144). Παράδοξον δὲ προσπίπτει τὸ ἐν τῷ Λεξικῷ τοῦ Φωτίου σελ. 519, 5 «Σκήπων: ῥόπαλον· παρ' ὃ καὶ *σκΑπάνιον*», ὃ μεταβλητέον ἴσως εἰς τὸ *σκΗπάνιον*. Πρβ. σελ. 519, 4 «*Σκηπάνιον*: σκῆπτρον». Σημειωτέον δ' ὅτι ἐν τοῖς Βεκκήρου Ἀνεκδότοις μνημονεύεται θηλυκὸν *σκηπάνη* σελ. 794, 27 «*σκηπάνη* σκηπάνιον» (Πρβ. σελ. 793, 34-5).

§ 2. Σκίμπους, σκιμπόδιον, σκιμποδίσκος.

Τὸ ὄνομα σκίμπους, ὃ εὕρομεν παρὰ τῷ Γαληνῷ καθ' ἡμαρτημένην ἀνάγνωσιν κείμενον ἐν τῇ ῥήσει «ὥστε σκίμποδος ἐδεῖτο τὰ τοιαῦτα διερχόμενος χωρία», ἀπαντᾷ ἔν τε τῇ δοκίμῳ καὶ τῇ ἀδοκίμῳ γλώσσῃ· παρέχει δ' ἡμῖν αὐτοῦ καὶ ὁ Γαληνὸς ἔνια παραδείγματα. Ἐφ' ὁμοίας τῷ σκίμπους ἐννοίας παραλαμβάνεται τὸ κράβατος, ἀλλ' ἀποδοκιμάζεται ὡς ἀλλότριον τοῦ παλαιοῦ ἑλληνισμοῦ.

Ἀριστοφ. Νεφ. 255 «κάθιζε τοίνυν ἐπὶ τὸν ἱερὸν *σκίμποδα*» καὶ 709 «ἐκ τοῦ *σκίμποδος* δάκνουσί μ' ἐξέρποντες οἱ Κορίνθιοι». Ἐν στίχ. 633 ἐλέχθη ὑπὸ τοῦ Ἀριστοφάνους «ἔξει τὸν *ἀσκάντην* λαβών», περὶ οὗ εἶνε ἐν τοῖς Σχολίοις γεγραμμένον «Ἀσκάντην δὲ τὸν *σκίμποδά* φησιν ἢ δίφρου τι εἶδος· οἱ δὲ τὸν κράβατον» καὶ «Τὸν σκάμνον, τὸν *σκίμποδα*». Πρβ Βλαϋδέσιον εἰς *Ἀριστοφ. Νεφ.* σελ. 396.

Πλάτ. Πρωταγ. σελ. 310 γ' «καὶ ἅμα ἐπιψηλαφήσας τοῦ *σκίμποδος* ἐκαθέζετο παρὰ τοὺς πόδας μου».

Πλούτ. Ἠθικ. σελ. 976 β' «κροκοδείλῳ συγκαθεύδουσαν ἐπὶ *σκίμποδος* μαλακωτάτου κοσμίως παρεκτεταμένῳ».

Λουκιαν. Φιλοψ. 11 «ἑωρῶμεν αὐτὸν ἐπὶ *σκίμποδος* ὑπὸ τῶν ὁμοδούλων προσκομιζόμενον».

Ἐπίκτ. Ἀποσπ. 24 «ὥσπερ ἐπὶ σμικροῦ *σκίμποδος* θλιβόμενον ὑγιαίνειν ἄμεινον ἢ ἐπὶ πλατείας κλίνης κυλινδούμενον νοσεῖν».

Ἀριστείδ. Τόμ. Α', σελ. 51 «καὶ ταῦτα μέντοι ἀπὸ κλίνης καὶ *σκίμποδος*» καὶ σελ. 535 «ἦν δέ τις ἐν προθύρῳ τοῦ πανδοκείου *σκίμπους*» καὶ σελ. 538 «παρελθὼν δὲ εἰς δωμάτιον καὶ *σκίμποδος* εὐπορήσας» καὶ «διενυκτέρευσα καθήμενος τὰ πλείω ἐπὶ τοῦ *σκίμποδος*».

Μουσών. σελ. 202 Πηρλ. «τοῦ μὲν *σκίμποδος* οὐδὲν κακίω παρεχομένου κατάκλισιν ἡμῖν τῆς ἀργυρᾶς ἢ τῆς ἐλεφαντίνης κλίνης».

Μάρκ. Ἀντων. Α΄, 6 «καὶ τὸ *σκίμποδος* καὶ δορᾶς ἐπιθυμῆσαι».

Ἡρωδιαν. Ἱστορ. Α΄, δ΄, 1 Βεκκ. «ἡσυχῇ τοῦ *σκίμποδος* κουφίσας ἑαυτόν» καὶ ιζ΄, 3 «τίθησιν ἐπὶ τοῦ *σκίμποδος*» καὶ 4 «ἐπὶ τοῦ *σκίμποδος* κείμενον» καὶ Β΄, α΄, 6 «μηδ' ἀναθορεῖν τοῦ *σκίμποδος*». Πρβ. καὶ ς΄, 7 καὶ Ζ΄, ε΄, 4.

Κλήμ. Ἀλεξ. σελ. 53 «κἀπὶ τοῦ *σκίμποδος* κατακείμενοι κτέ.» καὶ σελ. 190 «ἐγὼ δέ φημι καὶ τοὺς *σκίμποδας* οὐδὲν κακίω παρεχομένους κατάκλισιν τῆς ἐλεφαντίνης κλίνης» καὶ σελ. 217 «ἔτι γε μὴν οἱ ἀργυρόποδες *σκίμποδες* πολλῆς ἀλαζονείας εἰσὶ κατήγοροι».

Εὐσέβ. Ἐκκλ. Ἱστορ. Ϛ΄, μ΄, 6 «ὡς εἴχομεν ἐπὶ τῶν ἀστρώτων *σκιμπόδων* κατακείμενοι».

Λιβάν. Τόμ. Α΄, σελ. 96, 2 «τὸ ὡς ἥδιστα περὶ ταῦτα πονεῖν οἴκοι τε ἐπὶ τῆς κλίνης, ἐπὶ δὲ τοῦ *σκίμποδος* ἐν τῷ διδασκαλείῳ».

Μιχ. Ψελλ. Μεσαιων. Βιβλ. Σάθ. Τόμ. Δ΄, σελ. 221 «*σκίμπους* τε ὑπέκειτο τοῖς ποσί».

Γαλην. Τόμ. Γ΄, σελ. 174 «θαυμαστὸν γὰρ ἂν καὶ τοῦτο τῶν Κενταύρων ἐκείνων εἴη, οὔτε τῷ *σκίμποδι* χρῆσθαι δυναμένων ὅλῳ οὔτ' ἐπὶ τῆς γῆς ἀναπαύεσθαι· δεῖται γὰρ τῶν ἐν αὐτοῖς μορίων ἡ κατασκευὴ τοῦ σώματος ἑκατέρα θατέρου, ἡ μὲν ἀνθρώπειος *σκίμποδος*, ἡ δ' ἵππειος γῆς» καὶ Τόμ. Ι΄, σελ. 728-9 «εἰσφέρειν μέντοι καὶ τούτους εἰς τὸν οἶκον ἤτοι γ' ἐπὶ *σκίμποδος* ἢ φορείου τινός» καὶ Τόμ. ΙΔ΄, σελ. 636 «*σκίμπους* δέ τις ἔζευκτο μικρὸν τῶν μέσων αὐτῆς κατωτέρω—καθέδρα δ' ἦν μία τοῦ *σκίμποδος* σύμμετρον ἐφ' ἑαυτῇ ἐπ' αὐχένι ἔχουσα· καταντικρὺ δὲ τοῦ *σκίμποδος* πρὸς τοῖς ἄνω πέρασι τῆς κλίνης ἐφεξῆς ἀλλήλων ἔκειντο δύο βάθρα» καὶ σελ. 638 «ἀναστορεσθῆναι τὸν *σκίμποδα* κελεύσας» καὶ σελ. 639 «μετακομίσας ἀπὸ τῆς κλίνης τὸ παιδίον ἐπὶ τὸν *σκίμποδα*». Ἀναγνωστέον δ' ἴσως «καθέδρα δ' ἦν *μετὰ τὸν σκίμποδα* σύμμετρον ἐφ' ἑαυτῆς *ὑπαυχένιον* ἔχουσα».

Ἐν τῇ Ἀναβάσει τοῦ Ξενοφῶντος βιβλ. Ϛ΄, α΄, 4 τινὰ μὲν τῶν ἀντιγράφων ἔχουσι «κατακείμενοι δὲ ἐν *σκίμποσιν* ἐδείπνουν καὶ ἔπινον ἐκ κερατίνων ποτηρίων», τινὰ δὲ «κατακείμενοι δὲ ἐν *στιβάσιν* ἐδείπνουν», ὡς εἶνε καὶ παρὰ τῷ Ἀθηναίῳ γεγραμμένον σελ. 476 γ΄

παρατιθεμένῳ τὴν ῥῆσιν τοῦ Ξενοφῶντος. Τῶν δ' ἐκδοτῶν ἄλλοι μὲν ταύτην τὴν γραφὴν ἐνέκριναν, ἄλλοι δ' ἐκείνην.

Τοῦ περὶ οὗ ὁ λόγος ὀνόματος ποιεῖται μνείαν ὁ Πολυδεύκης λέγων Ϛ', 9 «κλῖναι κλινίδες κλινίδια, *σκίμποδες*, ἀσκάνται» καὶ Ι', 35 «ἀλλὰ καὶ *σκίμπους* τῶν ἔνδον σκευῶν, ὃς καὶ ἀσκάντης ἐστὶν εἰρημένος καὶ σκιμπόδιον».Πρβ. καὶ Ι', 36 «καὶ μὴν τό γε τῇ κλίνῃ ἢ τῷ σκίμποδι ἐντεταμένον—σπάρτα, σπαρτία, τόνος». Ὁ Εὐστάθιος γράφει ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 1077, 64 «ὅπερ ἀπὸ ῥήματός ἐστι τοῦ σκίμπτω, ὡς χρίμπτω, ἐξ οὗ εἰκὸς εἶναι, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, τὸν παρ' Ἀττικοῖς *σκίμποδα*, εὐτελῆ κλίνην καὶ χθαμαλὴν πελάζουσαν τῇ γῇ».

Τὸ ὑποκοριστικὸν *σκιμπόδιον* μνημονεύεται καὶ ὑπὸ τοῦ Ἡσυχίου «*Σκιμπόδιον*: εὐτελὲς κλινίδιον μονόκοιτον». Ἱκανὰ δ' αὐτοῦ μαρτύρια εἶνε ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου παρατεθειμένα Τόμ. Ζ', σελ. 392. Ἀπαντᾷ δὲ καὶ παρὰ τῷ Γαληνῷ Τόμ. Γ', σελ. 174: *σκιμποδίῳ* καὶ παρὰ τῷ Αἰλιανῷ Ποικ. Ἱστορ. Δ', 11: *σκιμποδίῳ* καὶ παρὰ τῷ Ἡρωδιανῷ Ἱστορ. Ζ', ε', 3: *σκιμποδίου* καὶ παρὰ τῷ Ψευδολουκιανῷ Λουκ. ἢ Ὄν. 3: *σκιμπόδιον* καὶ παρ' ἄλλοις.

Πολλῷ σπανιώτερον τοῦ οὐδετέρου ὑποκοριστικοῦ *σκιμπόδιον* εἶνε τὸ ἀρσενικὸν *σκιμποδίσκος*, οὗ μαρτύρια βλέπει τις ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Ζ', σελ. 392 ἐκ τοῦ Συνεσίου καὶ Νικήτα τοῦ Χωνιάτου. Πρβ. *τρίπους* - *τριπόδιον* - *τριποδίσκος*.

Ὁμοίαν τῷ *σκίμπους* ἔννοιαν ἐμφαίνει τὸ *κράβατος* ἤ, ὡς συνήθως γράφεται, *κράββατος*, ὃ κεῖται μὲν ἐν ταῖς Διατριβαῖς τοῦ Ἐπικτήβιβλ. Α', κδ', 14 «ὡς τὸν *κράββατον* ἐν τῷ πανδοκείῳ» καὶ «ἂν οὖν ὁ πανδοκεὺς ἀποθανὼν ἀπολίπῃ σοι τοὺς *κραββάτους*», κεῖται δ' ἐν τῇ Καινῇ Διαθήκῃ πολλάκις, οἷον Μάρκ. Β', 4 «χαλῶσι τὸν *κράββατον*» καὶ Β', 9 καὶ 11 καὶ Ϛ', 55 καὶ Ἰωάνν. Ε', 8 «ἆρον τὸν *κράββατόν* σου» καὶ Ε', 9-11 καὶ Πράξ. Ε', 15 «ἐπὶ κλιναρίων καὶ *κραββάτων*»καὶ Θ', 33.

Γίνεται δὲ χρῆσις τοῦ ὀνόματος τούτου καὶ ἐν τῷ Λεξικῷ τοῦ Φωτίου καὶ ἐν τῷ τοῦ Ἡσυχίου καὶ ἐν τῷ τοῦ Σουίδα καὶ ἐν τῷ τοῦ Ζωναρᾶ.

Φώτ. Λεξ. σελ. 520, 14 «Σκίμπους: *κράββατος* ἢ σκάμνος».

Ἡσύχ. «Ἀσκάντης: *κράββατος*, κλινίδιον εὐτελές» καὶ «Σκάνθαν: *κράββατον*» καὶ «Σκίμποδα: *κράββατον*» καὶ «Σκιμπόδων: «*κραββάτων*» καὶ «Σκίμπους: *κράββατος*» καὶ «Χάλανδρον: *κράββατον*».

Σουίδ. σελ. 173 β′ Βεκκ. «Ἁρμονίαι δὲ λέγονται καὶ τὰ συμπησσόμενα τῶν *κραββάτων* μέρη» καὶ σελ. 471 β′ «Ἁρμονίας δὲ τὰ συμπησσόμενα τῶν *κραββάτων* μέρη» καὶ σελ. 1036 β′ «Τόνος καὶ τοῦ *κραββάτου* τὰ σχοινία» Πρβ. καὶ σελ. 181 β′ λ. *ἄσκαντος* καὶ σελ. 959 α′ λ. *σκίμπους*.

Ζωναρ. Λεξ. σελ. 1650 «Σκίμπους: τὸ μέσον τοῦ *κραββάτου*, μεταφορικῶς δὲ καὶ ὅλος ὁ *κράββατος*». Ἐν τῷ Μεγάλῳ Ἐτυμολογικῷ εἶνε γεγραμμένον σελ. 717, 53 «Λέγεται δὲ τὸ *μέρος* τοῦ κραββάτου, μεταφορικῶς δὲ ὅλος ὁ κράββατος».

Ἀπαντᾷ δὲ καὶ ἐν τοῖς εἰς Εὐριπίδην Σχολίοις Τόμ. Α′, σελ. 174, 9 Διν δ. «Σίνις ἐγένετο, ὅστις εἶχε *κράββατον* ἀνὰ μέσον τῆς ὁδοῦ καὶ ἐκράτει τοὺς παριόντας καὶ προσεμέτρει τῷ *κραββάτῳ*· καὶ εἰ μὲν ἦν μακρός, ἀπέκοπτεν ἐκ τῶν ποδῶν αὐτοῦ διὰ τὸ ἰσῶσαι αὐτὸν τῷ *κραββάτῳ*, κτέ.». Ἴδε Στούρζιον ἐν τῷ περὶ Διαλέκτου Μακεδονικῆς καὶ Ἀλεξανδρεωτικῆς Βιβλίῳ σελ. 176. Πρβ. καὶ Λοβέκκιον εἰς *Φρύν*. σελ. 63.

Ἐσχηματίσθη καὶ ὑποκοριστικὸν *κραβάτιον* ἢ *κραββάτιον*, οὗ ἔχομεν παραδείγματα τὸ ἐν ταῖς Διατριβαῖς τοῦ Ἐπικτήτου βιβλ. Γ′, κβ′, 74 «οὐ δεῖ αὐτὸν—τούτοις *κραββάτιον* ἑτοιμάσαι;» καὶ τὸ ἐν τῷ Λεξικῷ τοῦ Σουίδα «Κλίνη: τὸ *κραββάτιον*» καὶ τὸ ἐν τῷ τοῦ Ἡσυχίου «Λέκτρα: *κραββάτια*». Ἴδε καὶ Ε. Α. Σοφοκλῆ ἐν *Ἑλλην. Λεξ.* σελ. 688.

Μνημονεύεται καὶ ὄνομα σύνθετον *χωλοκραβάτιον* ἐν τοῖς εἰς Ἀριστοφάνη Σχολίοις σελ. 92, 30 Διδ. «Σκίμποδα: Τὸν κράβατον σκίμποδα λέγουσιν Ἀττικοί. Οἱ δέ φασι σκιμπόδιον ἰδίως λέγεσθαι τὸ *χωλοκραβάτιον*· σκιμβάζειν γὰρ τὸ χωλαίνειν παρὰ τοῖς παλαιοῖς. Ἢ τὸν σκιμβοὺς ἔχοντα τοὺς πόδας» (Πρβ. καὶ Σουίδ. λ. *σκίμπους*). Ἐλέχθη δὲ καὶ *κραβατοπυρία* ἐν τῷ Μαρτυρίῳ τοῦ Ἰγνατίου Θ′ (Πατέρ. Ἀποστολ. Τόμ. Β′, σελ. 313, 12 Ζανν.) «*κραβατοπυρίαις* σε ἀναιρῶ».

Ὁ Φρύνιχος ἀποφαίνεται σελ. 62 «*Σκίμπους* λέγε, ἀλλὰ μὴ *κράβ-βατος*». Λέγει δὲ καὶ Θωμᾶς ὁ Μάγιστρος σελ. 333, 2 «*Σκίμπους* ῥητορικόν, *κράββατος* κοινόν. Λιβάνιος ἐν τῇ τοῦ φθονεροῦ μελέτῃ· πεσὼν εἰς τὸν *σκίμποδα* τὸν οὐκ ἀμειφθέντα παρὰ τῆς τύχης. Λέγεται δὲ καὶ *σκίμπους* τὸ σκαμνίον. Ἀριστοφάνης ἐν Νεφέλαις· κάθιζε τοίνυν ἐπὶ τὸν ἱερὸν *σκίμποδα*» καὶ ὁ Εὐστάθιος ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 1944, 18 «Λέχος δὲ δῆλον ὅτι τὴν κλίνην λέγει, ἣν οἱ ὕστερον καὶ *ἀσκάντην* καὶ *σκίμποδα* ἔλεγον, ὡς δηλοῖ ὁ γράψας οὕτως· *ἀσκάντης* Ἀττικῶς, συνηθέστερον δὲ ὁ *σκίμπους*· ὁ δὲ *κράβ-βατος*, φησί, παρ' οὐδενί». Πρβ. καὶ Μοῖρ. σελ. 58 «*Ἀσκάντης* Ἀττικῶς, *κράβατος* Ἑλληνικῶς» καὶ Ἐτυμ. Μέγ. σελ. 154, 29 «*Ἀσκάντης*: κλινίδιον εὐτελές, ὃ ὑπὸ τῶν Ἀττικῶν *σκίμπους* ὀνομάζεται. Καλλίμαχος καὶ· τὸν μὲν ἐπ' *ἀσκάντα* κάθισεν· καὶ Ἀριστοφάνης· ἕξει τὸν *ἀσκάντην* λαβών· καὶ Πλάτων ὁ φιλόσοφος Πρωταγόρᾳ· καὶ ἅμα ἐπιψηλαφήσας τοῦ *σκίμποδος* ἐκαθέζετο παρ' ἐμέ· Ὁ δὲ *κράββατος* οὐ παρ' ἑνί». Ἀντὶ τοῦ *Καλλίμαχος καὶ* ὁ μὲν Ναίκιος ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῆς Καλλιμάχου Ἑκάλης σελ. 124 εἴκασε *Καλλίμαχος Ἑκάλῃ*, ὁ δ' Ὀθ. Σνειδῆρος ἐν τῇ ἐκδόσει τῶν Καλλιμαχείων Τόμ. Β', σελ. 479 *καὶ Καλλίμαχος*.

Ἐν τοῖς βαρβαρισμοῖς κατέλεξε τὴν χρῆσιν τοῦ ὀνόματος *κράβ(β)ατος* ὁ Πολύβιος ὁ γράψας τὸ περὶ Βαρβαρισμοῦ καὶ Σολοικισμοῦ συνταγμάτιον, ὃ συνεξέδωκεν ὁ Ναύκιος τῷ Λεξικῷ Ἀνδρέου τοῦ Λοπαδιώτου καὶ ἄλλοις τισίν. Ἔχει δ' οὕτως ὁ λόγος τοῦ Πολυβίου (σελ. 285, 7) «Βαρβαρίζουσι δὲ καὶ οἱ ὅλως ἐκφύλοις ταῖς λέξεσιν ἢ καθόλου ὑπηλλαγμέναις χρώμενοι καὶ λέγοντες στίλλον μὲν τὸ γραφεῖον καὶ *κράβ(β)ατον* τὸν σκίμποδα». Ἀντὶ τοῦ *στίλλον* γραπτέον *στίλον*. Ἐκαλεῖτο δὲ ῥωμαϊστὶ *stilus* (ἢ *stylus*) τὸ γραφεῖον ἤτοι ἡ γραφίς (Ἴδε καὶ ἃ ἐγράψαμεν ἐν τῷ περιοδικῷ συγγράμματι Παρνασσῷ 1879, σελ. 823).

Παρατιθέμεθα καὶ τὰ ὑπὸ τοῦ Πολυδεύκους εἰρημένα Ι', 35 «Ἀλλὰ καὶ σκίμπους τῶν ἔνδον σκευῶν, ὃς καὶ ἀσκάντης ἐστὶν εἰρημένος καὶ σκιμπόδιον. Ἐν δὲ τῇ Κρίτωνος Μεσσηνίᾳ καὶ τῷ Ῥίνθωνος Τηλέφῳ καὶ *κράββατον* εἰρῆσθαι λέγουσιν· ἐγὼ δ' οὐκ ἐντετύχηκα τοῖς δράμασιν. Τῶν γὰρ ἀδοξοτέρων ἡ χαμεύνη καὶ τὸ χαμεύνιον». Ὁ Κόκκιος ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Κωμικῶν Τόμ. Γ',

σελ. 354 ἀνέγνω «ἐγὼ δ' οὐκ ἐντετύχηκα τοῖς δράμασιν· τῶν γὰρ ἀδοξοτέρων (εἰσίν)», οὗ κάλλιον τὸ «τῶν γὰρ ἀδοξοτέρων (*ἐστίν*)». Δὲν φαίνεται ἡμῖν εὔλογος ἡ ἀνάγνωσις αὕτη.

Ὁ Σωζομενὸς γράφει ἐν τῇ Ἐκκλησιαστικῇ Ἱστορίᾳ Τόμ. Α', κεφ. 11 (σελ. 51 Οὐσσ.) «Λέγουσιν οὖν χρόνῳ ὕστερον κατά τινα χρείαν εἰς ταὐτὸ συνελθεῖν τοὺς ἐπισκόπους τῆς Κύπρου· εἶναι δὲ σὺν αὐτοῖς Σπυρίδωνα τοῦτον καὶ Τριφύλλιον τὸν Λεδρῶν ἐπίσκοπον, ἄνδρα ἄλλως τε ἐλλόγιμον καὶ διὰ νόμων ἄσκησιν πολὺν χρόνον ἐν τῇ Βηρυτίων πόλει διατρίψαντα. Συνάξεως δὲ ἐπιτελουμένης, ἐπιτραπεὶς Τριφύλλιος διδάξαι τὸ πλῆθος, ἐπεὶ τὸ ῥητὸν ἐκεῖνο παράγειν εἰς μέσον ἐδέησε τὸ *ἆρόν σου τὸν κράββατον καὶ περιπάτει*, *σκίμποδα* ἀντὶ τοῦ *κραββάτου* μεταβαλὼν τὸ ὄνομα εἶπε. Καὶ ὁ Σπυρίδων ἀγανακτήσας, οὐ σύ γε, ἔφη, ἀμείνων τοῦ κράββατον εἰρηκότος, ὅτι ταῖς αὐτοῦ λέξεσιν ἐπαισχύνῃ κεχρῆσθαι. Καὶ τοῦτο εἰπὼν ἀπεπήδησε τοῦ ἱερατικοῦ θρόνου, τοῦ δήμου ὁρῶντος, ταύτῃ γε μετριάζειν παιδεύων τὸν τοῖς λόγοις ὠφρυωμένον». Οὐδεὶς δύναται νὰ μὴ ἀποδοκιμάσῃ ἣν ἀκαιρότατα ὁ Τριφύλλιος ἐποιήσατο ἐπίδειξιν τῆς περὶ τὴν Ἑλληνικὴν γλῶσσαν δεινότητος. Εἶπε καὶ Κλήμης ὁ Ἀλεξανδρεὺς σελ. 101 «ἀνάστα, φησὶ τῷ παρειμένῳ, *τὸν σκίμποδα* ἐφ' ὃν κατάκεισαι λαβὼν ἄπιθι οἴκαδε», ὡς παρετηρήθη καὶ ὑπὸ τοῦ Στουρζίου ἐν τῷ περὶ Διαλέκτου Μακεδονικῆς καὶ Ἀλεξανδρεωτικῆς Βιβλίῳ σελ. 176 καὶ ὑπὸ τοῦ Οὐσσηίου ἐν τῇ ἐκδόσει τοῦ Σωζομενοῦ Τόμ. Γ', σελ. 18. Ἀλλ' ἐν γραπτῷ λόγῳ τοῦτο γενόμενον εἶνέ πως ἀνεκτόν (Ἴδε καὶ Οἰκονόμον ἐν τῷ περὶ τῶν Ο' συγγράμματι Τόμ. Β', σελ. 929). Σημειωτέον δ' ὅτι, ἵν' Ἀττικωτέραν τὴν φράσιν ὁ Κλήμης καταστήσῃ, ἔγραψε σελ. 155 «διότι παγκάλως αὐτὸς αὑτὸν ἐξηγούμενος κόκκῳ *νάπυος* εἴκασεν» ἀντὶ τοῦ «κόκκῳ *σινάπεως*» (Ματθ. ΙΓ', 31 καὶ Λουκ. ΙΓ', 19). Ἐν τῇ Εὐαγγελικῇ Προπαρασκευῇ τοῦ Εὐσεβίου ΙΓ', ιγ', 12 εἶνε εἰρημένον «εἶτ' ἐπιφέρει· καὶ εἶπεν ὁ θεός· *γενέσθω* φῶς, καὶ ἐγένετο φῶς» ἀντὶ τοῦ ἐν τῇ Γενέσει κεφ. Α', 3 «*γενηθήτω* φῶς». Πρβ. καὶ Λογγῖν. (ἢ Ψευδολογγῖν.) περὶ Ὕψ. Θ', 9 «ταύτῃ τοι καὶ ὁ τῶν Ἰουδαίων θεσμοθέτης—εὐθὺς ἐν τῇ εἰσβολῇ γράψας τῶν νόμων, εἶπεν ὁ θεός, φησί, τί; *γενέσθω* φῶς, καὶ ἐγένετο· γενέσθω γῆ, καὶ ἐγένετο».

Εἴπομεν ἐν τοῖς ἔμπροσθεν ὅτι γράφεται συνήθως *κράββατος* διὰ διττοῦ Β. Ἐν τῷ Προλόγῳ τῆς ὑπὸ Κοβήτου καὶ Κυνῆνος ἐκδόσεως τῆς Καινῆς Διαθήκης σελ. 81 φέρονται τάδε· «Perpetuo fere inter sese scriba et corrector dissident in nomine ΚΡΑΒΑΤΟΣ. Prima manus dedit κράβαττον Marc. 2, 4. 2, 9 et 2, 11 et Ioh. 5, 8, κραβάττων Act. 5, 15, et κραβάττου Act. 9, 33. Unico loco dedit κραβάτοις Marc. 6, 55, nisi (ut suspicamur) Maii is error est. Corrector ubique supposuit κράββατον, κραββάτου, κραββάτων et κραββάτοις, nosque eius auctoritatem secuti sumus. Revocat nos poëtarum Latinorum auctoritas, apud quos saepe *grabatus* legitur penultima longa correptaque prima, ut in Martialis choliambo XII. 32. vs. 11.

Ibat tribes *grabatus* et bipes mensa.

et in Moreto Virgiliano vs. 5.

Membra levat sensim vili demissa *grabato*.

quamobrem scripturam primae manns κράβαττον cet. potiorem esse iudicamus et ubique reponendam».

Πιθανώτατον φαίνεται ὅτι ἡ ὑγιῶς ἔχουσα ἐκφορὰ τοῦ περὶ οὗ ὁ λόγος ὀνόματος εἶνε *κράβατος*, οὐχὶ *κράββατος* ἢ *κράβαττος*.

Ἐν τῇ καθ' ἡμᾶς ἰδιωτικῇ φωνῇ κυκλεῖται τὸ διὰ τοῦ Ε προηνηνεγμένον ὄνομα *κρεβ(β)ᾶτι*, ὃ ἔχει μὲν ὑποκοριστικὸν τύπον, ἰσοδυναμεῖ δὲ κατὰ τὴν συνήθειαν τῆς κοινῆς ἡμῶν γλώσσης τῷ πρωτοτύπῳ *κράβ(β)ατος*. Πρὸς δήλωσιν δ' ὑποκορισμοῦ ἐσχηματίσθη ἐκ τοῦ *κρεβ(β)ᾶτι* τὸ *κρεβ(β)ατάκι*. Πρβ. *παιδί-παιδάκι*, *χέρι-χεράκι*, *μάτι-ματάκι*, *χτένι-χτενάκι*, *ἀρνί-ἀρνάκι*, *δερμάτι-δερματάκι*, *σκαμνί-σκαμνάκι*, *καλάμι-καλαμάκι*, *τραπέζι-τραπεζάκι*, κτλ., *λιθάρι-λιθαράκι*, *κριθάρι-κριθαράκι*, *ζωνάρι-ζωναράκι*, *πουρνάρι* (πρινάρι)-*πουρναράκι*, κτλ.

Ἐν τῷ ὑπὸ Σκαρλάτου τοῦ Βυζαντίου πεφιλοπονημένῳ Λεξικῷ τῆς καθ' ἡμᾶς Ἑλληνικῆς Διαλέκτου φέρεται σελ. 187 «Κρεββατάκι. Κλινίδιον. petit-lit» καὶ «Κρεββαταρηὰ, ἴδε Καλαμωτὴ καὶ Σκαλωσιά» καὶ «Κρεββάτι. Κλίνη, λέκτρον, λέχος (τὸ), κράββατος, lit» καὶ «Κρεββατοστρῶσι' (ἡ), ἴδε Κοιμησιόν» καὶ σελ. 253 «Ξυλοκρέββατον. Σορὸς (ἡ), φέρετρον, λέχος (τὸ νεκροφόρον), σκίμ-

πους (ὁ) καὶ κλίνη (νεκροφόρος). cercueil, bière (κυρίως τὸ σανδοῦκι), θ». Ἀντὶ τοῦ *κρεββαταρΗά* γραπτέον *κρεβ(β)αταρλά*. Ἐν τῷ Βυζαντιακῷ ἑλληνισμῷ ἀπαντᾷ διττὴ ἐκφορά, *κραβαταρΙα* καὶ *κραβαταρΕα*.

Ὁ Κοραῆς γράφει ἐν *Ἀτάκτ.* Τόμ. Α', σελ. 238-9 «Κρεβατοστρώσια. ΔΓ, *Κραβατοστρώσια*. Σώζεται ἡ λέξις καὶ σήμερον, τὸ *Κρεβατοστρώσιον* (une garniture de lit)». Πρβ. Τόμ. Ε', σελ. 135 «**Κραββατοστρώσιον,** Δ. συνηθέστερον διὰ τοῦ ε, Κρεββατοστρώσιον». Ἐν τῷ εἰς τὸ Γλωσσάριον τοῦ Δουκαγγίου Παραρτήματι λέγεται σελ. 114 «Κραββατόπους, *Pes lecti*. Etymologicum Ms. ἑρμὶς σημαίνει κραββατόποδα», ἐν δὲ τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Δ', σελ. 1906 Διδ. «Κραββατοπόδιον, τό, Pes lecti. Lex. Ms».

Φέρεται δ' ἐν τῇ χυδαίᾳ λαλιᾷ καὶ ὄνομα *κρεβ(β)ατίνα*. Πρβ. καὶ Κοραῆν ἐν *Ἀτάκτ.* Τόμ. Ε', σελ. 287. Ἐσχηματίσθη δὲ καὶ ῥῆμα *κρεβ(β)ατώνω* καὶ ὄνομα ἐξ αὐτοῦ *κρεβ(β)ατωσιά*.

ΚΕΦ. ΙΖ'.

Τοῖς ἀπολήγουσι τοῦ Πηλίου [πέρασι].

Ἐν τοῖς Γεωγραφικοῖς τοῦ Στράβωνος φέρεται σελ. 436 (σελ. 615, 28 Μειν.) «Ἡ δὲ Βοιβηὶς λίμνη πλησιάζει μὲν ταῖς Φεραῖς, συνάπτει δὲ καὶ τοῖς ἀπολήγουσι τοῦ Πηλίου πέρασι καὶ τῆς Μαγνησίας».

Παράδοξος ἡμῖν φαίνεται ἡ φράσις «συνάπτει δὲ καὶ *τοῖς ἀπολήγουσι* τοῦ Πηλίου *πέρασι* καὶ τῆς Μαγνησίας», οὐδαμῶς δ' ἀμφιβάλλομεν ὅτι ἐγράφη ὑπὸ τοῦ Στράβωνος «συνάπτει δὲ καὶ *τοῖς ἀπολήγουσι* τοῦ Πηλίου καὶ τῆς Μαγνησίας» ἄνευ τοῦ ὀνόματος *πέρασι*, ὅπερ οὐδὲν ἄλλο εἶνε ἢ ἐξήγησις τῆς μετοχῆς *ἀπολήγουσι*. Εἶπε δ' ὁ Στράβων καὶ «Τῶν Θηβῶν δὲ ἐν τῇ μεσογαίᾳ τὸ Κρόκιον πεδίον πρὸς *τῷ καταλήγοντι* τῆς Ὄθρυος, δι' οὗ ὁ Ἄμφρυσος ῥεῖ» (σελ. 435), τουτέστι «πρὸς *τῷ πέρατι* τῆς Ὄθρυος». Κεῖται δὲ καὶ ἐν ἐπιγραφῇ Ῥοδίᾳ (Συλλ. Ἐπιγρ. Βοικκ. Τόμ. Β', σελ. 574) «ἄλλον ὅρον

ἐπεκολάψαμεν ἐν τῷ *ΚΑΤΑλήγοντι* τοῦ λόφου» καὶ «εἰς τὸ *ΑΠΟλῆγον* αὐτοῦ ὄρους ἐπεκολάψαμεν».

Καὶ ἄλλα δ' ἔχομεν νὰ καταλέξωμεν παραδείγματα τῆς χρήσεως τῆς συνάρθρου μετοχῆς *τὸ ἀπολῆγον-τὸ καταλῆγον* καὶ *τὰ ἀπολήγοντα -τὰ καταλήγοντα* πρὸς δήλωσιν τοῦ πέρατος καὶ τῶν περάτων, οἷον

Πολύβ. Ε', νθ', 5 «ᾧ πρὸς μὲν τὴν ἀφ' ἑσπέρας πλευρὰν προσκλύζει *τὸ καταλῆγον* τοῦ πελάγους τοῦ μεταξὺ κειμένου Κύπρου καὶ Φοινίκης».

Πλούτ. Ἠθικ. σελ. 972 ς' «*τῷ δ' ἀπολήγοντι* τῆς οὐρᾶς ἐμαστίγου τὰς κνήμας» καὶ Φαβ. Ϛ', 1 «ἐμβάλλουσιν αὐτοῦ τὴν δύναμιν φέροντες εἰς *τὰ καταλήγοντα* τῆς Καμπανίας». Πρβ. καὶ Ἀριστείδ. ΙΑ', 7 «ἄφιππα ποιούσας *τὰ καταλήγοντα* καὶ συγκυροῦντα τοῦ πεδίου πρὸς τὸ ἱερόν».

Ἀθήν. σελ. 488 ε' «κατὰ μὲν τὴν ἀπόστασιν τοῦ ἀγγείου φυλάττουσι τὴν διάσχισιν, κατὰ δὲ *τὸ ἀπολῆγον* πρὸς τὴν τοῦ χείλους ἔρεισιν πάλιν συμφυεῖς». Ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς τοῦ Εὐσταθίου σελ. 870, 17 εἶνε γεγραμμένον «τὸ σχίσμα διόλου τηροῦσαι *πρὸς τὸ ἀπολῆγον τῆς ἐρείσεως* συμφύονται». Φέρεται δὲ καὶ παρὰ τῷ Ἀθηναίῳ γραφὴ «πάλιν *συμφύονται*». Ὁ Καιβέλιος ἐξέδωκεν ἀκολουθήσας τῷ Οὐϊλαμοβιτζίῳ «πάλιν συμφυεῖς (*εἰσιν*)».

Παυσαν. Η', λς', 7 «τοῦ δὲ ὄρους ὑπὸ *τοῖς καταλήγουσι* πόλεως σημεῖα Λυκόας».

Ῥοὺφ. Ἐφέσ. σελ. 178, 4 «παρατεταμένον τῷ θώρακι κατὰ *τὰ ἀπολήγοντα* τῶν πλευρῶν» καὶ σελ. 184, 12 «μάλιστα *τοῖς ἀπολήγουσι* τῶν ὀστῶν συμφυεῖς τυγχάνοντες» καὶ σελ. 192, 13 «συνήρμοσται δὲ τῷ τῆς περόνης *ἀπολήγοντι*».

Ὀρειβάσ. Τόμ. Δ', σελ. 286, 10 «κατὰ *τὰ ἀπολήγοντα* τοῦ βρέγματος ὑπεράνω τοῦ πρώτου ἅμματος ἀμματίζεται».

Πολυδεύκ. Β', 71 «τὸ δὲ *καταλῆγον* τῶν λογάδων πρέμνον καλεῖται» καὶ 177 «καὶ ταύτης *τὸ καταλῆγον* ἀντίστερνον» καὶ 197 «τὸ δ' *ἀπολῆγον* τοῦ ποδὸς κατόπιν πτέρνα». Πρβ. Α', 85 «τὸ δὲ *καταλῆγον* αὐτοῦ ἐπὶ τὴν πρῷραν προεμβολίς» καὶ Β', 90 «τὰ δ' ἑκατέρωθεν αὐτῶν ἐπὶ τὰς γνάθους *καταλήγοντα* χαλινοί» καὶ 136 «ὑποτραχήλιον μὲν οὖν καλοῦσι τὸ ὑπὸ τοὺς αὐχένας μεταξὺ ὠμοπλατῶν *καταλῆγον* ἐπὶ τὸ μετάφρενον».

Φώτ. Λεξ. σελ. 405, 3 (καὶ Σουίδ. σελ. 835 β' Βεκκ.) «Πέζα: τὸ ἄκρον ἢ τὸ *ἀπολῆγον* τοῦ χιτῶνος».

Σχόλ. εἰς Καλλιμ. Ὕμν. εἰς Ἄρτεμ. 12 (σελ 116 Σνειδ.) «τὸ ἔχον ᾤαν, τουτέστι τὸ *ἀπολῆγον* τοῦ ἱματίου».

Ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου εἶνε παρειλημμένον τὸ ὄνομα *αἱ ἀπολήξεις*. «Στεφάναι: — καὶ αἱ τῶν βλεφάρων *ἀπολήξεις*». Πρβ. καὶ Δημήτρ. περὶ Ἑρμην. 182 «τῶν γὰρ κώλων ἀμφοτέρων *αἱ ἀπολήξεις* μετροειδές τι ἔχουσιν». Παρὰ τῷ Ἀθηναίῳ κεῖται σελ. 491 ε' «τούτων δ' αὖ συνάφεια κατὰ τὴν τελευταίαν *ὙΠΟλῆξιν*», ἀνθ' οὗ ὁ Καιβέλιος εἴκασεν *ἈΠΟλῆξιν*. Πρβ. καὶ Εὐστάθ. σελ. 870, 24 «ἑτέρας δὲ δύο ἐν ταῖς κάτω συναφείαις τῶν *ὙΠΟλήξεων*».

Ἐν τῷ ὑπὸ Σκαρλάτου τοῦ Βυζαντίου συντεθέντι Λεξικῷ τῆς Ἑλληνικῆς Γλώσσης σελ. 793 φέρεται «(ἡ μετοχὴ) Τὰ λήγοντα, **Ἡρ.**, ἀντὶ τὰ Πέρατα». Ἄγνωστον ἡμῖν ὑπάρχει ποῦ εἶπεν ὁ Ἡρόδοτος *τὰ λήγοντα*, γινώσκομεν δ' ὅτι ὑπὸ τοῦ Πλουτάρχου ἐλέχθη ἐν τοῖς Ἠθικοῖς σελ. 870 β' «Φησὶ τοίνυν (ὁ Ἡρόδοτος) Ἀθηναίους λέγειν ὡς Ἀδείμαντος—ἔφευγεν — εἶτα μέντοι κέλης ἐλαυνόμενος αὐτῷ συνέτυχε περὶ *τὰ λήγοντα* τῆς Σαλαμινίας». Ἀλλὰ δὲν μνημονεύει ὁ Πλούταρχος αὐταῖς λέξεσι τὰ ὑπὸ τοῦ Ἡροδότου ἱστορημένα βιβλ. Η', 94.

Θαυμαστὸν ἡμῖν φαίνεται ὅτι ὁ Κοιχλῦς, ἀνὴρ ἐλλογιμώτατος ἐπὶ σοφίᾳ, παρατιθέμενος ἐν *Opusc. Philol.* Τόμ. Β', σελ. 344-5 ῥῆσιν ἐκ τῶν Ἱστοριῶν τοῦ Ἀγαθίου βιβλ. Β', 5 (σελ. 74-5) ἀντὶ τοῦ «εἰ δέ γε ἐς ἀσπίδα παγείη, ἀποκρέμαται μὲν αὐτίκα ἐξ αὐτῆς καὶ ξυμπεριάγεται συρομένου ἐν τῷ ἐδάφει *τοῦ ἀπολήγοντος*» εἰκάζει «συρομένου ἐν τῷ ἐδάφει *τοῦ ἀπολείποντος*». Ἄριστ' ἔχει ἡ παραδεδομένη γραφὴ *τοῦ ἀπολήγοντος*, τουτέστι *τοῦ πέρατος*, οὐδεὶς δὲ δύναται νὰ νοήσῃ τὸ «συρομένου ἐν τῷ ἐδάφει *τοῦ ἀπολείποντος*». Ἀπαντᾷ δὲ παρὰ τῷ Ἀγαθίᾳ καὶ «οἱ βάρβαροι ἤδη ὑπερβάντες τὸ προπετὲς τοῦ τείχους καὶ *ἀπολῆγον* καὶ τοῦ αἰγιαλοῦ προεξέχον» (βιβλ. Ε', 22, σελ. 327, 15).

Σημειωτέον δ' ὅτι ἐρρήθη καὶ τὸ *λῆγον μέρος* ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς τοῦ Εὐσταθίου σελ. 796, 2 «καὶ δηλοῖ τὸ ληκτικῶς ἤγουν *τῷ λήγοντι μέρει* τοῦ ποδός, ὅ ἐστι τοῖς δακτύλοις ἢ καὶ τῷ πέλματι» καὶ τὸ *ἀπολῆγον μέρος* ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις Τόμ. Α', σελ. 348, 4 Δινδ. «σαυρωτὴρ δέ ἐστι *τὸ ἀπολῆγον μέρος* τοῦ δόρατος» καὶ ἐν τῷ Ἐρυθρᾶς Θαλάσσης Περίπλῳ τῷ εἰς τὸν Ἀρριανὸν κοινῶς ἀναφερομένῳ ΛΓ' (Γεωγρ. Μικρ. Καρ. Μυλλ. Τόμ. Α', σελ. 283, 3) «κατὰ *τὸ ἀπολῆγον* αὐτοῦ *μέρος* ἑπτὰ νῆσοι πρόκεινται». Ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς τοῦ Εὐσταθίου ἀπαντᾷ σελ. 457, 4 «Σφυρὰ δὲ λέγεται *τὰ ἀπολήγοντα* πρὸς τῷ ἀστραγάλῳ καὶ ἐκ πλαγίου ἐξέχοντα», ἐν δὲ τοῖς εἰς Ἰλιάδα Σχολίοις Τόμ. Α', σελ. 176, 14 «Σφυρά: *τὰ ἀπολήγοντα ΜΕΡΗ* πρὸς τῷ ἀστραγάλῳ καὶ ἐκ πλαγίων ἐξέχοντα τῆς κνήμης καὶ τῆς περόνης», ὡς καὶ ἐν τῷ Μεγάλῳ Ἐτυμολογικῷ σελ. 739, 34 «Σφυρόν: τὸ περὶ τὸν ἀστράγαλον ἤγουν *τὰ ἀπολήγοντα ΜΕΡΗ* πρὸς τῷ ἀστραγάλῳ». Πρβ. Ὀρειβάσ. Τόμ. Δ', σελ. 443, 11 «κατὰ *τὰ ἀπολήγοντα μέρη* τὰ πρὸς τῷ καρπῷ» καὶ σελ. 445, 4 «τῷ δὲ πήχει πάλιν κατὰ *τὰ ἀπολήγοντα μέρη* περιτιθέσθω βρόχος» καὶ σελ. 452, 9 καὶ σελ. 453, 7 καὶ σελ. 454, 12 «κατὰ *τὰ ἀπολήγοντα μέρη* τὰ πρὸς τῷ γόνατι».

Μνημονεύομεν καὶ τὸ ἐν τοῖς Δειπνοσοφισταῖς τοῦ Ἀθηναίου κείμενον σελ. 180 ε' «καὶ τὸ *λῆγον αὐτῶν* (τῶν ἡμερῶν), ἔτι δὲ καὶ τὸ ἕωλον τῆς συμποσίας οὐκ ἐπιλογιζόμενος», ὃ δύναται νὰ νομισθῇ ὅμοιον τοῖς προκατειλεγμένοις. Ἀλλὰ περὶ αὐτοῦ θὰ γράψωμεν τὰ δέοντα ἐν ἑτέρῳ τόπῳ.

Φανερὸν ἐκ τῶν διειλημμένων κατέστη ὅτι λέγεται ἐν τῇ Ἑλληνικῇ γλώσσῃ *τὸ ἀπολῆγον* ἢ *τὸ καταλῆγόν τινος*, ἤγουν τὸ πέρας τινός, καὶ *τὰ ἀπολήγοντα* ἢ *τὰ καταλήγοντά τινος*, τουτέστι τὰ πέρατά τινος. Παραλαμβάνεται δὲ καθ' ὅμοιον τρόπον καὶ ἡ σύναρθρος μετοχὴ *τὸ προέχον* ἢ *προὖχον* καὶ εὑρίσκεται εἰρημένον *τὸ προέχον* ἢ *προὖχόν τινος*, ὅ ἐστι τὸ προέχον μέρος τινός, ἤτοι ἐκεῖνο τὸ μέρος τινὸς ὃ προέχει τῶν ἄλλων αὐτοῦ μερῶν. Γίνεται δὲ χρῆσις καὶ τοῦ πληθυντικοῦ ἀριθμοῦ *τὰ προὔχοντα*.

Θουκυδ. Β', 76, 4 «ἡ δὲ ῥύμη ἐμπίπτουσα ἀπεκαύλιζε *τὸ προέχον* τῆς ἐμβολῆς». Πρβ. Σουίδ. «Ἐμβολή: τὸ ἄκρον τοῦ κριοῦ τοῦ μηχανικοῦ ὀργάνου. Τῷ ἐπιφερομένῳ ἄχθει ἀποκαυλίζειν τὸ προέχον τῆς ἐμβολῆς».

Πλούτ. Ἠθικ. σελ. 670 α' «πρώτη γὰρ σχίσασα *τῷ προὔχοντι* τῆς ὀρυχῆς (τοῦ ῥύγχους), ὥς φασι τὴν γῆν, κτέ.».

Γαλην. Τόμ. ΙΔ', σελ. 706 «τοῦ μὲν οὖν ἀρσενικοῦ *τὸ προὖχον* καυλός».

Προκόπ. Τόμ. Γ', σελ. 61, 15 «ἐς *τὸ προὖχον* ἀναβᾶσα τῆς κλίνης» καὶ σελ. 296, 21 «κατὰ *τὸ* ἐν στενῷ *προὖχον* τοῦ τείχους» καὶ σελ. 321, 17 «ἐν *τῷ προὔχοντι* γενέσθαι τῶν λόφων». Πρβ. καὶ σελ. 178, 2.

Πολυδεύκ. Α', 76 «*τὸ* δὲ *προὖχον* τοῦ ὑπερθυρίου γεῖσον καὶ γεῖσωμα» καὶ Β', 85 «ὥσπερ καὶ τοῦ λοβοῦ *τὸ* μὲν *προὖχον* προλόβιον κτέ.» καὶ 90 «καὶ *τὸ* μὲν *προὖχον* αὐτῶν προχειλίδια» καὶ 92 «ὧν *τὸ προὖχον* μύλαι διὰ τὸ λεαίνειν ἴσως τὴν τροφήν» καὶ 144 «τῶν δὲ δακτύλων *τὰ* μὲν *προὔχοντα* κατὰ τὰς συμβολὰς κόνδυλοι» καὶ 171 «ὡς ἀκροποσθία καὶ ἀκροπόσθιον *τὸ* πόσθης *προὖχον*» καὶ 180 «τῶν δὲ σφονδύλων ἄρρεν μὲν καλεῖται *τὸ προὖχον*» καὶ 198 «τούτου δὲ *τὸ* μὲν *προὖχον* ὑπὸ τοὺς δακτύλους στῆθος ποδός» καὶ 207 «*τὸ* δὲ ἔξω *προὖχον* αὐτοῦ περὶ τὸν τράχηλον γαργαρεὼν καὶ πρόλοβος». Πρβ. καὶ Α', 81 «*τὰ* δ' ὑπὲρ αὐτὸ *προὔχοντα*—προτεγίσματα» καὶ 86 «τὸ δ' ὑπὲρ *τὸ προὖχον* ἀκροστόλιον ἢ πτυχὶς ὀνομάζεται» καὶ 136 «*τὸ* δὲ *προὖχον* αἰχμὴ καὶ ἐπιδορατὶς καὶ στύραξ» καὶ Β', 39 «*τὸ* δὲ ὑπ' αὐτῷ *προὖχον* μέτωπον» καὶ 97 «*τὸ* μὲν δὴ ὑπὸ τοῖς χείλεσιν ἐκ τῆς κάτω σιαγόνος *προὖχον* ὀξύγενύς τε καὶ γένυς ὀνομάζεται» καὶ 138 «*τὸ* δὲ πρὸς τῷ ὤμῳ *προὖχον* βραχίονος κεφαλή» καὶ 140 «*τὸ* δὲ ἔξωθεν αὐτοῦ *προὖχον* ὠλέκρανον» καὶ 192 «οἱ δὲ ἀστραγάλους οὐ *τὰ προὔχοντα* ἀλλὰ τὰ ἔνδον κρυπτόμενα ὑπὸ σφυρόν».

Φώτ. Λεξ. σελ. 436, 2 «Ποδεών: κυρίως τοῦ ἀσκοῦ *τὰ προὔχοντα* ἤτοι τῶν ποδῶν τὰ δέρματα». Ἐν τοῖς Βεκκήρου Ἀνεκδότοις σελ. 295, 21 λέγεται «Ποδεών: ποδεῶνές εἰσιν οἱ ἑκατέρωθεν τοῦ ἀσκοῦ προέχοντες».

Ἡσύχ. «Προλόβιον: *τὸ προέχον* τοῦ λοβοῦ» καὶ «Πρόποδες ὄρους: τῶν ὀρῶν *τὰ προὔχοντα*».

Παρὰ τῷ Πολυδεύκει φέρεται Β', 183 «τὸ μὲν εἰς δακτύλιον *νενευκὸς αὐτοῦ* κορυφὴ καλεῖται», ὑπὸ δὲ τοῦ Θεοφράστου ἐλέχθη περὶ Φυτ. Αἰτ. Ε', α', 3 «ἢ κλῶνες ἢ πτόρθοι ἢ ἀκρεμόνες ἢ ὅ τι χρὴ καλεῖν *τὰ ἐσχατεύοντα τῶν δένδρων*». Πρβ. καὶ Πολυδεύκ. Β', 130 «ὅθεν καὶ ὑποδερὶς τὸ ἐν τοῖς πρόσθεν τοῦ τραχήλου *τελευταῖον*».

Κατελέξαμεν παραδείγματα τῆς συνάρθρου μετοχῆς τὸ *προέχον*-*προὖχον* καὶ γενικῇ συντεταγμένης καὶ καθ' ἑαυτὴν κειμένης. Γίνεται δ' ὁμοία χρῆσις καὶ τῶν μετοχῶν τὸ *ἀνέχον*-*τὰ ἀνέχοντα* καὶ τὸ *ὑπερέχον*-*τὰ ὑπερέχοντα*, οἷον

Πολυδεύκ. Β', 50 «ὀφρύας καλοῦσι *τὰ ἀνέχοντα* τῆς γῆς» καὶ Ζ', 145 «σφῦρα δὲ τὸ μεταξὺ τῶν ἀρηρομένων *ἀνέχον*» καὶ Δ', 133 «ὄγκος δέ ἐστι τὸ ὑπὲρ τὸ πρόσωπον *ἀνέχον* εἰς ὕψος λαβδοειδὲς τῷ σχήματι». Πρβ. Ἰώσηπ. Ἰουδ. Ἀρχ. Γ', ς', 6 «ἡ μὲν εἰς τὸ *προανέχον* ἐμβαίνει τῆς τραπέζης, ἡ δὲ εἰς τὸν πόδα».

Πολυδεύκ. Β', 137 «τὸ μὲν *ὑπερέχον* τοῦ βραχίονος ἀκρωμία» καὶ 162 «τὰ τῆς γῆς *ὑπερέχοντα* μαστοὶ κέκληνται» καὶ 184 «τὰ δὲ *ὑπερέχοντα* ἀπὸ τούτων γλουτοὶ καὶ ἐφέδρανα». Πρβ. Ἡσύχ. «Ἄρρενα: ἄρσενα ἢ τῶν κονδύλων *τὰ ἐξέχοντα*» καὶ «Γείσωσις: τὸ τῆς στέγης *ἐξέχον*».

Ὡς δὲ λέγεται ἀπολύτως τὸ *προὖχον* καὶ τὸ *ἀνέχον* καὶ τὸ *ὑπερέχον*, οὕτω καὶ τὸ *διέχον* παρὰ Ξενοφῶντι Ἀναβ. Γ', δ', 22 «ὁπότε δὲ διάσχοιεν αἱ πλευραὶ τοῦ πλαισίου, τὸ μέσον ἂν ἐξεπίμπλασαν, εἰ μὲν στενώτερον εἴη *τὸ διέχον*, κατὰ λόχους».

Ἐν τῷ Ὀνομαστικῷ τοῦ Πολυδεύκους κεῖται Α', 135 «τὸ ὑπὲρ αὐτὰς *προβεβλημένον* γεῖσον» καὶ 143 «τὸ δὲ *κυρτούμενον* ἀσπιδίσκη, τὸ δ' ἀπ' αὐτῆς ὑπὸ τὸν τόνον *κεκαμμένον* ἀζηλίς» καὶ 147 «τὰ δὲ ἀπὸ μὲν τῶν ῥυμῶν *ἀπηρτημένα*, ὑπὸ δὲ τοὺς αὐχένας τῶν ἵππων ἑλιττόμενα λέπαδνα» καὶ Β', 162 «τὸ δὲ *ὑποκαταβαῖνον* στέρνον» καὶ 172 «**οὗ** *τὸ χαλώμενον* λακόπεδον» καὶ Ι', 115 «**τοῦ** δὲ **λυχνίου** (λυχνείου) *τὸ ἀπευρυνόμενον*—πινάκιον ἢ πινακίσκιον» καὶ 143 «**τοῦ δόρατος** *τὸ ἱστάμενον* σαυρωτήρ, στύραξ». Πρβ. καὶ Β', 10 «ἐν τῷ *μεσεύοντι τῶν ἡλικιῶν*, ἐν τῇ κορυφῇ τῶν καθ' ἡλικίαν ἀναβάσεων».

Παρὰ τῷ Ἡσυχίῳ φέρεται «Ῥόπτρον: ῥόπαλον ἢ τὸ *ἐπικαταπῖπτον* τῆς παγίδος καὶ συλλαμβάνον» καὶ «Σφηκὸς λόφου: τὸ ἄκρον τοῦ λόφου, τὸ ἐπὶ τῶν ὤτων *ἐπικρεμάμενον* τοῦ λόφου». Γραπτέον δ' ἴσως «τὸ ἐπὶ τῶν *νώτων* ἐπικρεμάμενον τοῦ λόφου». Ἐν τῷ Λεξικῷ τοῦ Φωτίου εὑρίσκεται γεγραμμένον «Ὕλην: *τὸ καθίζον* τοῦ οἴνου ἢ τοῦ ὕδατος» (σελ. 617, 20. Πρβ. Μειστῆρον εἰς *Ἡρῴδ.* σελ. 84). Μνημονεύομεν καὶ τὸ ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου καὶ τῷ τοῦ Φωτίου σελ. 210, 1 «Λαυκανία: *τὸ ἀπηρτημένον* τοῦ γαργαρεῶνος».

Ὑπὸ τοῦ Πολυαίνου ἐῤῥήθη βιβλ. Β', ϛ', 5 «καταλιπὼν τὴν λείαν κατὰ *τὸ διαλεῖπον τοῦ χάρακος* διεξεπαίσατο», ὑπὸ δὲ τοῦ Ἰωσήπου Ἰουδ. Ἀρχ. Δ', γ', 3 «συνήει τε πάλιν *τῆς γῆς* τὸ περὶ ἐκείνοις *κεχηνὸς* καὶ καθίστατο», ᾧ ὅμοιον τὸ παρὰ τῷ Λουκιανῷ ἀπάντων Τίμ. 18 «οὕτως εὐρύτερον τὸ πρὸς τὴν ἔκχυσιν *κεχηνὸς τοῦ πίθου* καὶ ἀκώλυτος ἡ ἔξοδος». Πρβ. καί: *τοῦ σκαφιδίου τὰ ἀνεῳγότα, τὸ διερρωγὸς τοῦ ἱματίου*, κτλ.

Ἀπεφηνάμεθα ὅτι ἐν τῇ παρὰ τῷ Στράβωνι ῥήσει «συνάπτει δὲ καὶ τοῖς ἀπολήγουσι τοῦ Πηλίου πέρασι καὶ τῆς Μαγνησίας» ἀλλοτρίας χειρὸς προσθήκη ὑπάρχει τὸ *πέρασι*. Λαμβάνομεν νῦν εἰς χεῖρας τὴν Κραμήρειον ἔκδοσιν τοῦ γεωγράφου, ἵν' ἴδωμεν ἂν εἶνέ τι ἐν αὐτῇ περὶ τῆς γραφῆς σεσημειωμένον. Μανθάνομεν δ' ἐκ τῆς ἐκδόσεως ταύτης (Τόμ. Β', σελ. 310) ὅτι ἐν ἑνὶ τῶν ἀντιγράφων δὲν φέρεται τὸ ὄνομα *πέρασι*, ὅτι δηλ. ἐν ἑνὶ τῶν ἀντιγράφων ἔμεινεν ἀδιάφθορος ἡ ῥῆσις τοῦ Στράβωνος.

ΚΕΦ. ΙΗ'.

Μελάνδρυον — μελλήδρυον.

Ἐν τῷ Λεξικῷ τοῦ Φωτίου εἶνε γεγραμμένον σελ. 256,25 Πόρσ. «Μελλήδρυον: ἡ τῆς δρυὸς μήτρα».

Λέξις *μελλήδρυον* οὔτε ὑπῆρξεν ἐν τῇ Ἑλληνικῇ γλώσσῃ οὔτ' ἦτο δυνατὸν νὰ ὑπάρχῃ. Ὁ Φώτιος εἶπεν ἀναντιλέκτως «*Μελάνδρυον*: ἡ τῆς δρυὸς μήτρα».

Ὅτι δ' ἡ τῆς δρυὸς μήτρα ὠνομάζετο *μελάνδρυον* διδάσκει ὁ Θεόφραστος λέγων ἐν τῇ περὶ Φυτῶν Ἱστορίᾳ βιβλ. Α', ς', 2 «διαφέρουσι δὲ αὗται (*αἱ μῆτραι*) καὶ τοῖς χρώμασι· μέλαιναι γὰρ δὴ πᾶσαι καὶ *τῆς δρυός*, ἣν καλοῦσι *μελάνδρυον*» καὶ βιβλ. Ε', γ', 1 «καὶ ἡ μὲν πύξος ὅλη, τῆς δὲ ἐβένου ἡ μήτρα, ἐν ᾗ καὶ ἡ τοῦ χρώματός ἐστι μελανία — πυκνὸν δὲ καὶ *ἡ τῆς δρυὸς μήτρα*, ἣν καλοῦσι *μελάνδρυον*». Σημειωτέον δ' ὅτι ἀντὶ τοῦ «μέλαιναι γὰρ δὴ πᾶσαι καὶ τῆς δρυός» ὁ μὲν Σνειδῆρος εἴκασε «μέλαιναι γὰρ δὴ πᾶσαι καὶ *μάλιστα* ἡ τῆς δρυός», ὁ δὲ Οὐϊμῆρος ἐξέδωκε «μέλαιναι γὰρ *τῆς ἐβένου* καὶ τῆς δρυός». Ἀλλ' ἴσως εἶνε κάλλιον ν' ἀναγνωσθῇ «μέλαιναι δὴ πᾶσαι καὶ *δὴ καὶ* ἡ τῆς δρυός».

Ὑπὸ τοῦ Ὁμήρου ἐρρήθη ἐν Ὀδυσσείας Ξ, στίχ. 12 «*τὸ μέλαν δρυὸς* ἀμφικεάσσας». Ἐξελαμβάνετο δ' ὑπὸ τῶν παλαιῶν γραμματικῶν ἀντὶ τοῦ ἐγκαρδίου (ἤτοι τῆς μήτρας) τῆς δρυὸς ἢ ἀντὶ τοῦ φλοιοῦ τῆς δρυὸς ἢ ἀντὶ τῆς δασύτητος τῶν φύλλων τοῦ δένδρου τούτου. Ἐν τοῖς εἰς Ὀδύσσειαν Σχολίοις φέρεται σελ. 580, 4 Δινδ. «*Τὸ μέλαν δρυός*: ἤτοι τὸ δάσος ἢ τὴν ἐντεριώνην, τὸ ἐγκάρδιον τῆς δρυός· *μελάνδρυον* γὰρ λέγεται διὰ τὴν χροιάν· ὁ δὲ Ἀριστοφάνης τὸν φλοιὸν τῆς δρυός. *Τὸ μέλαν δρυὸς* τὴν ἐντεριώνην φασὶν οὕτω καλουμένην· ὁ δὲ Ἀρίσταρχος τὸν φλοῦν. Ὁ δὲ Κράτης τὴν δασύτητα τῶν φύλλων *μελάνδρυόν* φησιν, ὡς καὶ Αἰσχύλος φησὶ Φιλοκτήτῃ· κρεμάσασα τόξον πίτυος ἐκ μελανδρύου» (Πρβ. Λουδοΰϊχον ἐν *Ἀριστάρχ*. Τόμ. Α', σελ. 603-4). Λέγει δὲ καὶ ὁ Εὐστάθιος ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 1748, 56 «*Μέλαν* δὲ *δρυὸς* οἱ μὲν τὴν ἐντεριώνην φασὶν ἤγουν τὸ ἐγκάρδιον τῆς δρυὸς μέλαν ὡς τὰ πολλὰ ὄν, Ἀρίσταρχος δὲ τὸν φλοῦν οὕτω νοεῖ. Κράτης δὲ τὴν δασύτητα καὶ πολλὴν πυκνότητα τῶν φύλλων *μελάνδρυον* καλεῖ ὡς αἰτίαν τῷ ξύλῳ μελανίας διὰ τῆς σκιᾶς· φέρεται δὲ καὶ Αἰσχύλου χρῆσις ἐν Φιλοκτήτῃ κρεμάσας τόξον πίτυος ἐκ μελανδρύου. Ἐν δὲ ῥητορικῷ λεξικῷ εὕρηται καὶ ὅτι μήτρα τὸ μέσον τοῦ ξύλου, ὅ τινες ἐντεριώνην λέγουσιν· ὥστε ταὐτὸν εἶναι τῷ λόγῳ τούτῳ μήτραν, ἐντεριώνην καὶ μέλαν δρυός». Ἐπισυνάπτομεν τούτοις ἃ εἶνε εἰρημένα ὑπὸ τοῦ Εὐσταθίου ἐν ταῖς εἰς Διονύσιον Παρεκβολαῖς σελ. 273, 30 Διδ. «Διὸ καὶ παρ' Ὁμήρῳ ἐν τῷ μέλαν δρυὸς ἀμφικεάσσας *μέλαν δρυός* τινες τὴν τῶν φύλλων εἶπον δασύτητα διὰ τὴν ἐξ

αὐτῶν ἀποτελουμένην μελανίαν τῆς σκιᾶς» καὶ σελ. 327, 21 «Οὕτω δὲ καὶ ἐν τῷ μέλαν δυὸς ἀμφικεάσσας παρ' Ὁμήρῳ *δρυός μέλαν* τινὲς εἶπον τὴν τῶν φύλλων περιττότητα καὶ τὴν πύκνωσιν, ἀφ' ἧς τὸ τῆς σκιᾶς μέλαν γίνεται, ὡς καὶ πρὸ τούτων γέγραπται».

Περὶ τοῦ *μέλαν δρυός* ποιεῖται λόγον καὶ ὁ Ἡσύχιος γράφων «*Μέλαν δρυός*: ἡ ἐν τοῖς δένδροις δασύτης καὶ ἡ τῶν ξύλων ἐντεριώνη» καὶ «*Τὸ μελάνδρυος*: τὸ μέσον τοῦ ξύλου διὰ τὸ εἶναι εὔτονον τοῦτο τὸ μέρος. Ἄλλοι δὲ διαστείλαντες *τὸ μέλαν δρυός* εἰς δύο μέρη λόγου ἀποδεδώκασι τὸ μέσον τῆς δρυὸς μέρος (διὰ τὸ) μέλαν εἶναι καὶ ἄσηπτον διαμένειν». Δύσκολον ἀποβαίνει νὰ πεισθῇ τις ὅτι ἀντὶ τοῦ *μέλαν δρυός* ἐγράφη ποτὲ *μελάνδρυος*· διότι ἀλογώτατον ἦτο νὰ προενενεχθῇ ὑφ' ἓν τὸ *μέλαν δρυός*, λίαν δ' ἄτοπον φαίνεται νὰ ὑποληφθῇ ὅτι ἐσχηματίσθη διὰ συνθέσεως τύπος *μελάνδρυος*. Ὅθεν ἀναγνωστέον ἴσως παρὰ τῷ Ἡσυχίῳ «*Τὸ μελάνδρυοΝ*: τὸ μέσον τοῦ ξύλου διὰ τὸ εἶναι εὔτονον τοῦτο τὸ μέρος. Ἄλλοι δὲ κτέ.».

Τῶν νέων φιλολόγων ἄλλοι μὲν ἐκλαμβάνουσι τὸ παρ' Ὁμήρῳ ἁπαντῶν *τὸ μέλαν δρυός* ἀντὶ τοῦ φλοιοῦ τῆς δρυός, ὡς ἐξεδέχετο καὶ ὁ Ἀρίσταρχος, ἄλλοι δ' ἀντὶ τοῦ ἐγκαρδίου ἢ τῆς μήτρας τῆς δρυός (Ἴδε Δοιδερλῖνον ἐν *Ὁμηρ. Γλωσσαρ.* § 2149, Τόμ. Γ', σελ. 137-8 καὶ Ἀμείσιον ἐν *Παραρτήμ. εἰς Ὀδύσσ.* Ξ, 12, σελ. 21. Πρβ. καὶ Λεξ. Ὁμηρ. Ἐβελ. Τόμ. Α', σελ. 105-6 καὶ σελ. 1039). Τὴν δευτέραν ἐκδοχὴν ἐγκρίνει καὶ ὁ Ἰ. Σμιδίτιος ἐν *Synonym. d. Griech. Spr.* Τόμ. Γ', σελ. 16 λέγων «Von einzelnem sei noch bemerkt, dass τὸ μέλαν δρυός, Od. 14, 12., nicht die Rinde sein kann, sondern das Kernholz, das wirklich dunkler ist, als übrige; dies zeigt schon die Verwendung zu den starken Pfälen».

Ἐκαλοῦντο δὲ *μελάνδρυα* κατὰ τὸν Ξενοκράτη καὶ τὰ τοῦ τεταριχευμένου θύννου μέρη πλὴν τοῦ αὐχένος καὶ τῆς κοιλίας. Ὁ λόγος τοῦ Ξενοκράτους ἔχει ὧδε (περὶ τῆς ἀπὸ τῶν Ἐνύδρ. Τροφ. ΟΓ' Κορ.) «Τὰ δὲ ἐκ θύννων γινόμενα ταρίχη συχνὴν πρὸς ἄλληλα διαφορὰν ἐνδείκνυται—Αὐχὴν μὲν γὰρ αὐτῶν γίνεται ὠμοτάριχος—Κοιλία δὲ τοῦ θύννου πρόσφατος μὲν ἐδώδιμος—Τὰ δὲ λοιπὰ μέρη,

μελάνδρυα καλούμενα διὰ τὴν ἐμφέρειαν πρὸς τὰς μελαινούσας τῆς δρυὸς ῥίζας, παρορμητικὰ ὀρέξεως».

Ἄξια παραθέσεως νομίζομεν τὰ ὑπὸ τοῦ Κοραῆ γεγραμμένα ἐν τῇ ἐκδόσει τῶν Ξενοκράτους καὶ Γαληνοῦ περὶ τῆς ἀπὸ τῶν Ἐνύδρων Τροφῆς σελ. 173. Μελάνδρυα καλούμενα. Προσέθηκα τὴν μετοχὴν, ἀναγκαίαν οὖσαν εἰς συνάρτησιν τοῦ λόγου. Περὶ δὲ τοῦ ὀνόματος, οὕτως καὶ Πλίνιος—Melandrya οὐδετέρως εἶπε, κατὰ τὸ Γεράνδρυον. Εὕρηται μέντοι καὶ Μελάνδρυες καὶ Γεράνδρυες, παρὰ τὰς εὐθείας Μέλανδρυς καὶ Γέρανδρυς. Καὶ ἐπὶ μὲν τῶν δένδρων, «Γεράνδρυες αἱ παλαιαὶ δρύες· καὶ τὰ παλαιὰ δένδρα, Γεράνδρυα» φησὶν Ἡσύχιος. Τοῦ δὲ Μελανδρύου ἡ σύνθεσις τῶν μεθ' Ὅμηρόν ἐστιν· ἐκεῖνος γὰρ διῃρημένως εἶπε (Ὀδυσ. ξ', 12),

— Τὸ μέλαν δρυὸς ἀμφικεάσσας,

ὅ ἐστι σχίσας. Σημαίνει δὲ, κατὰ μέν τινας τὴν μήτραν τῆς δρυός, καθ' ἑτέρους δὲ τὸν φλοιόν, κατ' ἄλλους δὲ τὴν δασύτητα τῶν φύλλων ὡς αἰτίαν τῷ ξύλῳ μελανίας (ἴδε Εὐστάθ. σελ. 1748)· οἷς ὁ βουλόμενος τοῦ ἀπόρου ἀπορώτερον ποιῆσαι τὸ μελάνδρυον προστιθέτω καὶ τὴν Ξενοκράτους ἐξήγησιν, Τὰς μελαινούσας τῆς δρυὸς ῥίζας. Οὐδὲν γὰρ ἕτερόν ἐστι τὸ μελάνδρυον, ἢ ἡ τῆς δρυὸς μήτρα, τουτέστιν αὐτὸ τὸ ξυλῶδες, περιαιρεθέντος τοῦ παχυτέρου φλοιοῦ, ὥς φησι Θεόφραστος (Περὶ φυτ. ἱστορ. Α, 9), «Διαφέρουσι δὲ καὶ ταῖς μήτραις... τῶν μέν ἐστι σαρκώδης, τῶν δὲ ξυλώδης, τῶν δὲ ὑμενώδης... ξυλώδης δὲ, πίτυος, ἐλάτης, πεύκης, καὶ μάλιστα ταύτης διὰ τὸ ἔνδαδος εἶναι. Τούτων δὲ ἔτι σκληρότεραι καὶ πυκνότεραι κρανίας, πρίνου, ΔΡΥΟΣ, κυτίσου, συκαμίνου, ἐβένου, λωτοῦ. Διαφέρουσι δὲ αὗται καὶ τοῖς χρώμασι· ΜΕΛΑΙΝΑΙ γὰρ δὴ πᾶσαι, καὶ τῆς ΔΡΥΟΣ, ἣν καλοῦσι ΜΕΛΑΝΔΡΥΟΝ». Καὶ τὴν μὲν ξυλώδη μήτραν, bois (ξύλον) ἁπλῶς καλοῦσιν οἱ νεώτεροι φυσιολόγοι, τὴν δὲ σαρκώδη, moelle (μυελὸν), ὃν δ' ὠνόμακα παχύτερον φλοιὸν πρὸς διάκρισιν τοῦ ἐξωτάτου φλοιοῦ (ὃν εἰκότως ἄν τις λέπος, ἢ λοπὸν, ὀνομάσειεν) aubier, παρὰ τὸ τῶν

Λατίνων alburnum. Τοῦτο τὰ μὲν παλαιὰ Γλωσσάρια ἑρμηνεύουσι, Στέαρ δένδρου, διὰ τὸ ἀναλογεῖν τῷ ἐπὶ τῶν ζώων μεταξὺ τοῦ δέρματος καὶ τῆς σαρκὸς στέατι· ἐξηγήσαιο δ' ἂν αὐτὸ λεξικώτερον διὰ τοῦ Λευκὸν (παρὰ τὸ album). Ταύτης γὰρ ἔτυχε τῆς κλήσεως εἰς διάκρισιν τῆς μήτρας, οὔσης μελαντέρας τὴν χρόαν· καὶ τοιοῦτόν τι ἐμφαίνει καὶ ὁ Θεόφραστος λέγων (Περὶ φυτ. ἱστορ. Γ, 10) περὶ τῆς πεύκης, «Ὅταν ἐκπεσόντα περισαπῇ τὰ ΛΕΥΚΑ καὶ τὰ κύκλω (γρ. κύκλῳ)· τούτων γὰρ περιαιρεθέντων, καὶ καταλειφθείσης τῆς μήτρας, ἐκ ταύτης πελεκᾶται». Διὸ καὶ Πλίνιος τὸν μὲν ἐξωτάτω φλοιὸν, ἤγουν τὸ λέπος (écorce) παρεικάζει τῷ τῶν ζώων δέρματι, τὸν δὲ μετ' ἐκεῖνον (aubier) τῷ στέατι, τὴν δὲ μήτραν (bois) τῇ σαρκὶ, Pro cute cortex... proximi plerisque adipes: ii vocantur à colore alburnum... subest huic caro (*Plin. lib. XVI, cap. 38*), καὶ μικρὸν ὑποβὰς, ἐν τοῖς ἰσχυροῖς τῶν ξύλων καταλέγει τὴν περιαιρεθεῖσαν τὸν λευκὸν φλοιὸν δρῦν, Deinde robur exalburnatum et huic nigricans color (*Idem ibid. cap.* 40). Καὶ ταῦτα μὲν περὶ τῆς σημασίας τοῦ μελανδρύου· παραθώμεθα δὲ καὶ τοὺς μνημονεύσαντας αὐτοῦ τε καὶ τῶν λοιπῶν τοῦ εἴτε θύννου, εἴτ' ὀρκύνου, μερῶν. Παρὰ μὲν οὖν τῷ Ἀθηναίῳ (σελ. 315) ταῦτα φέρεται περὶ τῶν ὀρκύνων, «Ἐν Γαδείροις μὲν οὖν τὰ κλειδία καθ' αὑτὰ ταριχεύεται, ὡς καὶ τῶν ἀντακαίων αἱ γνάθοι καὶ οὐρανίσκοι, καὶ οἱ λεγόμενοι μελανδρύαι ἐξ αὐτῶν ταριχεύονται. Ἱκέσιος δέ φησι τὰ ὑπογάστρια αὐτῶν λιπαρὰ ὑπάρχοντα τῇ εὐστομίᾳ πολὺ διαλλάσσειν τῶν ἄλλων μερῶν, τὰ δὲ κλειδία εὐστομώτερα εἶναι τούτων». Ἀλλαχοῦ δὲ (σελ. 121) ὁ αὐτὸς Ἀθήναιος παρὰ Διφίλου λαβὼν, λέγει· «οἱ δὲ λεγόμενοι μελανδρύαι, ὧν καὶ Ἐπίχαρμος μνημονεύει ἐν Αὐτομόλῳ Ὀδυσσεῖ οὕτως·

Ποτιφόριμον τὸ τέμαχος ᾗς τὸ ΥΠΟΜΕΛΑΝΔΡΥΩΔΕΣ.

ΜΕΛΑΝΔΡΥΣ ΔΕ τῶν μεγίστων θύννων εἶδός ἐστιν κ.τ.λ.» Ταῦτα ἡμαρτημένα ὄντα καὶ τῇ στίξει καὶ τῇ γραφῇ ὑποψίαν ἐνεποίησε τοῖς κριτικοῖς τοῦ ἐξεῤῥυηκέναι τι τοῦ χω-

ρίου. Ἅπαν μὲν οὖν τοὐναντίον, εἰσεῤῥύη τι νόθον ὄνομα, ὅπερ ἐκβαλὼν, σαφὲς ποιήσεις τὸ λεγόμενον· «Οἱ δὲ λεγόμενοι μελανδρύαι (ὧν καὶ Ἐπίχαρμος μνημονεύει ἐν Αὐτομόλῳ Ὀδυσσεῖ οὕτως·

Ποτιφόριμον τὸ τέμαχος ἧς τὸ ὙΠΟΜΕΛΑΝΔΡΥΩΔΕΣ), τῶν μεγίστων θύννων εἶδός ἐστιν» καὶ σελ. 175 «Πρὸς τὰς μελαινούσας τῆς δρυὸς ῥίζας. Ἴσως τὴν τελευταίαν λέξιν τρεπτέον εἰς τὸ Μήτρας· οὐδὲ γὰρ εἰκὸς τὸν Ξενοκράτην ἀγνοῆσαι οὔτε τὴν κυριότητα τῶν ὀνομάτων, οὔθ' ἃ μικρὸν ἀνωτέρω παρεθέμεθα ἐκ τοῦ Θεοφράστου περὶ τοῦ μελανδρύου. Καὶ τοῦ Μελαινούσας δὲ, χρηστότερον τὸ Μελανιζούσας, καθὰ καὶ ἐν τοῖς πρόσθεν—περὶ τῶν κτενῶν, Πυξίζοντες εἴρηκε, καὶ οὐ Πυξοῦντες». Ἐγένετο δὲ καὶ εἰκασία, καθ' ἣν τὸ *ῥίζας* εἶνε πλημμελὴς γραφὴ τοῦ *σχίζας*. (Ἴδε Δαρεμβέργην εἰς *Ὀρειβάσ*. Τόμ. Α', σελ. 602). Περὶ τοῦ *μελαινούσας* ποιεῖται λόγον ὁ Κοραῆς καὶ ἐν σελ. 231 γράφων «Ἐνδέχεται μὲν τὴν μετοχὴν Μελαινούσας γραφικῶς ἡμαρτῆσθαι ἀντὶ τοῦ Μελανιζούσας, παρὰ τὸ Μελανίζω, ἀμεταβάτως εἰρημένον, ὥσπερ καὶ τὸ ἐν τῇ συνηθείᾳ Μελανιάζω· ἐνδέχεται δὲ καὶ παρὰ τὸ Μελαίνω εἶναι, καὶ αὐτὸ ἀμεταβάτως νοούμενον. Ἴσως δὲ καὶ, Μελανούσας περιεργότερον ἔγραψεν ὁ Ξενοκράτης διὰ μονοφθόγγου παρὰ τὸ Μελάνω, κατὰ τὸ Ὁμηρικὸν (Ἰλιάδ. η', 64) «Μελάνει δέ τε πόντος»· ᾧ καὶ Ἀπολλώνιος (Ἀργοναυτ. δ', 1574) ἐχρήσατο, «Πόντοιο . . βένθος ἀκίνητον μελανεῖ (γρ. μελάνει)». Ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Ε', σελ. 711-2 Διδ. γενομένου λόγου περὶ τῆς ἐπ' ἀμεταβάτου διαθέσεως χρήσεως τοῦ ῥήματος *μελαίνω* καὶ μαρτυρίων αὐτῆς παρατεθέντων, ἀποδοκιμάζονται αἱ μεταβολαὶ ἃς ἐποιήσατο ὁ Κοραῆς τοῦ παρὰ τῷ Ξενοκράτει ἀπαντῶντος *μελαινούσας*. Ἐπάναγκες δ' ἡμῖν φαίνεται νὰ παρατηρηθῇ ἐνθάδε ὅτι οὐχὶ ὀρθῶς ἐξηγήσατο ὁ Κοραῆς τὸ *ἈΜΦΙκεάσσας* διὰ τοῦ *σχίσας*.

Ὁμοίως τῷ *μελάνδρυον* εἶνε ἐσχηματισμένον τὸ *γεράνδρυον*, οὗ παραδείγματα μνημονεύονται ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ.

Β', σελ. 580 ἔκ τε τοῦ Θεοφράστου καὶ ἐξ ἄλλων. Βλέπει δέ τις αὐτὸ καὶ παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ σελ. 10 καὶ παρὰ τῷ Εὐσταθίῳ σελ. 1859, 23 καὶ παρ' ἄλλοις (Ἴδε καὶ Σπαννέμιον εἰς *Καλλίμ*. Τόμ. Β', σελ. 38 Ἐρν. καὶ Βοισσονάδην εἰς *Ἀρισταίν*. σελ. 622 καὶ Κοραῆν εἰς *Πλουτ. Πολιτ.* σελ. 134 καὶ Κόβητον ἐν *Μνημοσ.* 1881, σελ. 399). Λέγεται δὲ καὶ *χαμαίδρυον*, περὶ οὗ ἴδε Λοβέκκιον ἐν *Παραλειπ.* σελ. 252 καὶ Ἄσιον ἐν *Θησ. Στεφ.* Τόμ. Η', σελ. 1289, καὶ *ἀκρόδρυον-ἀκρόδρυα* καὶ *ἔνδρυον*. Ὁ Πολυδεύκης γράφει Α', 252 «καταλαμβάνουσι δ' αὐτὸν — εἰς τὸ τοῦ ζυγοῦ τρύπημα κερκίδα ξυλίνην ἐμβαλόντες, ἣ καλεῖται *ἔνδρυον*», ὁ δ' Ἡσύχιος «*Ἔνδρυον*: καρδία δένδρου καὶ τὸ μέσον». Φέρεται δ' ἐν τῷ κώδικι τοῦ Ἡσυχίου καὶ «*ἜνδρΟΙα*: καρδία δένδρου καὶ τὸ μέσον», ὡς καὶ «*ἌδρΟΙα*: πλοῖα μονόξυλα. Κύπριοι — Σικελοὶ δὲ ἄδρυα λέγουσι τὰ μῆλα· παρὰ δὲ Ἀττικοῖς ἀκρόδρυα» (Πρβ. Λοβέκκιον ἐν *Στοιχ*. Τόμ. Α', σελ. 44). Πολλάκις δ' ἀντὶ τοῦ Υ ἐγράφη κακῶς ΟΙ καὶ τοὐναντίον Υ ἀντὶ τοῦ ΟΙ. Σημειωτέον δ' ὅτι, τοῦ Ἑμστερρουσίου ὑφηγησαμένου, ἐξέδωκεν ὁ Σμιδίτιος παρὰ τῷ Ἡσυχίῳ «Ἔνδρυον: καρδία δένδρου καὶ τὸ *μέσ(αβ)ον*».

Τῷ ὀνόματι *ἄδρυα* ἐντυγχάνει τις καὶ ἐν τοῖς Δειπνοσοφισταῖς τοῦ Ἀθηναίου σελ. 83 α' «Ἀριστοφάνης δ' ὁ γραμματικὸς ἐν Λακωνικαῖς γλώσσαις τὰ κοκκύμηλά φησι τοὺς Λάκωνας καλεῖν ὀξύμαλα Περσικά, ἅ τινες *ἄδρυα*». Ἀπαντᾷ δὲ παρὰ τῷ Ἀθηναίῳ καὶ «Σέλευκος δ' ἐν γλώσσαις βράβυλά φησιν, ἦλα, κοκκύμηλα, *μάδρυα* τὰ αὐτὰ εἶναι· τὰ μὲν *μάδρυα* οἷον *μαλόδρυα*, τὰ δὲ βράβυλα ὅτι εὐκοίλια καὶ τὴν βορὰν ἐκβάλλοντα, κτέ.» (σελ. 50 α'). Ποιησάμενος δὲ τούτων μείαν ὁ Εὐστάθιος ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 1963, 34 ἐπιφέρει «Καὶ ὅρα ἐν τούτοις τὸ *μαλόδρυα* ἤγουν Δωρικῶς *μηλόδρυα* πρὸς ὁμοιότητα τοῦ *ἀκρόδρυα*». Γελοιότατον ἡμῖν φαίνεται τὸ «μάδρυα οἷον μαλόδρυα», ὅπερ οὐδὲν ἄλλο ἐμφαίνει ἢ ὅτι τὸ *μάδρυα* εἶνε συγκεκομμένος τύπος τοῦ *μαλόδρυα*. Περιττὸν δ' ἴσως ἀποβαίνει νὰ ὑπομνήσωμεν ὅτι οὐδέποτ' ἐν τῇ Ἑλληνικῇ γλώσσῃ ὑπῆρξεν ὄνομα *μαλόδρυα* ἢ *μηλόδρυα*. Παρατηρητέον δ' ὅτι ὁ Σνειδῆρος τὸ παρ' Ἡσυχίῳ *κελένδρυνον*, ἀνθ' οὗ ἐν τῷ Λεξικῷ τοῦ Φωτίου σελ. 154, 4 κεῖται *κελενδρύονα*, μετετύπωσεν εἰς τὸ *κελένδρυον*. Ἀλλὰ σαφές τι περὶ τούτου ἢ βέβαιον οὐδεὶς ἔχει νὰ εἴπῃ.

Τοῖς ὀνόμασιν *ἀκρόδρυον*, *μελάνδρυον*, κτλ. ὅμοιον κατὰ τὸν σχηματισμὸν ὑπάρχει τὸ *μεσόφρυον*, ὡς παρετηρήθη καὶ ὑπὸ τοῦ Λοβεκκίου ἐν *Παραλειπομ.* σελ. 252.

Γίνεται δὲ μνεία καὶ περιττοσυλλάβου τύπου *γεράνδρυς* καὶ *γεράνδρυες* ὑπὸ τοῦ Φρυνίχου Σοφιστ. Προπαρασκ. σελ. 32, 27 «*Γεράνδρυς*: οἷον παλαιὸν δένδρον» καὶ ὑπὸ τοῦ Ἡσυχίου «*Γεράνδρυες*: αἱ παλαιαὶ δρύες· καὶ τὰ παλαιὰ δένδρα γεράνδρυα». Πρβ. *ἐτυμόδρυς*, *ἡμερόδρυς*, *λινόδρυς*, *φελλόδρυς*, *χαμαίδρυς* καὶ *Καλαμόδρυς* (Ἴδε Λοβέκκιον ἐν *Παραλειπομ.* σελ. 252). Περὶ τοῦ ἐν ἀποσπάσματι τοῦ Πινδάρου ἀπαντῶντος *ἄδρυς* ἴδε Βοίκκιον ἐν τῇ ἐκδόσει τοῦ Πινδάρου Τόμ. Β', β', σελ. 632.

Ἄξιον ἐπιστάσεως εἶνε τὸ κατὰ τὴν ἰσοσύλλαβον κλίσιν προενηνεγμένον ἐπίθετον *μελάνδρυος*, *πίτυος μελανδρύου*, ἐν ἀποσπάσματι τοῦ Αἰσχύλου. Δύναται δ' ὁ τύπος οὗτος νὰ παραβληθῇ πρὸς τὸν *πολυίχθυος*, οὐδ. *πολυίχθυον* (Ὁμηρ. Ὕμν. εἰς Ἀπόλλ. 417). Ἐλέχθη δὲ καὶ *ἄμυος* (Ἴδε Λοβέκκιον ἐν *Παραλειπομ.* σελ. 252-3). Σημειωτέον δ' ὅτι τὸ ἀπόσπασμα τοῦ Αἰσχύλου ἐν μὲν τοῖς εἰς Ὀδύσσειαν Σχολίοις εἶνε γεγραμμένον «*κρεμάσΑΣΑ* τόξον πίτυος ἐκ μελανδρύου», ἐν δὲ ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς τοῦ Εὐσταθίου «*κρεμάσΑΣ* τόξον πίτυος ἐκ μελανδρύου». Τῆς ἀρσενικῆς μετοχῆς χρῆσιν ὁ Αἰσχύλος ἐποιήσατο· ἵνα δ' ἄρτιος ὁ στίχος καταστῇ, ὁ μὲν Βόθιος καὶ ὁ Κόβητος (ἐν τῇ Μνημοσύνῃ 1873, σελ. 19) ἀνέγνωσαν:

κρεμάσας ΤΟ ΤΟξον πίτυος ἐκ μελανδρύου,

ὁ δὲ Ναύκιος (ἐν τῇ *συναγωγῇ* τῶν Ἀποσπασμάτων τῶν Τραγικῶν σελ. 81, 251 ἐκδ. β'):

κρεμάσας ΔΕ τόξον πίτυος ἐκ μελανδρύου.

Παρεθέμεθα ἔμπροσθεν χωρία τοῦ Θεοφράστου, ἐν οἷς λέγεται ὅτι ἡ τῆς δρυὸς μήτρα ἐκαλεῖτο *μελάνδρυον*. Παρατηροῦμεν δ' ἐνθάδε ὅτι πολλάκις ἐν τῇ περὶ Φυτῶν Ἱστορίᾳ τοῦ Θεοφράστου εὑρίσκεται τὸ ὄνομα *μήτρα* κείμενον πρὸς δήλωσιν τοῦ μεταξὺ τοῦ ξύλου τρίτου ἀπὸ τοῦ φλοιοῦ, οἷον βιβλ. Α', ς', 1 «Διαφέρουσι δὲ καὶ *ταῖς μήτραις*· πρῶτον μὲν εἰ ἔνια ἔχει ἢ μὴ ἔχει, καθάπερ τινές φασιν ἄλλα τε καὶ

τὴν ἀκτῆν· ἔπειτα καὶ ἐν αὐτοῖς τοῖς ἔχουσι τῶν μὲν γάρ ἐστι σαρκώδης, τῶν δὲ ξυλώδης, τῶν δὲ ὑμενώδης—Ἅπασαι δὲ σκληρότεραι καὶ κραυρότεραι τῶν ξύλων· διὸ καὶ οὐχ ὑπομένουσι καμπήν. Μανότεραι δὲ αἱ μὲν αἱ δ' οὔ—Ἔχει δὲ *τὴν μήτραν* τὰ μὲν μεγάλην καὶ φανεράν, οἷον πρῖνος, δρῦς, καὶ τἆλλα (τὰ) προειρημένα, τὰ δ' ἀφανεστέραν, οἷον ἐλάα, πύξος· οὐ γάρ ἐστιν ἀφωρισμένην οὕτω λαβεῖν ἀλλὰ καί φασί τινες οὐ κατὰ τὸ μέσον ἀλλὰ κατὰ τὸ πᾶν ἔχειν· ὥστε μὴ εἶναι τόπον ὡρισμένον· διὸ καὶ ἔνια οὐδ' ἂν δόξειεν ὅλως ἔχειν» καὶ βιϐλ. Γ', θ', 3 «Ἐπεὶ καὶ τὴν αἰγίδα [τὴν] καλουμένην ἡ θήλεια τῆς πεύκης ἔχει· τοῦτο δ' ἐστὶ τὸ ἐγκάρδιον αὐτῆς—Γίνεται δὲ ἐν τοῖς μέγεθος ἔχουσι τῶν δένδρων, ὅταν ἐκπεσόντα περισαπῇ τὰ λευκὰ καὶ τὰ κύκλῳ· τούτων γὰρ περιαιρεθέντων καὶ καταλειφθείσης *τῆς μήτρας* ἐκ ταύτης πελεκᾶται» καὶ ι', 5 «*Μήτραν* δ' ἔχει τὸ ξύλον μικρὰν καὶ οὐ πολὺ μαλακωτέραν τοῦ ἄλλου· μαλακὸν γὰρ καὶ τὸ ἄλλο ξύλον» καὶ ις', 3 «*Μήτραν* δὲ ἔχει φανερωτέραν ἢ ὁ πρῖνος» καὶ βιϐλ. Δ', ις', 4 «*Τῆς* δὲ *μήτρας* ἐξαιρουμένης, οὐθὲν ὡς εἰπεῖν φθείρεται δένδρον» καὶ βιϐλ. Ε', α', 11 «Ὅσα δὲ ὑποπαράϐορρα καὶ ἐν περίπνῳ, ταῦτα στρέφει καὶ παραλλάττει παρὰ μικρὸν ὁ βορέας, ὥστε εἶναι παρεστραμμένην αὐτῶν *τὴν μήτραν* καὶ οὐ κατ' ὀρθόν» καὶ ε', 2 «*Μήτραν* δὲ πάντα μὲν ἔχειν φασὶν οἱ τέκτονες, φανερὰν δ' εἶναι μάλιστα ἐν τῇ ἐλάτῃ· φαίνεσθαι γὰρ οἷον φλοιώδη τινὰ τὴν σύνθεσιν αὐτῆς τῶν κύκλων». Πρϐ. καὶ 3-6 καὶ βιϐλ. Α', α', 11 καὶ ϐ', 1. Ἔτι δὲ περὶ Φυτ. Αἰτ. Ε', ιζ', 1. Ὡς δ' εἶπεν ὁ Θεόφραστος «ἅπασαι δὲ (αἱ μῆτραι) σκληρότεραι καὶ κραυρότεραι τῶν ξύλων», οὕτω καὶ «παντὸς δὲ ὡς εἰπεῖν ξύλου σκληροτάτη καὶ μανοτάτη ἡ μήτρα» (περὶ Φυτ. Ἱστορ. Ε', ε', 5).

Ἄξια δὲ μνείας μάλιστ' εἶνε ἃ λέγει ὁ Θεόφραστος ἐν τῇ περὶ Φυτῶν Ἱστορίᾳ βιϐλ. Α', β', 6 «Φλοιὸς δὲ καὶ *μήτρα* κυρίως μὲν λέγεται, δεῖ δὲ αὐτὰ καὶ τῷ λόγῳ διορίσαι. Φλοιὸς μὲν οὖν ἐστι τὸ ἔσχατον καὶ χωριστὸν τοῦ ὑποκειμένου σώματος· *μήτρα* δὲ τὸ μεταξὺ τοῦ ξύλου τρίτον ἀπὸ τοῦ φλοιοῦ, οἷον ἐν τοῖς ὀστοῖς μυελός. Καλοῦσι δέ τινες τοῦτο *καρδίαν*, οἱ δ' *ἐντεριώνην*· ἔνιοι δὲ τὸ ἐντὸς *τῆς μήτρας* αὐτῆς *καρδίαν*, οἱ δὲ *μυελόν* — Σύγκειται δὲ τὰ ὕστερον ἐκ τῶν προτέρων· ξύλον μὲν ἐξ ἰνὸς καὶ ὑγροῦ καὶ ἔνια σαρκός—*μήτρα* δὲ ἐξ ὑγροῦ καὶ σαρκός».

Ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου ἐγράφη κατὰ πλημμελῆ ἀνάγνωσιν *μήΝα* καὶ *μητΕρα* ἀντὶ τοῦ *μήτρα*. «*ΜήΝα*: τὸ μέσον τοῦ ξύλου, ὅπερ (καὶ) καρδία καὶ ἐντεριώνη» καὶ «*ΜητΕρα*: — καὶ τῶν ξύλων τὸ ἐντός, ὃ καρδίαν τινὲς ἢ ἐντεριώνην καλοῦσι». Ὁ Κοραῆς ἐνόμιζεν ὅτι ἐκαλεῖτο ἡ ἐντεριώνη καὶ *μήνα*. Παρατιθέμεθα τὰ ὑπὸ τοῦ ἀοιδίμου ἀνδρὸς γεγραμμένα ἐν *Ἀτάκτ*. Τόμ. Α', σελ. 62. Τοῦ δευτέρου ἀντιγράφου τὸ Μάναν, εἶναι ἀπὸ τὸ παλαιὸν Μήναν, διὰ τοῦ ὁποίου ἐκεῖνοι ἐσήμαιναν τὴν Ἐντεριώνην ἤγουν τὸ κατάμεσον σπογγῶδες σῶμα τῶν ξύλων τῶν φυτῶν, τὸ ὁποῖον σήμερον ὀνομάζομεν Καρδίαν (coeur, moelle). Ἴσως ὀνομάζεται κάπου καὶ Μάνα, ὁμωνύμως μὲ τὴν ὀνομαζομένην ἀπὸ τὸν Πρόδρομον Ψίχαν. Ὁ Ἡσύχιος λέγει, «Μήνα, τὸ μέσον τοῦ ξύλου, ὅπερ Καρδία καὶ Ἐντεριώνη». Τὴν αὐτὴν ἐξήγησιν κάμνει καὶ τοῦ Μήτρα, λέγων, κτέ.

Ἐκ τοῦ ὀνόματος *μήτρα* ἐσχηματίσθησαν διὰ συνθέσεως τὰ ἐπίθετα *ἔμμητρος* καὶ *περίμητρος*. Ὁ Θεόφραστος λέγει περὶ Φυτ. Ἱστορ. Α', ς', 5 «Ἅπασαι δ' *ἔμμητροι*, καθάπερ καὶ τὰ στελέχη καὶ οἱ ἀκρεμόνες» καὶ Γ', θ', 2 «Ἔτι δὲ τὰ ξύλα τῆς μὲν ἄρρενος *περίμητρα* καὶ σκληρὰ καὶ ἐν ταῖς ἐργασίαις στρεφόμενα» καὶ 6 «Τὸ δὲ τοῦ ἄρρενος ποικιλώτερον καὶ παχύτερον καὶ σκληρότερον καὶ *περίμητρον* μᾶλλον· ὅλως δὲ φαυλότερον τὴν ὄψιν» καὶ περὶ Φυτ. Αἰτ. Ε', ιζ', 2 «Σημεῖον δ' ὅτι καὶ τὰ ξύλα τὰ *ἔμμητρα* διαστρέφονται κατειργασμένα ἤδη, μέχρι οὗ ἂν τελέως ἀναξηρανθῇ· διὸ καὶ ἔνσχιστα καὶ οὐκ *ἔμμητρα* ποιοῦσι τὰ τῆς ἐλάτης καὶ τῆς πεύκης». Πρβ. καὶ Ἀντιφάν. Ἀποσπ. 220, 1 Κοκκ. «*ἔμμητρον* ἂν ᾖ τὸ ξύλον, βλάστην ἔχει». Ἴδε καὶ Μεινέκιον εἰς *Θεόκρ*. ΚΕ', 209.

Τὸ ὄνομα *καρδία*, ὃ μνημονεύει ὁ Θεόφραστος ἐν τῇ περὶ Φυτῶν Ἱστορίᾳ λέγων «Καλοῦσι δέ τινες τοῦτο *καρδίαν*, οἱ δ' ἐντεριώνην· ἔνιοι δὲ τὸ ἐντὸς τῆς μήτρας αὐτῆς *καρδίαν*, οἱ δὲ μυελόν», βλέπει τις καὶ ἐν ἄλλοις τόποις τοῦ συγγράμματος τούτου, οἷον βιβλ. Γ', ι', 2 «Πᾶν γὰρ εἶναι *καρδίαν*, ὅταν ὁ φλοιὸς περιαιρεθῇ» καὶ ιδ', 1 «Τὸ δὲ ξύλον ξανθὸν καὶ ἰσχυρὸν καὶ εὔινον καὶ γλίσχρον· ἅπαν γὰρ

καρδία» καὶ ιζ', 5 «Ἀσαπὲς δέ ἐστι τὸ δένδρον καὶ *καρδίαν* ἔχει στερεάν, οὐκ ἐντεριώνην» καὶ βιβλ. Ε', ε', 4 «Ταὐτὸ δὲ τοῦτο σημεῖον καὶ ὅτι πᾶσα μήτρα ἕλκεται καὶ αἱ τῶν σκληροτάτων, ἃς δή τινες *καρδίας* καλοῦσι» καὶ βιβλ. Θ', ϛ', 7 «Τότε δ' ἐξαιρεῖν αὐτοῦ τὴν *καρδίαν*· τοῦτο γὰρ μάλιστα δᾳδῶδες». Πρβ. καὶ Εὐστάθιον ἐν Παρεκβ. εἰς Ὅμηρ. σελ. 309, 30 «Ἐθαρρήθη δὲ καὶ οὖθαρ λεχθῆναι ἀρούρης ἤτοι μαστὸς τὸ τῆς γῆς πιότατον καὶ τροφῆς ἀναδοτικὸν καὶ *καρδία* δένδρου τὸ ἐντός» καὶ ἐν Ἐπισκέψ. Βί. Μοναχ. 101 (Μικρ. Συγγρ. σελ. 238, 18 Ταφ.) «Ὃν οὐκ ἂν εἴποιμι, ἀλλ' οὐδὲ ἐνθυμηθείην, μελανδρύοις μὲν τεθηλέναι καὶ ἐβένοις καὶ ὅσοις ἄλλοις οὐ μόνον ἡ *καρδία* τὸ μέλαν φέρει ἀλλὰ καὶ ἡ ὁλότης τοιούτῳ πυκάζεται χρώματι». Ἐν τῷ περὶ Φυτῶν τοῦ Ψευδαριστοτέλους βιβλ. Α', 11 (Τόμ. Δ', α', σελ. 25, 4 Διδ.) λέγεται «Οἱ κλάδοι δ' οἱ γεννώμενοι ἐν τοῖς δένδροις καὶ οἱ φλοιοὶ καὶ οἱ φιτροὶ καὶ οἱ μυελοὶ οὐ γεννῶνται εἰ μὴ ἀπ' αὐτοῦ τοῦ χυμοῦ τῶν δένδρων· καί τινες καλοῦσιν αὐτὸν τὸν μυελὸν τὸν ἐν τοῖς δένδροις *μήτραν*, ἄλλοι *σπλάγχνα*, ἕτεροι δὲ *καρδίαν*».

Τίθεται δ' ἐπὶ τῆς αὐτῆς ἐννοίας καὶ τὸ ὄνομα *ἐγκάρδιον*, οἷον παρὰ Θεοφράστῳ βιβλ. Γ', η', 5 «Φασὶ δέ τινες οὐδ' *ἐγκάρδιον* εἶναι μόνῃ» καὶ θ', 3 «Ἐπεὶ καὶ τὴν αἰγίδα [τὴν] καλουμένην ἡ θήλεια τῆς πεύκης ἔχει· τοῦτο δ' ἐστὶ τὸ *ἐγκάρδιον* αὐτῆς» καὶ 5 «Ὅταν μὴ μόνον τὸ *ἐγκάρδιον* ἀλλὰ καὶ τὸ ἔξω τοῦ στελέχους ἔνδᾳδον γένηται» καὶ βιβλ. Ε', α', 2 «Ὡραῖον δὲ τμηθὲν τὸ δρύϊνον ἀσαπές τε καὶ ἀθριπηδέστατον (ἀθριπήδεστον) γίνεται καὶ σκληρὸν καὶ πυκνόν, ὥσπερ κέρας· πᾶν γὰρ ὅμοιόν ἐστιν *ἐγκαρδίῳ*» καὶ γ', 2 «Τορνεύεσθαι δὲ ἐξ αὐτῶν καὶ κύλικας Θηρικλείους, ὥστε μηδένα ἂν διαγνῶναι πρὸς τὰς κεραμεᾶς· λαμβάνειν δὲ τὸ *ἐγκάρδιον*». Ἀπαντᾷ δὲ καὶ παρὰ τῷ Διοσκορίδῃ περὶ Ὕλ. Ἰατρ. Α', 150 «καὶ τὸ *ἐγκάρδιον* δὲ τοῦ πρέμνου — ποιεῖ πρὸς ὅσα καὶ ὁ βόρασσος» Πρβ. καὶ Σχόλ. εἰς Ὀδύσσ. σελ. 580, 4 καὶ Εὐστάθ. σελ. 1748, 56. Ἐν τοῖς Γεωπονικοῖς κεῖται βιβλ. ΙΒ', κε', 3 «τοῖς δὲ ἁπαλοῖς *ἐγκαρδίοις* τοῦ πηγάνου εἴ τις τὰ ὦτα βύσειεν, ἰαθήσεται κεφαλῆς πόνος».

Βλέπει δέ τις καὶ ἐπίθετον *ἀκάρδιος* παρὰ τῷ Θεοφράστῳ παρει-

λημμένον πρὸς δήλωσιν τοῦ οὐκ ἔχοντος καρδίαν περὶ Φυτ. Ἱστορ. Γ', ιβ', 1 «Τὸ δὲ ξύλον τὸ μὲν τῆς κρανείας *ἀκάρδιον* καὶ στερεὸν ὅλον, ὅμοιον κέρατι τὴν πυκνότητα καὶ τὴν ἰσχύν, τὸ δὲ τῆς θηλυκρανείας ἐντεριώνην ἔχον καὶ μαλακώτερον καὶ κοιλαινόμενον· διὸ καὶ ἀχρεῖον εἰς τὰ ἀκόντια». Πρβ. καὶ 3 «Ἡ δὲ κέδρος τὸ πλεῖστον *ἐγκάρδιον* καὶ ἀσαπές, *ἐρυθροκάρδια* δ' ἄμφω».

Ἵνα δὲ κατὰ ταῦτα ὑπάρχῃ ἐπείγουσα ἀνάγκη κοινῆς γλώσσης, ἀναγκαῖον εἶναι νὰ ἔχῃ πρότερον ἀναπτυχθῇ ἱκανῶς ἡ ἐπικοινωνία πρὸς ἀλλήλας τῶν διαφόρων καὶ αὐτῶν τῶν ἀπωτάτω κειμένων χωρῶν, καὶ νὰ ὑπάρχωσι πολλαὶ ἐμπορικαί, πολιτικαὶ ἢ φιλολογικαὶ σχέσεις. Ἐκ τῆς μείζονος ἢ ἐλάσσονος ζωηρότητος τῆς ἐπικοινωνίας περαιτέρω ἐξαρτᾶται ἐν μέρει τὸ μέγεθος τῆς ἐκτάσεως, ἐφ' ἧς θὰ κυριαρχήσῃ ἡ κοινή. Τὰ ὅρια τῆς ἐκτάσεως ταύτης δὲν συμπίπτουσιν οὐδαμῶς μετ' ἐκείνων, ἃ σκοπιμώτατα θὰ ἐχάραττέ τις λαμβάνων ὑπ' ὄψιν μόνας τὰς σχέσεις τῶν διαλέκτων πρὸς ἀλλήλας. Ἐὰν ἐν δύο διαφόροις χώραις αἱ διαλεκτικαὶ διαφοραὶ εἶναι περίπου ἴσαι, δύναται νὰ συμβῇ, ὥστε ἐν ταύτῃ μὲν ν' ἀναπτυχθῇ μία μόνη κοινή, ἐν ἐκείνῃ δὲ δύο, τρεῖς ἢ καὶ πλείονες. Οὐδεὶς λ. χ. ἀμφιβάλλει ὅτι μεταξὺ τῶν διαλέκτων τῆς Ἄνω καὶ Κάτω Γερμανίας ὑπάρχουσι πολλῷ μείζονες διαφοραὶ ἢ μεταξὺ τῆς Σερβικῆς καὶ Βουλγαρικῆς, ἀκόμη καὶ μεταξὺ τῆς Πολωνικῆς καὶ Σερβικῆς. Δύνανται δύο χῶραι ἔχουσαι ὁμοιοτάτας διαλέκτους, νὰ διασπασθῶσιν ὡς πρὸς τὰς κοινὰς γλώσσας τὰς ἐν αὐταῖς ἐπικρατούσας, ἐνῷ δύο ἄλλαι χῶραι ἔχου-

(1) Ὅτι λ. χ. πρῶτον ἐκτὸς τῆς Ἑλλάδος διεμορφώθη ἡ κατ' ἐξοχὴν λεγομένη Κοινὴ καὶ ἔπειτα μετὰ αἰῶνας ἀπὸ τῆς Αἰγύπτου καὶ Ἀσίας μετεδόθη καὶ ἐπὶ τὴν Ἑλλάδα, εἶναι σήμερον ἀνεπίδεκτον ἀντιρρήσεως.

σαι διαλέκτους λίαν διαφόρους νὰ προσλάβωσι τὴν αὐτὴν κοινήν.

Πόσον δ' ἡ γένεσις κοινῆς γλώσσης ἐξαρτᾶται ἐκ τῆς ἀνάγκης, διδάσκει καὶ ἡ ἀκόλουθος παρατήρησις. Εἶναι δύσκολον, ἂν μὴ ὅλως ἀδύνατον, ὅταν ἐπὶ μεγάλης τινὸς ἐκτάσεως ἐγκατασταθῇ καὶ ῥιζοβολήσῃ, ὡς εἰπεῖν, κοινή τις γλῶσσα, νὰ δημιουργηθῇ διὰ μέρος τι τῆς ἐκτάσεως ταύτης ἰδιαιτέρα τις κοινή. Οὕτω λ. χ. οὐδεὶς δύναται νὰ σκέπτηται πλέον νὰ δημιουργήσῃ ἰδιαιτέραν κοινὴν γλῶσσαν τῆς Κάτω Γερμανίας ἢ τῆς Προβιγκίας. Καὶ οἱ ἀγῶνες ἵνα πλασθῇ ἰδιαιτέρα Νορβηγικὴ κοινὴ γλῶσσα, ναυαγοῦσιν ἐπὶ τῆς ἤδη ὑπαρχούσης κυριαρχίας τῆς Δανικῆς. Καὶ τἀνάπαλιν δὲν εἶναι εὔκολον νὰ ἐπικρατήσῃ κοινή τις γλῶσσα ἐπὶ μεγάλης ἐκτάσεως, ἐὰν τὰ καθ' ἕκαστον μέρη τῆς ἐκτάσεως ταύτης ἔχωσιν ἤδη ἕκαστον τὴν κοινὴν αὐτοῦ γλῶσσαν, ἐξαρκοῦσαν εἰς τὰς πρώτας ἀνάγκας. Τοῦτο παρατηρεῖ τις ἐν τῇ ἀποτυχίᾳ τῶν Πανσλαυϊστικῶν ἀγώνων. Ὁμοίως ἐμποδίζει καὶ ξένη ὅλως γλῶσσα, ἂν ἅπαξ εἰσήλασεν εἰς τὴν φιλολογικὴν καὶ πολιτικὴν ἐπικοινωνίαν, τὴν μόρφωσιν ἐθνικῆς κοινῆς γλώσσης. Οὕτω λ. χ. οἱ ἀγῶνες πρὸς ἵδρυσιν ἰδιαιτέρας Φλανδρικῆς φιλολογικῆς γλώσσης μικρὸν μόνον ἔσχον ἀποτέλεσμα, ἐπειδὴ ἡ Γαλλικὴ οὕτως ἰσχυρῶς ἐρριζοβόλησεν ἐν αὐτοῖς. Σφοδρὰν δὲ τοιαύτην κωλυτικὴν ἐπίδρασιν ἔσχε καὶ ἡ Λατινική.

Μόνον διὰ τὴν ἄμεσον συγκοινωνίαν ἰσχύει μέγα ἡ ἀνάγκη κοινῆς γλώσσης, διὰ δὲ τὴν ἄμεσον πολλάκις οὐδ' ὑπάρχει ἡ ἀνάγκη αὕτη, ἐὰν τὰ ἄτομα, μεταξὺ τῶν ὁποίων γίνεται ἡ ἀνακοίνωσις, εἶναι ὅλως διάφορα διαλεκτικῶς. Ἐὰν δηλ. ἡ ἀνακοίνωσις τελῆται δι' ἄλλων ἀτόμων, ὧν αἱ διάλεκτοι κεῖνται ἐν τῷ μέσῳ, δύναται τὸ ἀνακοινούμενον μεταβιβαζόμενον ἀπὸ μιᾶς διαλέκτου εἰς ἄλλην καὶ ἐκ ταύτης πάλιν εἰς ἄλλην νὰ λάβῃ τοιαύτην μορφήν, ὥστε νὰ καταστῇ σαφὲς καὶ εἰς ἐκείνους οἵτινες δὲν θὰ τὸ ἐνόουν ἐν τῇ διαλέκτῳ, ἐν ᾗ κατὰ πρῶτον ἦτο. Τοιαύτη δὲ διαδοχικὴ μετάβασις τελεῖται προδήλως ὅταν ποιητικὰ προϊόντα μεταφέρωνται ἀπὸ ἑνὸς τόπου εἰς ἄλλον προφορικῶς. Ἀλλὰ ταύτῃ ὑπόκεινται καὶ γραπτὰ μνημεῖα, ἂν διὰ τῆς ἀντιγραφῆς ἐξαπλῶνται. Συνήθως ἡ ἐξάπλωσις τελεῖται κατὰ τὸ μᾶλλον καὶ ἧττον ἀτελῶς, ὥστε παράγονται μεικταὶ διάλεκτοι. Πάμπολλα τούτων παραδείγματα παρέχουσιν αἱ διάφοροι ἐθνικαὶ φιλολογίαι τοῦ μέσου αἰῶνος. Οὕτω δὲ κατορθοῦται νὰ συνδέωνται διὰ τῶν

προϊόντων τούτων καὶ χῶραι σφόδρα διαλεκτικῶς διαφέρουσαι ἀλλήλων καὶ ἄνευ μεσολαβήσεως κοινῆς τινος γλώσσης. Μάλιστα ἡ συχνότατα παρατηρουμένη πρᾶξις αὕτη ἐμποδίζει ἀκριβῶς ὥστε διάλεκτός τις, ἐν ᾗ τυχὸν συνετάχθησαν ἔξοχα καλλιτεχνικὰ μνημεῖα, νὰ τύχῃ δι' αὐτὰ διαδόσεως καὶ κατισχύσῃ τῶν ἄλλων, διότι δὲν διαδίδεται μετὰ τῶν μνημείων τούτων, τοὐλάχιστον οὐχὶ καθαρά. Ὅλως διαφόρως ἔχει τὸ πρᾶγμα, ὅταν ἡ διάδοσις ἐκτελῆται διὰ τοῦ τύπου, δι' οὗ καθίσταται δυνατὸν ὥστε νὰ διαδοθῇ πανταχοῦ ἔργον φέρον τὸν γνήσιον τύπον, ὃν ὁ συγγραφεὺς ἢ ὁ ἐκδότης ἔδωκεν αὐτῷ. Καὶ ἂν δὲ καθόλου μέλλωσι νὰ χρησιμοποιηθῶσι τὰ προτερήματα τοῦ τύπου, ἀνάγκη, εἰ δυνατόν, εἷς τύπος νὰ ἐξαρκῇ διὰ πᾶσαν τὴν ὁμόγλωσσον χώραν καὶ πρὸς τοῦτο ἀπαιτεῖται, ἵνα ἡ γραφομένη γλῶσσα νοῆται πανταχοῦ. Μετὰ τὴν εἰσαγωγὴν ἄρα τοῦ τύπου καθίσταται ἐπαισθητοτέρα ἡ ἀνάγκη κοινῆς γλώσσης, ἀλλ' ἅμα καὶ παρέχονται καταλληλότερα μέσα εἰς πλήρωσιν τῆς ἀνάγκης ταύτης. Πρὸς δὲ τούτοις μόνον ἀφοῦ ὁ τύπος ἐφευρέθη, κατέστη δι' αὐτοῦ δυνατὴ ἡ πανταχοῦ διάδοσις τῆς γνώσεως τοῦ ἀναγινώσκειν καὶ γράφειν. Πρὸ δὲ τῆς χρήσεως τοῦ τύπου ὀλίγοι μόνον ἄνθρωποι ἠδύναντο νὰ αἰσθάνωνται τὴν μεγάλην ἐνέργειαν ἑνὸς κανόνος τῆς γραπτῆς γλώσσης.

Ἀλλ' ἡ ἀνάγκη μόνη δὲν ἀρκεῖ φύσει νὰ πλάσῃ κανόνα κοινῆς γλώσσης, οὐδὲ δύναται νὰ δώσῃ ἀφορμὴν εἰς αὐθαίρετον ἐφεύρεσιν. Οὐδ' ἐνταῦθα προβαίνει ἐπὶ τοσοῦτον ἡ σκοπιμότης, ὅσον καὶ ἂν αὕτη ἤθελεν εἶναι μείζων ἢ κατὰ τὴν φυσικὴν τῆς γλώσσης ἀνάπτυξιν Πανταχοῦ ὡς κανὼν χρησιμεύει κατ' ἀρχάς τι οὐχὶ νῦν πρῶτον πλαττόμενον, ἀλλὰ μία τῶν ὑπαρχουσῶν διαλέκτων. Καὶ πάλιν οὐδὲ τούτων ἐκλέγεταί τις κατά τινα συνθήκην, ἀλλὰ μᾶλλον ὀφείλει ἡ μέλλουσα νὰ καταστῇ κανὼν νὰ ὑπερέχῃ φυσικῶς κατά τι εἴτε ἐν τῇ ἐμπορίᾳ, εἴτε ἐν τῇ πολιτικῇ, εἴτε ἐν τῇ φιλολογίᾳ, εἴτε καὶ ἔν τισι τούτων ἅμα. Ὁ δὲ σκοπὸς τῆς δημιουργίας κοινῆς γλώσσης ἐπέρχεται πρῶτον, ὅταν ἔχωσιν ἤδη γίνει τὰ πρῶτα βήματα πρὸς τοῦτο. Τοὐλάχιστον μόνον ἐν τοῖς ἐσχάτοις χρόνοις φαίνεται ὅτι συνέβη νὰ ἐπιχειρηθῇ ἄνευ προϋπαρχούσης βάσεως ἡ δημιουργία κοινῆς γλώσσης, ἀλλὰ πάντοτε σχεδὸν ἄνευ ἀποτελέσματος. Κατὰ τὴν ἐργασίαν ταύτην ἐλήφθησαν ὡς πρότυπα αἱ σχέσεις ἄλλων χωρῶν ἐχουσῶν ἤδη κοινὴν γλῶσσαν. Ἀλλ' ὅτε αἱ κοιναὶ γλῶσσαι τῶν μεγάλων Εὐ-

ρωπαϊκῶν χωρῶν ἐδημιουργήθησαν, τοιαῦτα πρότυπα δὲν ὑπῆρχον. Ἐδέησε πρῶτον διὰ τῆς πείρας νὰ μάθωσιν, ὅτι τοιαύτη κοινὴ ἠδύνατο νὰ ὑπάρξῃ, πρὶν ἢ ἐπιζητήσωσιν αὐτήν.

Προτοῦ δὲ γίνωσι τὰ πρῶτα βήματα εἰς κοινὴν γλῶσσαν, ἀνάγκη πάντως νὰ ὑπάρχωσιν ἄτομά τινα, ἃ διὰ τῶν περιστάσεων ἠναγκάσθησαν νὰ μάθωσι δύο ἢ καὶ τρεῖς διαλέκτους, ὥστε νὰ δύνανται νὰ νοῶσι καί πως καὶ μεταχειρίζωνται αὐτάς. Τοῦτο δύναται νὰ ἔχῃ προέλθει ἐκ τούτου ὅτι μετῴκησαν εἰς ἄλλην χώραν ἢ διέμειναν ἁπλῶς ἐκεῖ ἐπὶ πολὺν ἢ ὀλίγον χρόνον, ἢ ὅτι μετ' ἀνθρώπων ἄλλοθεν ἐλθόντων πολὺ συνανεστράφησαν ἢ ὅτι καὶ περὶ ἔγγραφα μνημεῖα τῆς ἄλλης ἐκείνης χώρας ἠσχολήθησαν. Αἱ κατὰ τὸν τρόπον τοῦτον ἀναπτυσσόμεναι σχέσεις δύνανται νὰ εἶναι ποικιλώταται. Εἷς λαλῶν ὡς φυσικὴν γλῶσσαν τὴν διάλεκτον Α προσμανθάνει καὶ τὴν Β, ἕτερος προσκτᾶται τὴν διάλεκτον Γ, ἄλλος τὴν Δ καὶ οὕτω καθεξῆς· καὶ ἀντιστρόφως ἄνθρωπός τις λαλῶν φυσικὴν γλῶσσαν τὴν διάλεκτον Β ἢ Γ ἢ Δ προσλαμβάνει τὴν διάλεκτον Α. Ἐφ' ὅσον αἱ ἀμοιβαῖαι ἐπιδράσεις τῶν διαφόρων διαλέκτων τρόπον τινὰ ἐξισοῦνται, οὐδεμία πρόοδος εἶναι δυνατή. Ἐὰν δ' ὅμως εἰς ἐκμάθησιν μιᾶς τινος διαλέκτου ὑπάρχωσι πλείονες ἀφορμαὶ ἢ εἰς ἐκμάθησιν πασῶν τῶν ἄλλων, καὶ μάλιστα ἀφορμαὶ ἀναφερόμεναι εἰς τοὺς λαλοῦντας πάσας τὰς διαλέκτους, τότε αὕτη φαίνεται προωρισμένη νὰ γίνῃ κοινὴ γλῶσσα. Ἡ ὑπεροχὴ αὐτῆς φαίνεται κατὰ πρῶτον ἐν τῇ ἐπικοινωνίᾳ μεταξὺ τῶν λαλούντων αὐτὴν καὶ τῶν λαλούντων ἄλλας διαλέκτους, ὅταν συχνότερον καὶ εὐκολώτερον οἱ τὰς ἄλλας διαλέκτους λαλοῦντες μανθάνωσιν αὐτὴν ἢ οἱ ταύτην λαλοῦντες τὰς ἄλλας, ἐν ᾧ χρόνῳ αἱ λοιπαὶ διάλεκτοι μᾶλλον ἰσοφαρίζουσι πρὸς ἀλλήλας. Τὸ κυρίως δ' ἀποφασιστικὸν βῆμα γίνεται τότε, ὅταν τὴν ἀρχομένην νὰ ἐπικρατῇ διάλεκτον μεταχειρίζωνται ἐν ταῖς πρὸς ἀλλήλους σχέσεσιν αὐτῶν καὶ ἄνθρωποι ἄλλας λαλοῦντες διαλέκτους. Πηγάζει δὲ τοῦτο ὡς φυσικὸν ἐπακολούθημα ἐντεῦθεν ὅτι μέγα πλῆθος ἀνθρώπων ἠξεύρουσι ταύτην, καὶ δὴ εἶναι αὐτοῖς εὐκολώτερον νὰ μεταχειρίζωνται ταύτην, ἀφοῦ ἅπαξ ἡ ἐγχώριος διάλεκτος αὐτῶν δὲν ἐξαρκεῖ, ἢ νὰ ἐκμανθάνωσι καὶ τρίτην ἢ καὶ τετάρτην (1). Φυσικωτάτη δὲ καὶ ἀφ' ἑαυτῆς παρίσταται

(1) Καὶ ἡ προφανὴς αὕτη ἀλήθεια λανθάνει τοὺς νεωτέρους ἡμῶν διηγηματογράφους, διὸ δὲν κρίνουσιν ἄτοπον νὰ ἐπιχειρῶσι μὲν νὰ ἐξαναγκάζωσιν ἡμᾶς εἰς κοπιώδη

ἡ χρῆσις αὐτῆς αὕτη, ὅταν τις ἀπευθύνηται εἴτε πρὸς τοὺς λαλοῦντας ταύτην ὡς φυσικὴν γλῶσσαν εἴτε καὶ πρὸς τὸ λοιπὸν ἔθνος, ὅπως φύσει γίνεται ἐν τοῖς φιλολογικοῖς ἔργοις καθὼς καὶ ἐν ταῖς πολιτικαῖς σχέσεσιν, ὅταν ὑπάρχῃ πολιτικὴ ἑνότης. Εὐθὺς δ' ὡς καταστῇ συνειδητὴ ἡ σκοπιμότης τῆς χρήσεως τοιαύτης διαλέκτου εἰς εὐρυτέραν ἐπικοινωνίαν, ἄρχεται καὶ ἡ σκόπιμος αὐτῆς περαιτέρω ἀνάπτυξις.

Ἀλλ' ἡ θέσις διαλέκτου τινὸς ὡς προτύπου εἶναι συνήθως βραχεῖά τις μόνον καὶ παροδικὴ βαθμὶς ἐν τῇ ἐξελίξει τοῦ κανόνος τῆς κοινῆς γλώσσης. Τἀπομιμήματα τοῦ προτύπου ὑπολείπονται αὐτοῦ πάντοτε, καθ' ἃ εἴδομεν, κατὰ τὸ μᾶλλον ἢ ἧττον, γεννῶνται δὲ μείγματα μεταξὺ τοῦ προτύπου καὶ τῶν διαφόρων ἐγχωρίων διαλέκτων τῶν καθ' ἕκαστον ἀτόμων. Συνηθέστατα δὲ συμβαίνει ὥστε καὶ αἱ μεικταὶ αὗται διάλεκτοι ἐνίοτε ν' ἀποκτῶσι κῦρός τι, μάλιστα ὅταν ἔξοχοι συγγραφεῖς μεταχειρισθῶσιν αὐτάς. Ἀλλὰ πάλιν ὑπόκειται καὶ ἡ ἐν ἀρχῇ πρότυπος διάλεκτος ἀδιαλείπτοις μεταβολαῖς ἅτε διάλεκτος, ἐνῷ ἡ κανονικὴ γλῶσσα κατ' ἀνάγκην εἶναι συντηρητικωτέρα, καὶ μόνον ἐρειδομένη διαρκῶς ἐπὶ τῶν προτύπων τοῦ παρελθόντος δύναται νὰ διασῴζηται. Οὕτω κατ' ἀνάγκην ἡ διάλεκτος ἀποβάλλει συνήθως τὴν δύναμιν αὐτῆς τοῦ νὰ εἶναι ἀποκλειστικὸν πρότυπον καὶ ἀγωνίζεται περὶ ἐπικρατήσεως πρὸς διαφόρους ἀποκλινούσας παραλλαγάς.

Ἡ τεχνητὴ ἄρα γλῶσσα μεγάλης τινὸς χώρας ἀλλοιοῦται καὶ διασχίζεται συνήθως ἔν τινι σταδίῳ τῆς ἀναπτύξεως αὐτῆς, καθ' ὃν πε-

καὶ συχνότατα πάντῃ ἀδύνατον ἐκμάθησιν τῶν διαφόρων διαλέκτων καὶ ἰδιωμάτων αὐτῶν, νὰ ἐγκαταλείπωσι δὲ τὴν ὑπὸ συμπάντων τῶν ἀστῶν λαλουμένην καὶ νοουμένην κοινὴν σήμερον γλῶσσαν, τὴν ἐγγύτατα τῆς γραφομένης βαίνουσαν. Τὸ περίεργον δ' εἶναι ὅτι τὴν ἀσάφειαν καὶ ἀκαταληψίαν τῶν οὕτω συγγραφομένων συνορῶσι καὶ ὁμολογοῦσι καὶ αὐτοί. Οὕτω λ. χ. γράφει ὁ κ. Κονεμένος «Ἐγὼ ὁ ἴδιος πολλαῖς φορὲς μετεχειρίσθηκα τὴν καθαρεύουσαν καὶ σὲ γράμματά μου καὶ στὸν τύπο, τοῦτο τὸ εἶχα κάμει καὶ τὸ κάμνω ἀκόμα κἄποτες . . . ἢ γιὰ τὴν κακὴ ἕξι ἢ ἐπειδὴ θέλω νά με ἐννοήσουν καὶ νά με αἰσθανθοῦν **καλὰ καὶ ὅσο χρειάζεται** (ὑπογράφει τὰς λέξεις ταύτας αὐτὸς ὁ κ. συγγραφεὺς) ἐκεῖνοι ποῦ ἔχω συμφέρον καμμιὰ φορὰ νά με ἐννοήσουν καὶ νά με αἰσθανθοῦν, τ. ἔ. ἡ τάξι τῶν λογιωτάτων, ἢ ἐπειδὴ δὲν θέλω σὲ αὐτὴν τὴν περίστασι καὶ δὲν εἶμαι τόσον ἀνόητος νὰ θυσιάσω τὴν οὐσία στοὺς τύπους μὲ ζημία μου ἢ μὲ ζημία ἀλλονῶν». Οὕτω διαιροῦνται τὰ γραφόμενα εἰς ἐσωτερικὰ καὶ ἐξωτερικά, καθὰ λέγεται, ὅτι διῃροῦντο τὰ ἔργα τοῦ Ἀριστοτέλους! Ὁμοίως ὡμολόγησαν τὴν ἀκαταληψίαν ταύτην καὶ ἄλλοι (πρβλ. Ἀθηνᾶς Τόμ. Β' 186), ἀλλ' ὅμως παρὰ ταῦτα δὲν ἀφίστανται τοῦ ἀτόπου ἐπιχειρήματος, νὰ γράφωσι δηλ. ἐν γλώσσῃ ἀκαταλήπτῳ, ν' ἀπαιτῶσι δὲ ἅμα παρ' ἡμῶν τἀδύνατα, ἤτοι τὴν κατάληψιν αὐτῶν

ρίπου τρόπον καὶ βαθμὸν διασχίζεται καὶ ἡ φυσικὴ ἐντὸς χώρας τινός. Μείζων δὲ συγκέντρωσις ἐπιτυγχάνεται συνήθως μόνον διὰ τοῦ καθορισμοῦ πραγματικῶν κανόνων ἐν τῇ προφορικῇ διδασκαλίᾳ, διὰ γραμματικῶν, λεξικῶν, Ἀκαδημειῶν κλπ. Ἀλλὰ μεθ' ὁπωσησδήποτε ἐπιγνώσεως καὶ σκοπιμότητος καὶ ἂν πλασθῇ ὁ κανὼν τῆς γραφομένης, οὐδέποτε δύναται νὰ ἐπέλθῃ πλήρης στασιμότης τῆς ἀνεπιγνώστου καὶ αὐτομάτου ἐξελίξεως, διότι αὕτη εἶναι ἀναποσπάστως συνδεδεμένη μετὰ πάσης λεκτικῆς ἐνεργείας».

Τοσαῦτα ὁ Paul. Νῦν δ' ἄς μοι ἐπιτραπῶσιν ἔτι δύο λέξεις. Διὰ τοῦ Πρώτου μέρους τοῦ γλωσσικοῦ ζητήματος ἐν Ἑλλάδι δημοσιευθέντος ἐν Ἀθηνᾶς Τομ. Β' σελ. 169 κέξ. ἐζήτησα ν' ἀποδείξω ὅτι ἡ γραφομένη ὑφ' ἡμῶν σήμερον γλῶσσα δὲν εἶναι ἀποκύημα αὐθαιρεσίας τινῶν, ὅπως πολλοὶ παρ' ἡμῖν καὶ ἐν τῇ ἀλλοδαπῇ φρονοῦσιν, ἀλλ' ἀποτέλεσμα ἱστορικῶν ἰσχυροτάτων ἀναγκῶν, πρὸς ἃς οὔτε οἱ παλαιότεροι οὔτε ἡμεῖς δυνάμεθα νικηφόρως νὰ παλαίσωμεν. Τὴν ἀπόδειξιν ταύτην οὐδεὶς μέχρι σήμερον ἀπεπειράθη ν' ἀνασκευάσῃ, ὁ δὲ κ. Albert Thumb ἐν τῷ Ἐγχειριδίῳ αὐτοῦ σελ. ζ' καὶ διαρρήδην ἀσπάζεται λέγων ὅτι ἡ καθαρεύουσα «δὲν εἶναι τῶν νεωτάτων χρόνων κατασκεύασμα, ἀλλὰ προϊὸν χρήσεως μακρῶν αἰώνων πέραν τοῦ Βυζαντίου ἐξικνουμένης». Διὰ δὲ τοῦ Δευτέρου μέρους τοῦ γλωσσικοῦ ζητήματος ἐν Ἀθηνᾶς Τομ. Ε' σελ. 177 κέξ. ἀπέδειξα διὰ μεταφράσεως τῆς τοῦ Noreen πραγματείας ὅτι καὶ ἐν ταῖς Σκανδιναυικαῖς χώραις καὶ ἐν Γερμανίᾳ τοιαύτη διαφορὰ τῆς γραφομένης ἀπὸ τῆς λαλουμένης παρατηρεῖται, ὅτι καὶ ἐκεῖ ἀγωνίζονται ὅμοιον ἀγῶνα καὶ ὅτι καὶ ἐκεῖ ἄνδρες ἐπιστήμονες σκέπτονται περὶ τούτου καὶ διαφόρους συμβουλὰς καὶ ὑποθήκας προτείνουσιν εἰς περιορισμὸν τοῦ κακοῦ τῆς ἐπικρατούσης καὶ ἐκεῖ διγλωσσίας, καὶ ὅτι καὶ παρ' ἡμῖν τὰ κακὰ αὐτῆς δύνανται νὰ ἐλαττωθῶσιν, ἂν ὑγιέστεραι ἀρχαὶ ἐπικρατήσωσι παρὰ τοῖς συγγράφουσι φιλολογικὰ ἔργα, ὑπεδείχθησαν δὲ καί τινα αὐτῶν πλημμελήματα. Διὰ τοῦ Τρίτου μέρους ἐν Ἀθηνᾶς Τομ. Ζ' σελ. 145 κέξ. ἐφρόντισα ν' ἀποδείξω ὅτι ὅσα ἀπὸ πολλοῦ ὡς τῆς γλωσσολογίας δῆθεν διδάγματα καὶ ὑπὸ πάντων ὁμολογούμενα πορίσματα αὐτῆς προεφέροντο εἰς τὸ μέσον καὶ ὑπὸ τῶν ἀπειροτέρων ὡς πυθόχρηστα ἐπιστεύοντο, δὲν εἶναι ἀληθῆ, τῆς ἀληθοῦς ἐπιστήμης νῦν ἄλλα καὶ ὀρθότερα φρονούσης. Ἐπίσης ἀπέδειξα διὰ παραθέσεως πολλῶν μαρτυριῶν ὅτι πανταχοῦ

καὶ τὸ πάλαι καὶ νῦν παρατηρεῖται διαφορὰ τῆς κοινῆς γραφομένης ἀπὸ τῆς λαλουμένης, καὶ ὅτι ἡ καὶ παρ' ἡμῖν παρατηρουμένη διαφορὰ αὕτη οὔτε μονήρης οὔτε ἀφύσικος εἶναι. Διὰ τοῦ παρόντος Τετάρτου μέρους παρέχεται ὑπ' ἀνδρὸς τὰ πρῶτα φέροντος ἐν τῇ γλωσσικῇ ἐπιστήμῃ ἐξαισία ψυχολογικὴ ἀνάλυσις καὶ διαλεύκανσις τοῦ περὶ οὗ ὁ λόγος ζητήματος, ὁρίζεται καὶ περιγράφεται ἡ φύσις τῆς κοινῆς γραφομένης, τῆς κοινῆς λαλουμένης καὶ τῶν διαλέκτων, ὁ τρόπος τῆς γενέσεως καὶ ἀναπτύξεως αὐτῶν, καὶ ἐξαίρεται ἡ παρ' ἡμῖν πλειστάκις συγχεομένη φυσικὴ καὶ τεχνητὴ γλῶσσα κττ. Ταῦτα νομίζω ἱκανὰ τοῖς βουλομένοις νὰ διδαχθῶσιν, ὑπὲρ δὲ τῶν ἄλλων οὔτ' ἐγὼ οὔτε τῶν ἄλλων ἀνθρώπων οὐδεὶς δύναται νὰ πράξῃ τι χρήσιμον, εἰ μὴ ἴσως ὁ καλὸς Θεός.

Γ. Ν. ΧΑΤΖΙΔΑΚΙΣ.

Προσθήκη.

Τοῖς ἀνωτέρω σελ. 124 εἰρημένοις περὶ τοῦ ἀρξαμένου ἤδη ἐν τοῖς δοκίμοις χρόνοις σάλου ἐν τοῖς συμπλέγμασιν *νη - να* προστεθήτωσαν καὶ τὰ ἑξῆς.

Τὰ θηλυκὰ εἰς *νη* ὀνόματα σῴζονται ἐν τοῖς δοκίμοις ἀμετάβλητα, ὅπως ὁ Blass ἐν Γραμματικῇ Α' 382 διδάσκει, μετέπειτα δὲ τρέπονται εἰς *-να*, πρβλ. ἐγγύη καὶ τὰ ἐξ αὐτοῦ ἐγγυῆσαι -τὴς -ητὴ -ησις· ματτύη παρ' Ἀθηναίῳ 141 d καὶ 663-664 ἐξ Ἀττικῶν συγγραφέων· ὀξύη καὶ ὀφρύη παρ' Εὐριπίδῃ· σιπύη καὶ σμινύη παρ' Ἀριστοφάνει καὶ Πλάτωνι· Φλυῆθεν καὶ Φλυῆσι καὶ Φλυήσιος ἐν ἐπιγραφαῖς. Ὁμοίως λέγεται τὸ ἀρσενικὸν τὸν γύην παρ' Εὐριπίδῃ Ἡρακλείδαις 834. (Ἀλλ' ἡ λέξις ποιητικὴ καὶ οὐδὲν ἀποδεικνύει). Ἐν τοῖς μετὰ ταῦτα δ' ἀναγινώσκονται πολλὰ εἰς *-να*, οἷον ἀφύα καὶ ἀφύη Βεκκήρου Ἀνεκδότοις 472, 29 διεγγύα, ἰγνύα, ἰξύα, ἰχθύα, καρύα, κωδύα, μελανδρύα, οἰσύα, ὀξύα, ὀστρύα, σικύα, σιπύα παρ' Ἡρωδιανῷ Α' 302-3 καὶ παρ' ἄλλοις. (Τὰ παρ' Ἡρωδιανῷ λύη ἡ στάσις ἀπὸ τῆς διαλύσεως, δύη ἡ κακοπάθεια, γύη ἡ γῆ καὶ μέρος ἀρότρου, ψύη ἡ ψύα, . . . φυή . . . ὀρύη, νορύη ὄντα ἀλλότρια τοῦ πεζοῦ λόγου δὲν ἠκολούθησαν τῇ μεταβολῇ. Ἄξιον δ' ὅμως σημειώσεως εἶναι ὅτι ὁ Ἡρωδιανὸς ἑρμηνεύει τὸ ψύη διὰ τοῦ ψύα, τοῦ συγχρόνου δηλ., ὅπως καὶ ὁ Ἡσύχιος τὸ ἰπύα διὰ τοῦ σιπύα). Γρηγόριος δ' ὁ Κορίνθου ἀναγράφει καὶ δελφύα, ματτύα, ψύα ὡς Δώρια, ἀλλ' ὅπως ὁ Lobeck εἰς Φρύνιχον 301 σημ. ὀρθῶς παρατηρεῖ, ταῦτα ἠδύναντο ν' ἀνήκωσι καὶ τῇ Κοινῇ.

Ὁμοίως ἐλέγετο ὑπὸ τῶν Ἀθηναίων θυηλή, ξυήλη, θυηπόλος -λία - λέω, θυηφάγος, ὑηνὸς -νία - νέω. Ὁμοίως αὐτοφυής, ἀφυής, διφυής, κακοφυής, νανοφυής, ὀδοντοφυής, ὁμοφυὴς κττ. Καὶ οἱ συνηρημένοι τούτων τύποι τὸν αὐτοφυῆ Ξενοφῶντος Ἱππικῇ 7, 11, ἀφυῆ Σοφοκλέους Φιλοκτήτῃ 1014, διφυῆ Τραχινίαις 1095, ὀδοντοφυῆ Εὐριπίδου Φοινίσσαις 821, ὑπερφυῆ Πλάτωνος Συμποσίῳ 455, 6 καὶ Γοργίᾳ 486, 6.

Ἀλλὰ παρὰ ταῦτα ἀναγινώσκεται καὶ εὐφυᾶ παρὰ Ξενοφῶντι ἐν Ἀπομνημονεύμασιν Α΄ 6, 13 καὶ ἐν ἐπιγραφαῖς, ὑπερφυᾶ παρ' Ἀριστοφάνει Ἱππεῦσιν. Βραδύτερον ἐλέχθη ὑπὸ τοῦ Ἀριστοτέλους διφυᾶ. Πρὸς δὲ τούτοις ὑπὸ τοῦ Ἀριστοφάνους καὶ ἑξῆς λέγεται φλύαρος -ρεῖν - ρία ἀείποτε μετὰ τοῦ α. Παραβάλλων δέ τις τὴν τοῦ ὄχλου λέξιν ταύτην φλύαρος, φλυαρεῖν, φλυαρία πρὸς τὴν ἐπίσημον τῆς πολιτείας ἐγγύη ἐγγυῆσαι ἐγγυητὴ κττ. δύναται μετὰ πολλῆς πιθανότητος νὰ εἰκάσῃ ὅτι ἡ γραφὴ τοῦ συμπλέγματος *υη* ἀντὶ *υα* ὀφείλεται εἰς τὴν ὀρθογραφικὴν παράδοσιν τῶν παλαιοτέρων χρόνων, ὅτι δὲ ἀληθῶς τότε ἡ προφορὰ θὰ ἦτο μεσάζουσά τις μεταξὺ τοῦ *η* καὶ *α* ἀλλὰ μᾶλλον α, ἐντεῦθεν καὶ ὅπου ὀρθογραφικὴ παράδοσις δὲν ὑπῆρχεν, λ. χ. ἐν τῇ λέξει φλύαρος, ἐγράφη τὸ δημῶδες *υα*.

Τὸ ναυαγὸς ναυάγιον - για - γῶ, εὐαγὴς (τὸ εὐαὴς ἅτε ἀλλότριον τοῦ πεζοῦ λόγου δύναται νὰ εἶναι Δώριον) καὶ τὰ μεταγενέστερα εὐαερία, εὐάερος κττ. καθ' ἃ καὶ τὰ νέα Ἑλληνικά, οἷον ἀπάνεμος (= ὑπάνεμος ἀντὶ ὑπήνεμος) κττ. δὲν ἀντιβαίνουσιν ἀληθῶς τοῖς ἀνωτέρω σ. 124 εἰρημένοις, ὅτι ὅπου τὸ *υ* ὡς ἐπιτακτικὸν φωνῆεν τῶν διφθόγγων διέσωσε τὴν ἀρχαίαν αὐτοῦ προφοράν, ἐκεῖ τὸ ἑπόμενον αὐτῷ *η* δὲν ἐτράπη εἰς *α*. Διότι τούτων τὸ φωνῆεν μετεβλήθη κατὰ τὸ τῶν ἁπλῶν ἄγνυμι, ἀγής, διαφυλάξαν μόνον τὸν ἀρχαῖον μακρὸν χρόνον. Τὸ δ' ἀληθὲς ἐν τούτοις διδάσκουσιν ἄλλα παραδείγματα, οἷον εὐήλιος, εὐήμερος, εὐήνεμος, εὐήνιος, εὐήτριος, εὐηχής, εὐήροτος, ἐν οἷς τὸ *η* καίπερ ἐκ τοῦ ᾱ προελθὸν δὲν ἐπανῆλθεν εἰς α ἐπειδὴ τὸ πρὸ αὐτῶν *υ* δὲν ἦτο καθαρὸν φωνῆεν, οὐδ' ἐβάδισε τὴν πρὸς τὸ ü ὁδόν, ὅπως οὐδ' ἐν τῷ σκευὴ - χλεύη κττ.

Γ. Ν. Χ.

ΠΕΡΙ ΤΟΥ ΝΟΘΟΥ ΤΩΝ ΠΛΑΤΩΝΟΣ ΝΟΜΩΝ.

Α' ΒΙΒΛΙΟΝ

Τὸ νόθον τῶν Πλάτωνος νόμων ἐκ τῶν ἐν αὐτοῖς λεγομένων πολλοὶ ἐτεκμήραντο, Ἄστος τε μάλιστα (1) καὶ Ζελλῆρος (2) καὶ Σούκκουβος (3) καὶ Ἀκκερμαννὸς (4) καὶ Οὐέισος (5) Καρόλου Ἑρμαννοῦ ἀντιλέγοντος (6) καὶ Σταλλβαύμου (7) καὶ Διτλεύου (8) καὶ ἄλλων, οἷς εἶτα οὐ πολὺ εὐλόγως καὶ Ζελλήρῳ ξυγχωρῆσαι ἔδοξεν (9), ἄλλων τε καὶ Σουσεμίλου (10) ἑπομένων. Βέργκος δὲ (11) καὶ Βροῦγκος (12) Φίλιππον τὸν Ὀπούντιον τὸν Πλάτωνος ἑταῖρον, τὸν κατὰ Διογένη τὸν Λαέρτιον (13) καὶ Σουίδαν (14) τοὺς Πλάτωνος νόμους ἀτελεῖς καταλειφθέντας ἐκδόντα, διττά τινα τοιαῦτα τοῦ Πλάτωνός φασι συγγράμματα, ὡς ἓν ὑπολαβόντα, μίξαντά τε καὶ ἓν ποιήσαντα ἐκδοῦναι, πολλοὺς δὲ καὶ ἑαυτοῦ λόγους πρὸς τὴν μῖξιν καὶ τελέωσιν προστεθεικέναι. Ἀλλ' οὐδένα, ὥς γ' ἐμ'εἰδέναι, πλὴν Χρίστου (15) φαίνον-

(1) Plato's Leben und Schriflen (σελ. 379 καὶ ἑξ.)

(2) Studien Platonische (σελ. 128 καὶ ἑξ.)

(3) Die wissensch und Künstlerische Form der plat. Schriften (σελ. 138 καὶ ἑξ.)

(4) Das Christliche im Platon (σελ. 22 καὶ ἑξ.)

(5) Ἐν τῇ τῶν Ἀριστοτέλους φυσικῶν Ἑρμηνείᾳ (σελ. 350 κἑ.)

(6) Comnent. de vestigiis veterum institutorum in Legibus Ptatonis investigendis (Marburg 1876).

(7) Prolegomena de legibus Platonis (Cap. 1)

(8) Examin. Platonicorum librorum De legibus, quo quonam jnre Platoni Vindicari possint, appareat (Gotting 1820).

(9) Gesch. der Grich. Philos. (Τόμ. 2 σελ. 316 καὶ ἑξ.)

(10) Genetische entwikelung der Platon. Philosophie (2, 2, 559 κἑ).

(11) Füuf abh. zur grich. philos. S. 188 κἑ.

(12) Plato's gesetze vor und nach ihrer Heransgabe durch Philippos von Opus.

(13) (3, 37).

(14) Ἐν τῷ ὀνόματι *Φιλοσόφῳ*.

(15) Grich. Litteraturgesch. 350.

ται πείθοντες καὶ τοῦτον οὐ σφόδρα, οὐδ' ἐμὲ ἄρα ἄλλως τε καὶ ἐν τοῖς Νόμοις πολλὰ μὲν τὰ ἀλλότρια Πλάτωνος ὄντα περὶ τὸν λόγον δεικνύντα, πολλὰ δὲ καὶ ἀνάττικα, ἅπερ οὐδ' ὁ Φίλιππος ἂν εἶπεν, ἑταῖρος Πλάτωνος γενόμενος καὶ πλεῖστον ἐν Ἀττικῇ τὰς διατριβὰς ποιησάμενος.

Πολλὰ δ' ἄν τις σκοπῶν καὶ περὶ τὸν λόγον καὶ τὰ ὀνόματα αὐτῶν ἂν εὕροι ἀνοικείως μὲν τοῦ Πλατωνείου ἔχοντα λόγου, ἀλλότρια δὲ καὶ τῆς Ἀττικῆς τὸ παράπαν φωνῆς ὄντα. Μάλιστα δὲ ταῦτ' οὕτως ἔχειν ὑπελάβομεν ῥήματά ποτε τοῦ Ἀττικοῦ συλλέγοντες λόγου, ἱκανὰ δ' ἐν τοῖς Νόμοις τῆς κοινῆς λεγομένης φωνῆς ἢ ποιητικὰ ἀνευρόντες.

Ἔδοξεν οὖν ἡμῖν περὶ τοιαῦτ' ἄττα ἤδη σπουδάσαι τὴν λέξιν μάλιστα καὶ τὰ ὀνόματα αὐτῶν σκοποῦσιν, ὅπως ὀρθότητος ἔχει, ἵνα καὶ ταύτῃ δήλη γένοιτο ἡ θρυλουμένη τῶν νόμων τοῦ Πλάτωνος ἀλλοτριότης.

Καὶ δὴ χωρῶμεν ἐπὶ τοιαύτην τινὰ σκέψιν αὐτῶν καὶ πραγματείαν ἀπὸ τοῦ πρώτου βιβλίου ἀρχόμενοι.

(624 α).

Ἀθην. «Θεὸς ἤ τις ἀνθρώπων ὑμῖν, ὦ ξένοι, εἴληφε τὴν αἰτίαν τῆς τῶν νόμων διαθέσεως;»

Τὸ νόμων διαθέσεως παντὶ μέν που δῆλον ὅτι ἀντὶ τοῦ νόμων θέσεως ἐνταῦθα κεῖται, περὶ δὲ πολιτείας μᾶλλον τοῦτο κύριον ἂν εἴη λεγόμενον, ὥσπερ καὶ εἴρηταί που τῶν νόμων τούτων (710 α) ἀμείνων πολιτείας διάθεσις. Ταὐτὸν δ' ἐκείνῳ καὶ τὸ νόμους διατίθεσθαι (834) δύναται, ὅ γε ἄμεινον ἂν εἶχε νόμους τίθεσθαι λεγόμενον. Ὅτι δὲ ταῦθ' οὕτως ἔχοντ' ὀρθῶς ἂν ἔχοι τὸ τοῦ Μίνω θέντος νόμους.(624 β) σαφέστατα κατηγορεῖ.

(624 β).

Ἀθην. «Νῦν οὖν καθ' Ὅμηρον λέγεις ὡς τοῦ Μίνω φοιτῶντος πρὸς τὴν τοῦ πατρὸς ἑκάστοτε συνουσίαν δι' ἐνάτου ἔτους καὶ κατὰ τὰς παρ' ἐκείνου φήμας ταῖς πόλεσιν ὑμῖν θέντος τοὺς νόμους;»

Τὸ φοιτᾶν πρὸς τὴν τοῦ πατρὸς συνουσίαν, πρᾶξιν δὴ οὖσαν καὶ οὐ χώραν δηλοῦσαν, πῶς ἂν ἐμμελῶς φθέγγοιτο, οὐδαμῇ ὂν οἷα τὰ ὀρθῶς ἔχοντα, ἅτ' ἐν τόπου μοίρᾳ ὄντα, φοιτᾶν εἰς ξυσσίτια

(πολ. 436), φοιτᾶν εἰς ταφὰς ('Ισοκρ. 8, 25) καὶ τἆλλα τὰ τοιαῦτα; Ἴσως δ' ἂν τούτοις καὶ Πλουτάρχου τινὰ παραπλήσια προσθείημεν φοιτᾶν ἐπὶ δεῖπνον ('Ηθικ. 50 δ) φοιτᾶν ἐπὶ τράπεζαν (Κρασσ. 1).

(625 α).

'Αθην. «Καὶ καλόν γε τὸ κλέος υἱεῖ τε Διὸς μάλα πρέπον». Τοῦ τέ ὀνόματα συνάπτοντος, οἷον καλὸν υἱεῖ τε πρέπον, εὐπορία μὲν τῷ ποιητικῷ ἐστι λόγῳ, σπάνις δὲ πολλὴ τῷ 'Αττικῷ, ἐρημία δὲ μυρία παρὰ Πλάτωνι. Ταὐτὰ δ' ἂν ψέγοι τις καὶ τὸ σμικρὸν προϊόντι (625 β) λόγοις τε παραμυθουμένους τὴν ὁδὸν διαπερᾶναι.

(625 α).

«'Επειδὴ δ' ἐν τοιούτοις ἤθεσι τέθραφθε νομικοῖς σύ τε καὶ ὅδε, προσδοκῶ οὐκ ἂν ἀηδῶς ἡμᾶς περὶ πολιτείας τε καὶ νόμων τὴν διατριβὴν λέγοντάς τε καὶ ἀκούοντας ἅμα κατὰ τὴν πορείαν ποιήσεσθαι».

Τῶν ὑστέρων ἂν εἴη καὶ τῆς κοινῆς φωνῆς λεγομένης τὸ ἤθεσι τεθράφθαι νομικοῖς· τὸ γὰρ νομικὸς συχνὸν παρ' ἐκείνοις ἐνταῦθα μόνον τῶν 'Αττικῶν συγγραφέων φαίνεται ὂν καὶ ἐν τῷ ὑποβολιμαίῳ Πλάτωνος Μίνῳ (317 ε). Τάχα δ' ἂν ἴσως καὶ γλῶσσα ὑστέρου ἑρμηνέως κέοιτο τόδε, τὸ δυσξύνετον δοκοῦν τοιούτοις ἀποσαφεῖν βουλομένου.

(625 β).

«Πάντως δέ ἥ γε ἐκ Κνώσου ὁδὸς εἰς τὸ τοῦ Διὸς ἄντρον καὶ ἱερόν, ὡς ἀκούομεν, ἱκανή, καὶ ἀνάπαυλαι κατὰ τὴν ὁδόν, ὡς εἰκός, πνίγους ὄντος τὰ νῦν ἐν τοῖς ὑψηλοῖς δένδρεσίν εἰσι σκιαραί, καὶ ταῖς ἡλικίαις πρέπον ἂν ἡμῶν εἴη τὸ διαναπαύεσθαι πυκνὰ ἐν αὐταῖς, λόγοις τε ἀλλήλους παραμυθουμένους τὴν ὁδὸν ἅπασαν οὕτω μετὰ ῥᾳστώνης διαπερᾶναι».

Μίμημα οὐ δεξιὸν ἔοικεν εἶναι ἅπας τε οὗτος ὁ λόγος τοῦ ἐν Συμποσίῳ (173 β) πάντως ἡ ὁδὸς ἡ εἰς ἄστυ ἐπιτηδεία πορευομένοις καὶ λέγειν καὶ ἀκούειν, καὶ τὸ σμικρὸν πρόσθεν λέγοντάς τε καὶ ἀκούοντας ἅμα τῆς πολλαχοῦ τῶν Πλάτωνος ἔργων ὁμοίας ῥήσεως οὔσης· πλὴν ἔλαθεν αὑτὸν ὁ μιμησάμενος καὶ οἰκεῖόν τι τῷ λόγῳ, ἀλλ' ἀνοίκειον προσθείς· Πλάτωνος γάρ τοι τῷ καὶ-καὶ ἢ καὶ

μόνον εἰς λόγον ἀεὶ τὼ ὀνόματε τούτω συνάγοντος, οὗτος τὸ ἄλογον δοκοῦν εἶναι ἅμα προσῆψεν. Ἄτοπον δ' οὐδὲ κατὰ Πλάτωνα καὶ τὸ ὑπερβατὸν **ταῖς ἡλικίαις** πρέπον ἂν **ὑμῶν** εἴη ἔοικεν εἶναι. (625 ᵇ).

Κλ. «Καὶ μὴν ἔστι γε, ὦ ξένε, προϊόντι κυπαρίττων τε ἐν τοῖς ἄλσεσιν ὕψη καὶ κάλλη θαυμάσια καὶ λειμῶνες, ἐν οἷσιν ἀναπαυόμενοι διατρίβοιμεν ἄν».

Κυπαρίττων ὕψη καὶ κάλλη ποιητικῶς μετωνόμασται τὸ κυπάριττοι ὑψηλαὶ καὶ καλαί, στασιάζον μὲν ἄντικρυς τῷ λόγῳ τῷ καταλογάδην, τῷ Πλάτωνος δὲ τρόπῳ ἐπιεικῶς διαφωνοῦν· εἰ γάρ τι καὶ τοιοῦτον ἐν τῷ νεανικῷ ἐνεανιεύσατο Φαίδρῳ, πλήθη καὶ ἀτοπίας φύσεων εἰπὼν (229 ε), ἔνθα διὰ τὸ πλήθη φύσεων κυρίως κείμενον καὶ ἀτοπίας συμμετρίας ἕνεκα ἐρρήθη, ἀλλ' οὖν οὔτ' ἂν ἐνταῦθά γε ἀκαίρως ὁ πρεσβυτικὸς ἡμῖν ἔπαιζεν ἤδη φιλόσοφος ποιητικῶς καλλωπιζόμενος, οὔτ' ἀλλαχοῦ πολλαχοῦ τῶν λεγομένων αὐτοῦ Νόμων (653 δ, 707 α). Τοιαῦτα δὲ μεταθέων πόλλ' ἂν εὕροις πάσχοντας τοὺς Ἀττικιστὰς τοὺς ὑστέρους, ποιητάς τε καὶ συγγραφέας Ἀττικοὺς μιμουμένους καὶ οὐ πρὸς τὴν ἐπ' αὐτῶν συγγράφοντας φωνήν.

(625 ᵇ). Ὁ δὲ τὸ ἐν τοῦ ἐνταῦθα ἀνάπαυλαι ἐν δένδρεσι δύναται χαλεπῶς ἂν ἀλλαχοῦ τοῦ παντὸς Ἀττικοῦ λόγου εὕροιμεν σκοπούμενοι.

(625 ᵇ). Τὸ δὲ λόγοις παραμυθομένους ἀλλήλους πολὺ λειπόμενον φαίνεται τῆς ὁμολογουμένης Πλάτωνος σαφηνείας τε καὶ ἀκριβείας, ἢ δήπου τὸν πόνον παραμυθουμένους μᾶλλον ἐχρῆν εἰπεῖν, καθάπερ ἀλλαχοῦ τε κυριώτερον αὐτῷ εἴρηται παραμύθια τῆς ὁδοῦ ποιεῖσθαι (632 ε) καὶ τὸ ἐνταῦθα μετὰ ῥαστώνης ἀξιοῖ.

(625 γ). Τί δ' ἂν κρίνειέ τις, καὶ σμικρὰ τῶν Πλάτωνος ἐφημμένος διαλόγων, τὸ τοῦ Ἀθηναίου ὀρθῶς λέγεις πρὸς οὐδὲν ἀμφισβητούμενον τοῦ Κλεινίου λεγόμενον καὶ τῆς ὁμολογίας τούτου δεόμενον; ὃ γὰρ ὅδε εἰρηκὼς τυγχάνει, πρέπον ἂν εἴη διαναπαύεσθαι ἐν ἀναπαύλαις, ταὐτόν που καὶ Κλεινίας καὶ οὐ πολύ τι διαφέρον ἀπεκρίνατο ἐν ἄλσεσιν εἰπὼν καὶ λειμῶσιν ἀναπαυόμενοι διατρίβοιμεν ἄν. Οὐ μόνον δὲ τοῦτο ἥκιστα Πλατώνειον εἶναι δοκεῖ, ἀλλὰ καὶ τὸ τούτου ἐχόμενον πάνυ μὲν οὖν οὐκ ἄλλως ἔχον ἂν εὕροις·

ἀργόν γάρ ἐστι καὶ ἄτοπον τὸ ῥῆμα, καὶ πρὸς τὸ ὀρθῶς λέγεις εἰ λέγοιτο, ᾗ περ Σταλλβαύμῳ δοκεῖ ἄγαν τῶν κειμένων ἀντεχομένῳ· οὕτω μὲν γὰρ καὶ πάνυ γε μᾶλλον ἂν εὐδοκιμοῖ Πλάτωνι λεγόμενον· ὡς δ' αὖ Ἄστος οἴεται, τοῦ Ἀθηναίου λόγον εἶναι τὸ πάνυ μὲν οὖν φάσκων, ἄμεινον ἂν εἶχεν ὀρθῶς γε λέγεις εἰπεῖν. Ὥστε οὔτε ταύτῃ οὔτε ἐκείνῃ δηλοῖ πρέπον τοῦτο Πλάτωνος ὄν. Ἀλλὰ μὴν καὶ ὅλος ὁ λόγος οὗτος ἄμουσός τις καὶ ἄχαρις δοκεῖ εἶναι, οὕτως ἀηδῶς περὶ τὴν ἡδονὴν τευτάζων τῶν ἀναπαυλῶν, ὑπερβαλλούσας πλήθει ῥήσεις περὶ ταὐτὸν ἀθροίσας, ὀρθῶς λέγεις, πάνυ μὲν οὖν, μᾶλλον φήσομεν, ἴωμεν τύχῃ ἀγαθῇ, ταῦτ' εἴη.

(625 γ).

Ἀθην. « Καί μοι λέγε κατὰ τὶ τὰ ξυσσίτιά τε ὑμῖν συντέταχεν ὁ νόμος καὶ τὰ γυμνάσια καὶ τὴν τῶν ὅπλων ἕξιν; Κλ. Οἶμαι μέν, ὦ ξένε, καὶ παντὶ ῥᾴδιον ὑπολαβεῖν εἶναι τά γε ἡμέτερα. Τὴν γὰρ τῆς χώρας πάσης Κρήτης φύσιν ὁρᾶτε, ὡς οὐκ ἔστι, καθάπερ ἡ τῶν Θεσσαλῶν, πεδιάς. Διὸ δὴ καὶ τοῖς μὲν ἵπποις ἐκεῖνοι χρῶνται μᾶλλον, δρόμοισι δ' ἡμεῖς ».

Ὑπολαβεῖν ἀντὶ τοῦ γνῶναι ἢ ξυνεῖναι, ὃ δὴ ἐνταῦθα βούλεται φράζειν, σὺν τῷ λόγον ἢ ὃ λέγω ἢ ὀρθῶς ἢ κάλλιστα καὶ τοῖς τοιούτοις εὕρηται ὀρθῶς λεγόμενον καὶ εὐδοκιμοῦν (ὡς ἐν Εὐρ. Ἰφιγ. Αὐλ. 523· ἐν Πλατ. Εὐθυδ. 259 β, Γοργ. 458 ε, Θεαιτ. 159 β), μετὰ δὲ τοῦ τὰ ἡμέτερα ἀκυρώτερον δὴ ἔχει, οὐδ' ἂν Πλάτωνι εἴη εἰρημένον δῆλον ὅτι.

(625 δ). Πεδιάς δ' ἀντὶ πεδίου μόνον ἐνταῦθα τοῦ Ἀττικοῦ ἐστι λόγου, τῶν δ' ἄλλων συγγραφέων Ἡροδότῳ εἰρημένον ὑπάρχει (9, 122). Οὐκ ἄλλως δ' ἂν ἔχον εὕροις καὶ τὸ σμικρὸν προϊόντι (626 δ) διανομοθετεῖν καὶ τὸ πολὺ προσωτέρω διανομοθετεῖσθαι (833 ε), ὅπερ Δίων ὁ Κάσιος μόνον θαμὰ φιλεῖ λέγειν, οὐδεὶς δ' ἄλλος οὔτε τῶν Ἀττικῶν οὔτε τῶν Ἀττικιστῶν συγγραφέων εἰρηκὼς τυγχάνει. Ἡδέως ἂν ἔγωγε ἤκουον ὅ,τι πρὸς ταῦτ' ἀντειπεῖν ἂν εἶχε Σταλλβαῦμος, χαριέστατ' ἀεὶ ὑπὲρ τῶν Νόμων τούτων Σισύφεια πάσχων, πάντα αὐτῶν τὰ περὶ τὴν νόσον ταύτην ἰατά τε καὶ ἀνήκεστα ἰᾶσθαι οἰόμενος.

(626 ε).

Κλ. «Τὸν λόγον ἐπ' ἀρχὴν ὀρθῶς ἀναγαγὼν σαφέστερον ἐποίησας, ὥστε ῥᾷον ἀνευρήσεις, ὅτι νῦν δὴ ὑφ' ἡμῶν ὀρθῶς ἐρρήθη τὸ πολεμίους πάντας πᾶσι δημοσίᾳ τε καὶ ἰδίᾳ ἑκάστους αὐτοὺς σφίσιν αὐτοῖς. Ἀθην. Πῶς εἴρηκας ὦ θαυμάσιε;»

Τὸ πῶς εἴρηκας, ὦ θαυμάσιε, ἀλόγως λεγόμενον οὐδένα λανθάνει καὶ ἀναξιώτατα Πλάτωνος· οὐδὲν γὰρ νεώτερον Κλεινίου τῶν ἄρτι Ἀθηναίῳ εἰρημένων εἰπόντος, ἀτόπως οὗτος θαυμάζων ταῦτα φθέγγεται πρὸς οὐδὲν καινὸν οὐδὲ θαυμαστὸν ἀντιλέγων.

(626 ε).

Κλ. «Κἀνταῦθα, ὦ ξένε, τὸ νικᾶν αὐτὸν ἑαυτὸν πασῶν νικῶν πρώτη τε καὶ ἀρίστη, τὸ δὲ ἡττᾶσθαι αὐτὸν ὑφ' ἑαυτοῦ πάντων αἴσχιστον ἅμα καὶ κάκιστον».

Τῶν ὁμοίως ἀπορουμένων ἐστὶ καὶ τὸ κἀνταῦθα τὸ νικᾶν αὐτὸν ἑαυτὸν πασῶν νικῶν πρώτη τε καὶ ἀρίστη· καὶ ποῦ γὰρ ἀλλαχοῦ συμβαίνει τοῦτο γίγνεσθαι; οὐδὲν γὰρ ἐμοὶ Σταλλβαῦμος λέγειν δοκεῖ καὶ ἐν ἑνὶ ἀνδρὶ τὸ κἀνταῦθα σημαίνειν φάσκων, ὥσπερ εἰ τὸ νικᾶν αὐτὸν αὑτὸν καὶ ἐν πολλοῖς οἷόν τ' ἦν ἀνδράσι γενέσθαι.

(627 α). Λῆρος δὲ κενὸς ἂν δόξειεν εἶναι ὅπερ ἀπορούμενος δὴ τὸν Ἀθηναῖον Κλεινίας ἐρωτᾷ τὸ κρείττω τε ἑαυτῆς εἶναι λέγεις τινά, τὴν δὲ ἥττω; καὶ γὰρ ἂν ἀμβλύτατος ἀνὴρ τοῦ Ἀθηναίου ἀκούων ἐπειδὴ εἷς ἕκαστος ἡμῶν ὁ μὲν κρείττων αὑτοῦ, ὁ δὲ ἥττων ἐστί, πότερα φῶμεν οἰκίαν τε καὶ κώμην καὶ πόλιν ἔχειν ταὐτὸν τοῦτο ἐν αὐταῖς γνοίη ἂν ὅ,τι ποτὲ βούλοιτο λέγειν. Πλάτων γοῦν οὐδὲν ἂν τοιοῦτον ἄτοπον τοῖς διαλεγομένοις ἀποδοίη πάθος, ἀλλὰ μάλιστα πάντων εἰκότα παρ' αὐτῷ λέγουσί τε καὶ ἀκούουσιν.

(627 γ).

Ἀθ. «Τὸ ὑπὸ σοῦ λεγόμενον μανθάνω νῦν, ὥς ποτε πολῖται ξυγγενεῖς καὶ τῆς αὐτῆς πόλεως γεγονότες ἄδικοι καὶ πολλοὶ ξυνελθόντες δικαίους ἐλάττους ὄντας βιάσονται δουλούμενοι, καὶ ὅταν μὲν κρατήσωσιν, ἥττων ἡ πόλις αὑτῆς ὀρθῶς αὕτη λέγοιτ' ἂν ἅμα καὶ κακή, ὅπου δ' ἂν ἡττῶνται, κρείττων τε καὶ ἀγαθή».

Καὶ τὸ καὶ μάλα ἄτοπον, ὦ ξένε, τὸ νῦν λεγόμενον, ὅμως δ' ὁμολογεῖν οὕτως ἀναγκαιότατον, καὶ τοῦτο, οὐδὲν δέον οὐδ' ἀναγκάζοντος τοῦ διαλόγου οὐδ' ὁπωστιοῦν, ὑπολαβὼν εἶπε Κλεινίας πρὸς τὰ ὑπὸ τοῦ Ἀθηναίου λεγόμενα, οὐδ' ἐρομένου ἐκείνου οὐδέν. Μόνον δ' ἵνα διάλογος δοκῇ γίγνεσθαι καὶ ἐνταῦθα καὶ πολλαχοῦ ἀλλαχοῦ ἄλογα καὶ ἄκαιρα ἀποκρινομένους ἢ λέγοντας τοὺς διαλεγομένους παρέχει ὁ τὸ σύγγραμμα ποιησάμενος, τὸ τοῦ Πλάτωνος ὄνομα ἀδικῶν καὶ αἰσχύνων.

(627 γ).

Ἀθ. «Οὐκ ἂν εἴη πρέπον ἐμοί τε καὶ ὑμῖν **τοῦτο θηρεύειν**, ὅτι νικώντων μὲν τῶν πονηρῶν ἥ τε οἰκία καὶ ἡ ξυγγένεια πᾶσα ἥττων αὑτῆς λέγοιτ' ἄν, κρείττων δὲ ἡττωμένη».

Τὸ θηρεύειν τοῦτο πᾶς ἂν θαυμάσειεν, ὅπως χρήσεως καὶ ὀρθότητος ἔχει· τὸ γὰρ ὑγιὲς περὶ ταῦτα καὶ μάλιστ' ἐθιζόμενον θηρεύειν ὀνόματα ἥκιστ' ἐγχωρεῖ ἐπανορθώσει τεθῆναι, ὅπερ Βοΐκχος βούλεται, οὔτε τοῦ παντὸς ἑπομένου λόγου ἐῶντος τῆς τε παλαιογραφίας οὐ πάνυ τι δοκιμαζούσης· Σταλλβαύμῳ δὲ εἰκότως τὴν Βοίκχου ὑπόνοιαν οὐκ ἐπαινοῦντι ἧττόν τι τοῦ καινοῦ καὶ ἀήθους τῆς ὑπαρχούσης ῥήσεως μέλει.

(627 δ).

Ἀθ. «Οὐκ εὐσχημοσύνης καὶ ἀσχημοσύνης ῥημάτων ἕνεκα τὰ νῦν σκοπούμεθα πρὸς τὸν τῶν πολλῶν λόγον, ἀλλ' ὀρθότητός τε καὶ ἁμαρτίας πέρι νόμων, ἥτις ποτέ ἐστι φύσει. Κλ. Ἀληθέστατα, ὦ ξένε, λέγεις. Μεγ. Καλῶς μὲν οὖν ὥς γε ἐμοὶ ξυνδοκεῖν, τό γε τοσοῦτον τὰ νῦν».

Τὸ καλῶς μὲν οὖν, ὥς γε ἐμοὶ ξυνδοκεῖν, τό γε τοσοῦτον τὰ νῦν, ὅπερ Μέγιλλος συνομολογῶν τοῖς λεγομένοις τῷ Κλεινίᾳ ἐπιφθέγγεται, γελοῖον αὐτὸν τοῦ λόγου κοινωνὸν ἀποφαίνει καὶ σκιὰν τοῦ Κλεινίου, ἄκοντος δῆλα δὴ τοῦ συγγραφέως· οὐδὲν γὰρ δεομένου τοῦ λόγου τῆς ὁμολογίας αὐτοῦ παρὰ προσδοκίαν ἐπιλαμβάνεται ξυγχωρῶν μόνον τοῖς λεγομένοις καὶ οὐδὲν νέον ἐπάγων, ἵνα δὴ μὴ σιγᾶν μόνον δοκοίη μηδὲ ἀπεῖναι τοῦ διαλόγου. Τοιαῦτα δὲ πρὸς τὸ ὁμαλὸν τοῦ τῶν λεγόντων ἤθους οὐδέποτε ἂν Πλάτων ἁμάρτοι.

(627 δ). Ἄλογον δ' οὐδὲν ἧττόν ἐστι καὶ τὸ ἐνταῦθα ὥς γε ἐμοὶ ξυνδοκεῖν· ἀπὸ τίνος γὰρ ἂν τῷ γε ἐμοὶ ὁ λέγων ἑαυτὸν διακρίνοι,

καὶ τῶν τριῶν παρόντων, Ἀθηναίου καὶ Κλεινίου καὶ Μεγίλλου ὁμολογούντων ἀλλήλους καὶ πάντων τὸν λόγον ἐπαινούντων ὡς ὀρθῶς ἔχοντα καὶ ἀληθῆ; Εἰ μὲν γὰρ πρῶτος ὁ Μέγιλλος συνεχώρησε τοῖς ὑπ' Ἀθηναίου λεγομένοις, εἶχεν ἄν τινα λόγον τὴν Κλεινίου γνώμην μὴ εἰδότα καὶ ἀμφιγνοοῦντα ὅ,τι ἐκεῖνος ἐροῖ τὸ ὥς γε ἐμοὶ ξυνδοκεῖν ἐπειπεῖν· νῦν δὲ ταὐτὰ Μεγίλλῳ ἅπερ καὶ Κλεινίᾳ περὶ τοῦ λόγου δοκοῦν, πλημμελῶς δὴ ἔχει τὴν τούτου δόξαν τῆς ἐκείνου διάφορον ὑπονοεῖσθαι.

(628 α).

Ἀθ. «Τρίτον δέ που δικαστὴν πρὸς ἀρετὴν εἴπωμεν, εἴ τις εἴη τοιοῦτος, ὅστις παραλαβὼν συγγένειαν μίαν διαφερομένην μήτε ἀπολέσειε μηδένα, διαλλάξας δὲ εἰς τὸν ἐπίλοιπον χρόνον νόμους αὐτοῖς θεὶς πρὸς ἀλλήλους παραφυλάττειν δύναιτο ὥστε εἶναι φίλους».

Οὐ πάνυ δόκιμον εἶναι δοκεῖ καὶ τὸ νόμους αὐτοῖς τιθεὶς πρὸς ἀλλήλους· τῷ γὰρ ἀλλήλους οὐδέν ἐστι πρὸς τὸν ἐν τῷδε τῷ ῥήματι δρῶντα, τὸν τοὺς νόμους τιθέντα, ὥσπερ ἔμελλε τῇ συνηθείᾳ τοῦ Ἀττικοῦ λόγου ἑπόμενον, ἀλλὰ τοῦ γ' αὐτοῖς καινῶς καὶ ἀήθως ἅπτεται.

(628 β καὶ 633 ε).

Κλ. «Οὕτω πᾶς ἂν ἐθέλοι πρότερον ἢ 'κείνως περὶ τὴν ἑαυτοῦ γίγνεσθαι πόλιν».

Τὸ πρότερον ἀντὶ τοῦ μᾶλλον τί ὅτι μόνον Πλάτωνος ἐν νόμοις καὶ τῷ ἀμφιβόλῳ τὴν γένεσιν Λύσιδι (211 ε) εἰρημένον εὕρηται; Οὐ γὰρ οὖν Πλατώνειον ἔοικεν εἶναι τοῦτο οὕτω λεγόμενον· ἐπεὶ καὶ τοῦ παντὸς Ἀττικοῦ καταλογάδην λόγου οὐδαμοῦ ἂν ἀλλαχοῦ ἢ τοῦ Αἰσχίνου που (1, 10, 15) ἐντύχοις.

(628 γ).

Ἀθ. «Τό γε μὴν ἄριστον οὔτε ὁ πόλεμος οὔτε ἡ στάσις, ἀπευκτὸν δὲ τὸ δεηθῆναι τούτων, εἰρήνη δὲ πρὸς ἀλλήλους ἅμα καὶ φιλοφροσύνη».

Ἀλλὰ μὴν καὶ τὸ ἀπευκτὸν τῶν ἀλλοτρίων Πλάτωνος ἂν εἴη ὀνομάτων· καὶ γὰρ ἐν Ἀξιόχῳ (369) καὶ τῇ Ἐπονομίδι (353) ἔτι τοῖς ὁμολογουμένως νόθοις αὐτοῦ διαλόγοις, οὐδαμοῦ δ' ἀλλαχοῦ τοῦτο ἔτυχεν

εἰπών· τῶν δ' Ἀττικῶν ποιητῶν ἢ συγγραφέων Αἰσχύλος μόνος κεχρημένος φαίνεται (Ἀγαμ. 646. Ἱκετ. 792).

(628 γ). Τὸ δὲ φιλοφροσύνη τῶν Νόμων μόνον καὶ τῆς Ἐπινομίδος τῶν Πλάτωνος ἔργων ὄνομά ἐστιν, οὐκ ἄρ' ἀναμφισβητήτως Πλατώνειον. Πλούταρχος δὲ μάλιστα χαίρει αὐτῷ χρώμενος, τῶν δ' Ἀττικῶν Ξενοφῶν μόνον εἶπεν ἐν τῷ Συμποσίῳ (2, 24).

(628 δ).

«Καὶ δὴ καὶ τὸ νικᾶν, ὡς ἔοικεν, αὐτὴν αὑτὴν πόλιν οὐκ ἦν τῶν ἀρίστων, ἀλλὰ τῶν ἀναγκαίων· ὅμοιον ὡς εἰ (καὶ 369 γ) κάμνον σῶμα ἰατρικῆς καθάρσεως τυχὸν ἡγοῖτό τις ἄριστα πράττειν τότε, τῷ δὲ μηδὲ τὸ παράπαν δεηθέντι σώματι μηδὲ προσέχοι τὸν νοῦν».

Τὸ ὅμοιον ἴσα τῷ ὁμοίως δυνάμενον ἐν τοῖς νόμοις μόνον καὶ τῷ νόθῳ Ἀξιόχῳ τῶν Πλάτωνος διαλόγων εὕρηται λεγόμενον. Πᾶς δ' ἄν, οἶμαι, σωφρονῶν ὀκνοίη Πλάτωνος εἶναι τοῦτο νομίσαι· ἐπεὶ καὶ τῶν Ἀττικῶν συγγραφέων Θουκυδίδης μόνον οὕτως ἅπαξ φαίνεται εἰπὼν (1,25). Οὕτω δὲ τῷ ὀνόματι τούτῳ χρωμένους ἂν εὕροιμεν τοὺς τραγικοὺς μάλιστα τῶν ποιητῶν καὶ τῶν συγγραφέων Ἡρόδοτόν τε καὶ Λουκιανόν.

(628 ε).

Κλ. «Φαίνεται μέν πως ὁ λόγος οὗτος, ὦ ξένε, ὀρθῶς εἰρῆσθαι· θαυμάζω γε μὴν εἰ τά τε παρ' ἡμῖν νόμιμα καὶ ἔτι τὰ περὶ Λακεδαίμονα μὴ πᾶσαν τὴν σπουδὴν τούτων ἕνεκα πεποίηται».

Ἐν τῷ τά τε παρ' ἡμῖν **καὶ ἔτι** τὰ περὶ Λακεδαίμονα νόμιμα τὸ καὶ ἔτι οὕτως ἐγγὺς τοῦ ἀντιστοιχοῦντος τὲ κείμενον οὐδεὶς ἂν τῆς Ἑλληνικῆς φωνῆς ἔμπειρος προσδοκήσειε ῥηθῆναι· τοῦ γὰρ τὲ καὶ διαφανῶς λόγους ἢ ὀνόματα πρὸς ἄλληλα τάσσοντος, τὸ ἔτι τὴν ἀναφορὰν ταύτην ταράττον αἴφνης ἐπελθὸν προστίθησι τὸ ὕστερον τῷ πρώτῳ, ὥσπερ ἂν εἰ τρίτον τι τοῖς πρόσθεν ῥηθεῖσι προσήχθη. Πλάτων δὲ οὔτε τοιοῦτόν τι οὐδαμοῦ ἐλέγχεται εἰπὼν οὔτε τὸ ἀλλαχοῦ που τῶν νόμων εἰρημένον τέ - ἔτι δὲ (746 α, 927 δ).

(629 α).

Ἀθ. «Τάχ' ἂν ἴσως· δεῖ δὲ οὐδὲν σκληρῶς ἡμᾶς αὐτοὺς

διαμάχεσθαι τὰ νῦν, ἀλλ' ἠρέμα ἀνερωτᾶν ,ὡς μάλιστα περὶ ταῦτα ἡμῶν τε καὶ ἐκείνων σπουδαζόντων».

Οἷον τὸ σκληρῶς βούλεται δηλοῦν τῷ διαμάχεσθαι συνεζευγμένον ἢ τῷ πορρωτέρω που τῶν νόμων ἀπειλεῖν (885 δ) οὐδὲ παρ' ἑνὶ μὲν τῶν Ἀττικῶν συγγραφέων ἂν εὕροιμεν ζητοῦντες, τῶν δ' Ἀττικιστῶν παρὰ Πλουτάρχῳ μόνον, σκληρῶς τὴν ὄψιν ἐνερείδειν (Ἠθικ. 586 γ).

(629 β).

Ἀθ. «Ταῦτα γὰρ ἀκήκοάς που καὶ σὺ τὰ ποιήματα (τὰ Τυρταίου)· ὅδε μὲν γὰρ (ὁ Μέγγιλος), οἶμαι, διακορὴς αὐτῶν ἐστιν».

Πῶς οὐκ ἄν τις θαυμάσειεν ὁρῶν τῷ διακορὴς ἐν τοῖς νόμοις μόνον Πλάτωνα χρησάμενον (810 ε), ὅπερ Ἀττικισταὶ μόνον φαίνονται εἰπόντες, Πλούταρχός τε μάλιστα (Λυκ. 15) καὶ Δίων ὁ Κάσιος (ἀποσπ. σ. 60) καὶ Αἰλιανὸς (9, 8); Οἰκεῖον δὲ Πλάτωνος ἀντὶ τούτου ὄνομα ἔοικεν εἶναι ὁ κατακορής, ἐν Τιμαίῳ τε (68 γ) καὶ Φαίδρῳ εἰρημένον (246 ε).

(629 β).

Ἀθ. «Ἴθι νῦν δὴ ἀνερώμεθα κοινῇ τουτονὶ τὸν ποιητὴν οὑτωσί πως· ὦ Τύρταιε, ποιητὰ θειότατε, δοκεῖς γὰρ δὴ σοφὸς ἡμῖν εἶναι καὶ ἀγαθὸς ὅτι τοὺς ἐν πολέμῳ διαφέροντας διαφερόντως ἐγκεκωμίακας».

Ἀποστροφὴν ἐν τῷ λόγῳ, οἷα ὦ Τύρταιε ποιητὰ θειότατε, καὶ ἐν ἄλλοις διαλόγοις εὑρίσκεται ὁ Πλάτων ποιησάμενος, μετρίαν μέντοι ταύτην καὶ κατὰ τρόπον τὸν προσήκοντα· νεώτερος μὲν γὰρ ὢν δίκαιος ἦν θερμοτέρους παρέχειν τοὺς διαλεγομένους, ὡς ἐν Γοργίᾳ, καὶ ἀποστροφαῖς ἐν τῷ λόγῳ χρωμένους, ἀκαιρότατα δ' ἂν τοῦτο ἐν τοῖς νόμοις ἐπετήδευσεν ἐν γήρᾳ ἤδη ὤν. Μιμητοῦ τινος ἄρα κινδυνεύει εἶναι τό τε ἀηδὲς καὶ ψυχρὸν ὡς τὸ πολὺ αὐτῶν καὶ τὸ ἄμετρον πλῆθος· δυοῖν γὰρ δέουσαι τριάκοντα ἀποστροφαὶ ὑπὸ Ζελλήρου ἐν τοῖς νόμοις ἠριθμήθησαν, ὅπερ καὶ μᾶλλον αὐτὸν πιστεύειν ἐποίησεν ὑποβεβλῆσθαι αὐτοὺς Πλάτωνι (Περὶ Πλάτωνος σελ. 128).

(629 δ).

«δύο (εἴδη πολέμου), τὸ μὲν ὃ καλοῦμεν ἅπαντες στάσιν, ὃς δὴ πάντων πολέμων χαλεπώτατος, τὸ δὲ ἄλλο πο-

λέμου θήσομεν, οἶμαι, γένος ἅπαντες, ᾧ πρὸς τοὺς ἐκτός τε καὶ ἀλλοφύλους χρώμεθα διαφερόμενοι, πολὺ πραότερον ἐκείνου».

Ἐν τῇ ῥήσει οἱ ἐκτὸς καὶ ἀλλόφυλοι ἀλλότριον Πλάτωνος ἔοικεν εἶναι οἱ ἐκτός· οἱ γὰρ ἔξω ἀντὶ τούτου εἴωθε λέγειν, ὡς ἐν Φαίδρῳ καὶ Θεαιτήτῳ πολλάκις (247 γ, 248 α, - 144 γ, 199 γ) καὶ πολλαχοῦ τῶν ἄλλων αὐτοῦ διαλόγων. Ἄλλως δ' ἔχει ἐν Τιμαίῳ (46 α) τῆς ἐντὸς ἐκτός τε τοῦ πυρὸς ἑκατέρου κοινωνίας ἀλλήλοις· τῷ μὲν γὰρ ἐντὸς καὶ ἐκτὸς ὥσπερ ὁρίῳ χωρίζεσθαί τινα ἀλλήλων δοκεῖ, τῷ δὲ ἔνδον καὶ ἔξω ὥσπερ περιβόλῳ διείργεσθαι.

(630 α).

Ἀθ. «Ἡμεῖς δέ γε ἀγαθῶν ὄντων τούτων ἔτι φαμὲν ἀμείνους εἶναι καὶ πολὺ τοὺς ἐν τῷ μεγίστῳ πολέμῳ γιγνομένους ἀρίστους διαφανῶς».

Καὶ τὸ διαφανῶς ἐν τῷ διαφανῶς ἀρίστους καὶ πορρωτέρω που τῶν νόμων (802 α) διαφανῶς ἀγαθὸς θαυμαστὸν ὅτι μόνον ἐνταῦθα Πλάτωνος εἰρημένον τυγχάνει, τῶν δ' ἄλλων Ἀττικῶν συγγραφέων Θουκυδίδης μόνον ἅπαξ κεχρημένος εὕρηται (2, 65).

(630 α).

Ἀθ. «Ποιητὴν δὲ καὶ ἡμεῖς μάρτυρ' ἔχομεν Θέογνιν, πολίτην τῶν ἐν Σικελίᾳ Μεγαρέων».

Ὅπερ δὲ ὁ τοὺς Νόμους συγγράψας περὶ τὴν Θεόγνιδος σφάλλεται πατρίδα τῶν ἐν Σικελίᾳ Μεγαρέων εἶναι φάσκων, ἐλέγχεται δὲ ταῦτα πάσχων ὑπό τε Ἁρποκρατίωνος καὶ τοῦ Διδύμου, οὐκ ἂν δήπου Πλάτων αὐτὸς ἥμαρτεν· ὁ μὲν γὰρ «Οὗτος ἦν, φησί, Μεγαρεὺς ἀπὸ τῶν πρὸς τῇ Ἀττικῇ Μεγαρέων· αὐτός γάρ φησιν ὁ ποιητής· «ἦλθον μὲν γὰρ ἔγωγε καὶ εἰς Σικελὴν γαῖαν» ᾧ μὴ ἐπιστήσας Πλάτων ἐν α' Νόμων τῶν ἐν Σικελίᾳ Μεγαρέων πολίτην ἔφασκεν, κατηκολούθησαν δὲ τῷ Πλάτωνι οὐκ ὀλίγοι». Δίδυμος δὲ κατὰ τὸν σχολιαστὴν τῶν Νόμων τούτων ἐκ Μεγάρων τῆς Ἀττικῆς φησι γεγενῆσθαι ἐπιφυόμενος τῷ Πλάτωνι ὡς παριστοροῦντι. Οὐδὲν δ' ἐμοὶ δοκεῖ λέγειν ὁ σχολιαστὴς τῷ πλημμελεῖ συνηγορῶν τούτῳ λόγῳ· οὐδὲ γὰρ εἰ ποιητὸς πολίτης ὕστερον τῶν ἐν Σικελίᾳ Μεγάρων ἐγένετο, εἶχε λόγον οὐδένα Πλάτωνα Σικελιώτην αὐτόν, ἀλλὰ μὴ Μεγαρέα εἰπεῖν.

(630 ϐ).

Ἀθ. «Πιστὸς μὲν γὰρ καὶ ὑγιὴς ἐν στάσεσιν οὐκ ἄν ποτε γένοιτο ἄνευ ξυμπάσης ἀρετῆς· διαβάντες δ' εὖ καὶ μαχόμενοι ἐθέλοντες ἀποθνήσκειν ἐν τῷ πολέμῳ, φράζει Τύρταιος, τῶν μισθοφόρων εἰσὶ πάμπολλοι, ὧν οἱ πλεῖστοι γίγνονται θρασεῖς καὶ ἄδικοι».

Φράζει Τύρταιος ἀντὶ τοῦ φησὶ δῆλα δὴ ἢ τοῦ λέγει οὔτ' οὖν Πλάτων εἰρηκὼς τυγχάνει οὔτε τῶν Ἀττικῶν ἄλλος ἂν εἴποι· σαφῶς γὰρ ἐν τῷ φράζειν ἡ τοῦ δεικνύναι ἢ δηλοῖν ἢ σημαίνειν δύναμις κρατεῖ ἀλλοτριωτάτη τοῦ φάναι ἢ λέγειν ὑπάρχουσα, ἐπὰν ταῦτ' ἀπολελυμένα, ὥσπερ ἐνταῦθα, τῷ λόγῳ ἐντεθῆναι ξυμβαίνῃ. Οὐδὲν δ' ἔστι πρὸς τὸν λόγον ἡμῶν τοῦτον ὅτι Οὐιγκελμανὸς ᾧ φράζει Τύρταιος οἴεται τὸ πρῶτον ἐνταῦθα γεγράφθαι. Καίτοι καὶ τοῦτο Σταλλβαῦμος ἀποβάλλει ἐναντίον εἶναι ἡγούμενος ᾧ πᾶς ὁ λόγος οὗτος βούλεται δηλοῦν.

(630 γ).

Ἀθ. «Ἣν δ' αὖ (ἀρετὴν) Τύρταιος ἐπῄνεσε μάλιστα, καλὴ μὲν καὶ κατὰ καιρὸν κεκοσμημένη τῷ ποιητῇ, τετάρτη μέντοι ὅμως ἀριθμῷ τε καὶ δυνάμει τοῦ τιμία εἶναι λέγοιτ' ἂν ὀρθότατα».

Καὶ τὸ μέντοι ὅμως μόνον ἐνταῦθα οὕτως εἰρημένον εὕρομεν ζητοῦντες. Ὅμως μέντοι δὲ δοκίμως τεταγμένον ὑπάρχει κατά τε Ἀριστοφάνη οὕτως ἐν βατράχοις (61) καὶ σφηξὶν (1345) εἰπόντα καὶ κατὰ Πλάτωνος Κρίτωνα (54 δ), εἴπερ Πλάτωνος ὁ Κρίτων ἐστί, Μενέξενον δ' οὐ λέγω (92 ε)· ὁμολογουμένως γὰρ ψευδοπλάτωνός τινος τυγχάνει ὤν. Κατὰ ταὐτὰ δὲ καὶ ὡσαύτως ἔχει καὶ περὶ τὸ ὅμως μὴν εἰ χρὴ Πλάτωνί τε (πολιτ. 297 δ) καὶ Ἀριστοφάνει πείθεσθαι (νεφ. 631).

(330 δ).

Κλ. «ὦ ξένε, τὸν νομοθέτην ἡμῶν ἀποβάλλομεν εἰς τοὺς πόρρω νομοθέτας;».

Τί ἂν ὑπολάβοιμεν τοὺς πόρρω νομοθέτας; οὐδὲν γὰρ εὐξύνετόν ἐστιν, πόρρω δὲ τῆς ὁμολογουμένης Πλάτωνος σαφηνείας. Ἀπορίᾳ δ' οὖν καὶ Σταλλβαῦμος ἐχόμενος τοὺς ἥττους νομοθέτας ἑρμηνεύων ῥᾳδίως ἀπαλλάττεται, τὸ νομοθέτας μόνον ἀπεῖναι βουλόμενος, ἵνα

μὴ δὴ λίαν ἐγγὺς τοῦ ἄρτι εἰρημένου νομοθέτην ὃν ἄχαριν τὸν λόγον ἀπεργάζηται.

(330 δ).

Κλ. «Τὸ δὲ πῶς χρῆν ἡμᾶς λέγειν; Ἀθ. Ὥσπερ τὸ ἀληθές, οἶμαι, καὶ τὸ δίκαιον ὑπέρ γε θείας (πολιτείας) διαλεγομένους λέγειν, οὐχ ὡς πρὸς ἀρετῆς τι μόριον, καὶ ταῦτα τὸ φαυλότατον, ἐτίθει βλέπων (ὁ νομοθέτης), ἀλλὰ πρὸς πᾶσαν ἀρετήν, καὶ κατ' εἴδη ζητεῖν αὐτῶν τοὺς νόμους, οὐ δ' ἅπερ οἱ τῶν νῦν εἴδη προτιθέμενοι ζητοῦσιν».

Ὑπέρ τινος ἴσα τῷ περί τινος δυνάμενον, ὡς τῇδέ που ὑπὲρ θείας διαλεγομένους, Δημοσθένους καὶ τῶν κατ' αὐτὸν ῥητόρων οἰκεία ἐστὶ ῥῆσις, Πλάτων δ' ἐν τοῖς νόμοις (καὶ 776 ε) ταύτῃ κέχρηται μόνον καὶ τοῖς ὑποβολιμαίοις Μενεξένῳ καὶ Ἀπολογίᾳ (238 α 392)· ὃ δὴ καὶ τοὺς νόμους οὐκ ἄλλως ἔχοντας μηνύει.

Ἐν παντὶ δὲ τῷ λόγῳ τούτῳ πολλοῖς μὲν ἀσαφέσι, πολλοῖς δὲ διαστρόφοις ἂν προσπταίσαιμεν διεξιόντες· πρῶτον μὲν γὰρ ζητεῖν ὀρθῶς ἂν εἶχεν ἐζήτει λεγόμενον· ἔπειτα τὸ αὐτῶν πότερα φῶμεν σημαίνειν ἀρετῶν ἢ νόμων; ἀμφοτέρως δὲ θαυμαστὸν καὶ ἄτοπον δοκεῖ εἶναι. Ῥητορικῶς δὲ τὰ ὀνόματα σκολιώτερον ἢ κατὰ Πλάτωνα κεκόσμηται καὶ ᾗ μᾶλλον οἱ Ἀττικισταὶ χαίρουσι τάσσοντες, μαθήσει, ἀλλ' οὐ φύσει ἑπόμενοι, οἷον εἴδη ζητεῖν αὐτῶν, οἱ τῶν νῦν εἴδη προστιθέμενοι.

(631 α)

Ἀθ. «Ἡμεῖς δέ φαμεν εἶναι τὸ περὶ νόμους ζήτημα τῶν εὖ ζητούντων, ὥσπερ νῦν ἡμεῖς ἠρξάμεθα· καὶ σοῦ τὴν μὲν ἐπιχείρησιν τῆς ἐξηγήσεως ἄγαμαι».

Ἀλλὰ μὴν καὶ τὴν ἐξήγησιν οὐκ ἔοικε Πλάτων τὸ παράπαν εἰπεῖν· τί γὰρ ἂν παθὼν μόνος τῶν Ἀττικῶν ὀνόματι ἐχρήσατο, ὃ δὴ Πολυβίου μάλιστα καὶ Διοδώρου φαίνεται ὄν;

(631 γ).

Ἀθ. «Ἤρτηται δ' ἐκ τῶν θείων (ἀγαθῶν) θάτερα (τὰ ἀνθρώπινα), καὶ ἐὰν μὲν δέχηταί τις τὰ μείζονα πόλις κτᾶται καὶ τὰ ἐλάσσονα, εἰ δὲ μή, στέρεται ἀμφοῖν».

Οὐ σμικρὸν δ' ἡμῖν δοκεῖ εἶναι πρὸς ὃ τείνομεν οὐδὲ λόγου ἀνάξιον ὅτι μείζονά τε καὶ ἐλάττονα ἐνταῦθα λέγεται, ἀλλ' οὐ μείζω

καὶ ἐλάττω· τὰ γὰρ βραχύτερα τῶν τοιούτων ὀνομάτων εἴδη φίλα Πλάτωνι καὶ οἰκεῖα εὑρίσκεται ὄντα πλήν που ἐν Τιμαίῳ (75 δ), ἐπιτηδειοτέρων τῷ μεγαλείῳ ἐκεῖ λόγῳ τῶν μακροτέρων οὐσῶν μορφῶν.

(631 γ)

Ἀθ. «Ὃ δὲ πρῶτον αὖ τῶν θείων ἡγεμονοῦν ἐστιν ἀγαθῶν, ἡ φρόνησις».

Τὸ ἡγεμονοῦν μόνον ἐνταῦθ' ἂν λάβοιμεν θηρῶντες καὶ δίς που ἐν τῷ μεγαλείῳ διαλόγῳ Τιμαίῳ (41 καὶ 70), οἰκειότατον ἐκεῖ τῇ φύσει κείμενον τοῦ λόγου, ἡγεμονεῦον δ' ἄλλως Πλάτων πανταχοῦ εὑρίσκεται λέγων. Οὐκ ἂν οὖν θαυμάζοιμι εἰ μιμήσεως ἔργον εἴη ἡ τοῦ ἡγεμονοῦν ἐνταῦθα χρῆσις.

(631 δ).

Ἀθ. «Μετὰ δὲ ταῦτα τὰς ἄλλας προστάξεις τοῖς πολίταις εἰς ταῦτα βλεπούσας αὐτοῖς εἶναι δικελευστέον».

Τὴν πρόσταξιν τί παθὼν Πλάτων μόνον ἐν νόμοις εἰπεῖν ἐβουλήθη, τῷ προστάγματι ἀείποτε χρώμενος καὶ οὕτω τὸ πρᾶγμα φράζειν φιλῶν; Οὔκουν ἔοικε Πλάτων εἶναι ὁ περὶ τοὺς νόμους τούτους τὴν διατριβὴν ποιησάμενος.

(631 δ).

«Μετά τε ταῦτα ἐν ταῖς τῶν παίδων γεννήσεσι καὶ τροφαῖς, ὅσοι τε ἄρρενες καὶ ὅσαι θήλειαι, νέων τε καὶ ἐπὶ τὸ πρεσβύτερον ἰόντων μέχρι γήρως τιμῶντα ὀρθῶς ἐπιμελεῖσθαι δεῖ καὶ ἀτιμάζοντα».

Μόλις ἄν τις Σταλλβαύμῳ πεισθείη τὸ τῇδέ που νέων τε καὶ ἐπὶ τὸ πρεσβύτερον ἰόντων γενικὴν τοῦ ποιοῦντος τῆς γεννήσεως τε καὶ τροφῆς ἔχεσθαι νομίζοντι· οὐ γὰρ ἂν δήπου Πλάτων ἀσάφειαν καὶ σκότον τοιοῦτον ἐν λόγοις ἂν ὦφλεν. Οὐδ' ἂν εἴη δῆτα Πλάτωνος τὸ οὕτως ἄχαρι καὶ ἀηδὲς τοῦ λόγου τὸ ἐκ τοῦ μετὰ δὲ ταῦτα καὶ μετὰ δὲ ταῦτα καὶ μετά τε ταῦτα, ἐγγύτατα καὶ παρ' ἄλληλα λεγομένων, γιγνόμενον.

Τὸ δὲ ἐπιμελεῖσθαι οὕτω λεγόμενον καθ' ἑαυτὸ καὶ ἐρῆμον οἷς ἂν ἀναφέροιτο ἄηθες παντάπασίν ἐστι καὶ καινόν. Ἐν Νόμοις δὲ μόνον οὕτως ἔχον, μετοχῇ που παρακείμενον, εὕρηται (932 β), οἱ δ' ἐπιμελείσθων κολάζοντες τοὺς ἀδικοῦντας.

(631 ε).

«Ἐν ὀργαῖς τε αὖ καὶ ἐν φόβοις, ὅσαι τε διὰ δυστυχίαν ταραχαὶ ταῖς ψυχαῖς γίγνονται καὶ ὅσαι ἐν εὐτυχίαις τῶν τοιούτων ἀποφυγαί, ... ἐν πᾶσι τοῖς τοιούτοις τῆς ἑκάστων διαθέσεως διδακτέον καὶ ὁριστέον τό τε καλὸν καὶ μή».

Ἡ ῥῆσις ὅσαι τε ταραχαὶ καὶ ὅσαι ἀποφυγαὶ καὶ ἡ σμικρὸν πρόσθεν λεχθεῖσα ὅσαι τε ἄρρενες καὶ ὅσαι θήλειαι οὐ πάνυ τι οἰκεία Πλάτωνος ἐλεγχομένη, θαυμαστὸν ὅτι οὕτω θαμὰ ἐν νόμοις ἐν χρείᾳ οὖσα τυγχάνει.

(632 β).

«Μετὰ δὲ ταῦτα ἀνάγκη τὸν νομοθέτην . . . τοῖς μὲν εὐπειθέσι τῶν νόμων τιμὰς ἀπονέμειν, τοῖς δὲ δυσπειθέσι δίκας τακτὰς ἐπιτιθέναι».

Τῷ εὐπειθεῖ τῶν νόμων ὅμοιόν τι ἢ παραπλήσιον οὐδαμοῦ τοῦ Ἀττικοῦ λόγου παντὸς ζητῶν ἂν εὕροις· Ἡρόδοτος μὲν γὰρ ἀρχαϊκώτερον ἔχων τε καὶ φθεγγόμενος εἶπε πολλάκις πείθεσθαί τινος (1, 128. 5, 29. 32. 6, 12). Τὸ δὲ Θουκυδίδειον πάντα σφῶν πείθεσθαι (7, 73) ἄλλως ἂν ἔχοι ὀρθῶς σκοποῦντι καὶ λογιζομένῳ· τὸ γὰρ σφῶν δῆλον ὅτι γενική τίς ἐστιν ἡ τοῦ κεκτημένου λεγομένη, οἷα ἡ ἐν τοῖς ἀκούειν τινός τι ἢ γιγνώσκειν τινός τι καὶ τοῖς τοιούτοις, ἃ οὐδεὶς ὅστις οὐκ οἶδε πάγκοινα ὄντα. Εἰ δέ τις τὸ παρὰ Ξενοφῶντι τῆς Κύρου που Παιδείας (4, 5, 19) ἀπειθεῖν καλοῦντος ἐνθυμούμενος ἐπικουρεῖν τῷ λόγῳ βούλοιτο, ὡς οὐδὲν καινόν, οὐδ᾽ ἄτοπον τὸ εὐπειθὴς τῶν νόμων εἴη, γνώτω ὅτι Κυνήρου μόνου, τοῦ ἄγαν περὶ ταῦτα εὐκόλου, συμμάχου ἂν τύχοι, γενικὴν ἀπόλυτον ταύτην εἶναι τῶν ἄλλων ἁπάντων ἡγουμένων. Ἡ δὲ δὴ Στεφάνου δόξα, ὡς ἂν τῷ νόμῳ ἀντὶ τῶν νόμων ἐνταῦθα κέοιτο, οὐ πολύ τι ἐπὶ σκοπὸν βάλλουσα ἐλέγχεται· πᾶς γὰρ αἰσθάνεται ὡς οὐ περὶ νόμου τινὸς ἐν τοῖς πρόσθεν εἰρημένου ὁ γ᾽ ἐνταῦθα λόγος ἐστίν, ἀλλ᾽ ἁπλῶς περὶ τῶν νόμων.

(632 δ).

Ἀθ. «Οὕτως, ὦ ξένοι, ἔγωγε ἤθελον ἂν ὑμᾶς καὶ ἔτι νῦν βούλομαι διεξελθεῖν πῶς ἐν τοῖς τοῦ Διὸς λεγομένοις νόμοις. . . . ἔνεστί τε πάντα ταῦτα, καὶ ὅπῃ τάξιν τινὰ εἰλη-

φότα διάδηλά ἐστι τῷ περὶ νόμων ἐμπείρῳ τέχνῃ εἴτε καί τισιν ἔθεσι, τοῖς δὲ ἄλλοις ἡμῖν οὐδαμῶς ἐστι καταφανῆ».

Ἔμπειρον περί τινος, ὥσπερ ὧδε περὶ νόμων, οὐδεὶς τῶν Ἀττικῶν ποιητῶν ἢ συγγραφέων, ὥς γ' ἔμ' εἰδέναι, εἰρηκὼς τυγχάνει. ἀλλ ἀείποτε ἔμπειρός τινος ἢ ἔμπειρος περί τι εὕρηται λεγόμενον, οἷον ἐν Πλάτωνος Τιμαίῳ τε (29 α) καὶ Πολιτείᾳ (582 α, 651 δ) καὶ Πολιτικῷ (29 γ) καὶ ἐν Ξενοφῶντος Ἑλληνικοῖς τε (1,6,5) καὶ Κυνηγετικῷ (16, 8) καὶ τῆς Θουκυδίδου συγγραφῆς πολλαχοῦ (1, 80. 6, 34). Ἔμπειρον δὲ περὶ λόγων μόνον ὁ περὶ Ἀντεραστὰς τοὺς Πλάτωνος λεγομένους τὴν πραγματείαν ποιησάμενος εἶπέ που (133 δ) ἀδόκιμος ἀδόκιμα ἢ ἀήθη φθεγγόμενος. Οὐδὲν δ' αὖ οὐδαμῶς ἂν ἀνύτοι, ἥν τις τῷ περὶ τῶν νόμων ἐμπείρῳ τούτῳ συνηγορῶν τὸ ἐν Τιμάρχῳ που τοῦ Αἰσχύνου ἡμᾶς ὑπομιμνήσκῃ, (83) «περὶ τῆς ἐρημίας ταύτης καὶ τοῦ τόπου τοῦ ἐν τῇ Πυκνὶ μὴ θαυμάσητε, ὦ Ἀθηναῖοι, εἰ Τίμαρχος ἐμπειροτέρως ἔχει τῆς βουλῆς τῆς ἐξ Ἀρείου Πάγου»· διττὸν γὰρ ἂν ἔχοι τὸν λόγον τὸ περὶ τῆς ἐρημίας ἐμπειροτέρως ἔχειν οὕτω λεγόμενον· ἢ γὰρ πολὺ πόρρω τοῦ ἐμπειροτέρως ἔχειν τὸ περὶ τῆς ἐρημίας προταχθὲν ἕλξιν τιν' εὔλογον ὑπὸ τοῦ θαυμάσητε ἔτυχε παθὸν κατὰ τὸ πρόληψιν σχῆμα καλούμενον, ἢ τοῦ σαφοῦς χάριν, ὅπως μὴ δὴ τὸ ἐρημίας ὁ τῆς παραβολῆς ὅρος δεύτερος τοῦ ἐμπειροτέρως εἶναι δοκοῖ, ἐλέχθη περὶ τῆς ἐρημίας. Ἀλλὰ μὴν καὶ εἰ μή τις οὕτως ἔχειν ἐθέλοι πείθεσθαι, οὐδὲν ἂν δήπου ἀντειπεῖν ἔχοι ὅτι τὸ ἐμπείρως ἔχειν οὐ τἄυτ' ἀκριβῶς εἰπεῖν τῷ ἔμπειρον εἶναι δυνάμενον τῷ ἐπίστασθαι μᾶλλον πλησιάζειν ἔοικε, καὶ εἰκότως ἂν ὥσπερ ἐπίστασθαι οὕτω καὶ ἐμπείρως ἔχειν περί τινος ἂν λέγοιτο.

(632 δ).

Ὁ δὲ πρὸς ταῦτ' ἀπορῶν Κλεινίας τὸν Ἀθηναῖον ἐρωτᾷ «πῶς οὖν, ὦ ξένε, λέγειν χρὴ τὰ μετὰ ταῦτα;» ἀργὸν εἶναι δοκεῖ καὶ μάταιον ἀνδρὶ λογιζομένῳ ἢ καὶ σμικρὰ διαλόγοις Πλάτωνος συγγενομένῳ καὶ κοινωνήσαντι· τοῦ γὰρ πρόσθεν λόγου πέρας τι λαβόντος καὶ οὐδὲν ἐνδεὲς ἀπολιπόντος, ὃ ἂν ὀρθῶς διαλεγόμενος ἀποπληροῖ τε Κλεινίας καὶ εἰς τὸ πρόσω ἰέναι τὸν διάλογον συμβάλλοιτο, οὐδὲν δέον οὐδὲ κατὰ λόγον τὸν προσήκοντα οἷον γίγγλυμός τις μόνον ἢ ἄκαι-

ρον προοίμιον τοῦ ἐχομένου τούτοις λόγου ταῦθ' οὕτως ἐρωτηθέντα φαίνεται.

(633 a).

'Αθ. «Τὰ ξυσσίτιά φαμεν καὶ τὰ γυμνάσια πρὸς τὸν πόλεμον ἐξευρῆσθαι τῷ νομοθέτῃ; Μεγ. Ναί. 'Αθ. Καὶ τρίτον καὶ τέταρτον; Ἴσως γὰρ ἂν οὕτω χρείη διαριθμήσασθαι καὶ περὶ τῶν τῆς ἄλλης ἀρετῆς εἴτε μερῶν εἴτε ἅττ' αὐτὰ καλεῖν χρεὼν ἐστι δηλοῦντα μόνον ἃ λέγει».

Μὴ ἀτιμάσωμεν εἰπεῖν, εἴ τῳ καὶ σμικρὸν δοκεῖ εἶναι καὶ φαῦλον, ὅτι καὶ διαριθμεῖσθαι περί τινος, οἷον περὶ τῶν τῆς ἀρετῆς μερῶν, μόνος ὁ τὸν διάλογον τοῦτον Πλάτωνι ὑποβαλὼν ἁλίσκεται εἰπὼν, τῶν δ' 'Αττικῶν οὐδενὶ τῇ ῥήσει κεχρημένῳ ἐνετύχομεν, ἧ πού γε δὴ Πλάτωνι· πάντες δὲ διαριθμεῖσθαί τι λέγειν εἰώθασι.

(633 a).

Διεξιὼν δ' ἐνταῦθά που τὰ τῆς ἀνδρείας ἐπιτηδεύματα καὶ μελετήματα πρῶτον μὲν παράδειγμα τὸν τρόπον τῆς τούτων διεξόδου φησὶ κείσεσθαι πρὸς τὸν περὶ τῶν ἄλλων ἀρετῶν λόγον, φρονήσεώς τε καὶ σωφροσύνης καὶ δικαιοσύνης. Εἶτα δὲ τὰ ἐν Σπάρτῃ τοιαῦτ' ἀριθμῶν ἐπιτηδεύματα, συσσίτιά τε καὶ γυμνάσια καὶ ἕτερα τρίτα καὶ τέταρτα λέγων, τάδε τελευτῶν ἐπιλέγει, «Ἴσως γὰρ ἂν οὕτω χρείη διαριθμήσασθαι καὶ περὶ τῶν τῆς ἄλλης ἀρετῆς εἴτε μερῶν εἴτε ἅττ' αὐτὰ καλεῖν χρεὼν ἐστι δηλοῦντα μόνον ἃ λέγει». Πᾶς δ' ἂν νομίσειε, ταῦθ' οὕτως εἰρημένα ἀκούσας, οὐ πολὺ πόρρω προϊόντα τὸν συγγράψαντα, τὸν περὶ ἀνδρείας λόγον περάναντα, καὶ περὶ τῶν ἄλλων ἤδη ἀρετῶν κατὰ ταὐτὰ καὶ ὡσαύτως τὴν πραγματείαν ποιήσεσθαι, τὰ διαρρήδην αὐτῷ ἐπηγγελμένα τελοῦντα. 'Αλλ' οὐ μόνον ἐν τῷ βιβλίῳ τούτῳ καὶ τοῖς ἐχομένοις οὐδένα περὶ τούτου ζητῶν ἂν εὕροις λόγον, ἀλλ' οὐδαμοῦ τῶν νόμων πάντων ὅμοια ἢ παραπλήσια περὶ τῶν ἄλλων τῆς ἀρετῆς εἰδῶν ἡμῖν γε μετιοῦσι προσέπεσε λεγόμενα. Τὸ δέ που προϊόντι (635 e) λεγόμενον, «Εἰ τὸ μετὰ ταῦτα

διεξίοιμεν ὧν προυθέμεθα, ὦ Κλεινία τε καὶ Λακεδαιμόνιε ξένε, (μετ' ἀνδρείαν γὰρ δὴ σωφροσύνης πέρι λέγωμεν) τί διαφέρον ἐν ταύταις ταῖς πολιτείαις ἢ ταῖς τῶν εἰκῇ πολιτευομένων εὑρήσομεν; » τοῦτο τῷ λόγῳ προστεθῆναι δοκεῖ, ἵνα μηδὲν περὶ σωφροσύνης ἴδιον λεχθῇ, ἀλλά, Μεγίλλου ἀποκρινομένου, πάντα τὰ περὶ ταύτης ἐν τοῖς πρόσθεν περὶ ἀνδρείας εἰρῆσθαι φανῇ· λέγει γὰρ οὗτος «σχεδὸν οὐ ῥᾴδιον· ἀλλ' ἔοικε γὰρ τά τε συσσίτια καὶ τὰ γυμνάσια καλῶς ηὑρῆσθαι πρὸς ἀμφοτέρας». Οἷς δὲ Βοΐκχός τε τῇ ἀταξίᾳ τούτων συνηγορῶν φησι καὶ Ζελλῆρός τε Σουσεμίλης κάλλιστά μοι δοκεῖ Βροῦγκος ἀντειπεῖν (1). Τοιούτου δὲ περὶ τὴν πραγματείαν συγγραφικοῦ κακοῦ οὐκ ἂν οὖν ἔγωγε Πλάτωνα αἰτιασαίμην, ἀλλ' ἕτερον.

(633 α).

Ἡ δὲ τοῦ χρεὼν εἶναι χρῆσις οὕτως ἄμετρος πλήθει ἐν Νόμοις ἐστὶν (καὶ 661 ε, 688 α, 698 α, 779 α, 809 α, 861 γ, 872 ε, 928 δ καὶ ἄλλοθι), τρὶς ἢ τετράκις αὐτ' ἄλλοθι Πλάτωνος εἰπόντος, ἐν Τιμαίῳ τε (55 δ, 21 α) καὶ ἐν Σοφιστῇ (223 γ) καὶ ἐν Κριτίᾳ (107 β), ὥστε οὐκ ἂν ἀπεικότως τεκμαιροίμεθα μιμήσεως πάθος τοῦτο τὸν τοὺς Νόμους συγγράψαντα παθεῖν· περὶ γάρ τοι τοὺς μιμουμένους συμβαίνει δήπου τοῦτο γίγνεσθαι, περὶ ταὐτὰ ὀνόματα ἢ ῥήσεις ἄγαν τευτάζειν.

(633 β).

Μεγ. «Ἔτι τοίνυν καὶ τὸ τέταρτον ἔγωγε πειρῴμην ἂν λέγειν, τὸ περὶ τὰς καρτερήσεις τῶν ἀλγηδόνων . . . ἔτι δὲ καὶ κρυπτεία τις ὀνομάζεται θαυμαστῶς πολύπονος πρὸς τὰς καρτερήσεις . . . Ἔτι δὲ κἂν ταῖς γυμνοπαιδίαις δειναὶ καρτερήσεις γίγνονται παρ' ἡμῖν».

Ἀλλὰ μὴν καὶ τὸ πολλαχῇ ἀπειρόκαλον τῆς περὶ τὸν λόγον αὐτὸν πραγματείας τοῦ τῶν Νόμων ἡμῖν συγγραφέως ἥκιστα Πλάτωνα αὐτὸν ὄντα μηνύει· πῶς γὰρ ἂν Πλάτων ἐνταῦθά που ἀνάσχοιτο λέγων

(1) Plato's Gesetze S. 142-144.

ἔτι τοίνυν καὶ τὸ τέταρτον ἔγωγε πειρῴμην ἂν λέγειν καὶ τὰ τούτων ἐχόμενα· ἔτι δὲ κρυπτεία τις ὀνομάζεται καὶ εὐθὺς μετὰ ταῦτα ἔτι δὲ κἂν ταῖς γυμνοπαιδίαις δειναὶ καρτερήσεις παρ' ἡμῖν γίγνονται; Πάντες δὲ ἴσμεν ὅσα Πλάτων μηχανᾶσθαι φιλεῖ ὅπως ἂν τὸν λόγον ποικίλον καὶ χαρίεντα καὶ κομψὸν ἀπεργάζηται.

(633 [6]).

Τὸ δ' ὄνομα κρυπτείαν τῶν Ἀττικῶν μόνος ὁ συγγραφεὺς ἡμῖν οὗτος φαίνεται εἰπὼν ἐνταῦθά τε καί που προϊὼν (760), τῶν ὑστέρων οἰκεῖον εἶναι δοκοῦν· θαμὰ γοῦν Πλούταρχος ἔοικε κεχρῆσθαι· ἴδοις γὰρ ἂν αὐτὸ ἐν Λυκούργου τε (28) καὶ Κλεομένους βίῳ (28). Τοῦ δ' ἔργου αὐτοῦ τούτου ἢ καὶ τοιούτου τινὸς Θουκυδίδης τέ που (4, 80) καὶ Ἰσοκράτης ἐν Παναθηναϊκῷ (181) μνησθέντες, οὐδὲν αὐτὸ ὄνομα ὠνόμασαν.

(633 [6]).

Οὐδὲν δ' οἶμαι περὶ σμικρὰ σπουδάζοντος εἶναι καὶ τόδε τῶν Νόμων τούτων κατειπεῖν καὶ οὐκ ἀνέλεγκτον ἐᾶσαι· ὁ γὰρ πολύπονος τοῦ ποιητικοῦ λόγου ὄνομα τυγχάνει ὤν, πολλάκις τραγῳδοποιοῖς καὶ Πινδάρῳ εἰρημένον, Αἰσχύλῳ μὲν ἐν Ἱκέτεσι καὶ Πέρσαις, Σοφοκλεῖ δὲ ἐν Φιλοκτήτῃ καὶ Ἠλέκτρᾳ, Εὐριπίδῃ δ' ἐν Φοινίσσαις καὶ ἄλλοθι, τοῦ δὲ καταλογάδην παντὸς Ἀττικοῦ λόγου κύριον ἀντὶ τούτου ὂν ὁ ἐπίπονος ὄνομα εὑρίσκεται ἢ ἐπιπονώτατος· χαίρει γοῦν Θουκυδίδης τε πολλὰ χρώμενος (1, 70. 2, 39. 8, 11) καὶ Ξενοφῶν καὶ Πλάτων (ἐν Ἀναβάσει 1, 3, 19, ἐν Κύρου Παιδείᾳ 8, 1, 29. 2, 31. Ἐν Πολιτείᾳ 329 [δ], ἐν Φαίδρῳ 229 [δ]). Πολύπονον δὲ τῶν Ἀττικιζόντων συγγραφέων Πλούταρχος ἐν Τιμολέοντί που εἶπε (35). Καὶ τῇ πολυπονίᾳ δ' ἐν Ἀντερασταῖς ἂν Πλάτωνος ἐντύχοις, οἷς γε οὐδὲν προσήκειν Πλάτωνος πρὸς πάντων δὴ ὁμολογεῖται. Καὶ μὴν καὶ πρὸς τὰς καρτερήσεις τὸ πολύπονος ἀτόπως ἔχει λεγόμενον· τίνα γὰρ ἂν τρόπον ὁ πολύπονος τὸν πολὺ

ἀσκητικὸν σημαίνοι, ἵνα πρὸς τὸ καρτερήσεις ἐμμελῶς φθέγγοιτο; Ἐγὼ μὲν οὐκ οἶδα, οὐδέ γε Πλάτων μὰ Δία.

(633 γ).

«Χειμώνων τε ἀνυποδησίαι καὶ ἀστρωσίαι καὶ ἄνευ θεραπόντων αὐτοῖς ἑαυτῶν διακονήσεις, νύκτωρ τε πλανωμένων διὰ πάσης τῆς χώρας καὶ μεθ' ἡμέραν».

Τὴν διακόνησιν οὐ μόνον Πλάτων, ἀλλὰ καὶ ἅπας ὁ Ἑλληνικὸς πλὴν τῶν Νόμων λόγος οὐκ εἰδὼς φαίνεται· διακονίᾳ δὲ δοκίμῳ ὀνόματι πολλαχοῦ τούτου μεταθέοντες ἂν περιτύχοιμεν, οἷον ἐν Πλάτωνος Πολιτείᾳ (371 γ, 439 δ) καὶ Αἰσχίνου ἐν τῷ κατὰ Κτησιφῶντος (55, 33) καὶ Δημοσθένους ἐν τῷ περὶ Στεφάνου (296) καὶ τῆς Θουκυδίδου συγγραφῆς ἐν τῷ πρώτῳ (133) καὶ Ξενοφῶντος ἐν τῷ Οἰκονομικῷ (7, 41).

(635 γ).

«Ἔτι δὲ καὶ κρυπτεία τις ὀνομάζεται θαυμαστῶς πολύπονος πρὸς τὰς καρτερήσεις χειμώνων τε ἀνυποδησίαι καὶ ἀστρωσίαι».

Τί ἄν τις τὴν ῥῆσιν χειμώνων ἀνυποδησίαι καὶ ἀστρωσίαι διανοηθείη; Μῶν κατὰ τρόπον ἔχειν τὸν προσήκοντα, ὥσπερ Σταλλβαύμῳ δοκεῖ τὸ χειμώνων ἀντὶ τοῦ ἐν χειμῶνι λέγεσθαι νομίζοντι; Ἀλλ' ἐὰν τὰς μετ' ὀνομάτων τοιαύτας γενικὰς ἐπισκεψώμεθα, οὐδεμίαν ὁμοίως ταύτῃ ἔχουσαν εὑρήσομεν, χρόνον σημαίνουσαν· τὸ μὲν γὰρ ἐν τῷ Πλάτωνος Συμποσίῳ (229 α) τὰς τῶν χειμώνων καρτερήσεις λέγεται δήπου, ὥσπερ ἂν καὶ καρτερεῖν χειμῶνα λέγοιτο. Ἀηθέστερον δὲ καὶ τολμηρότερον γενικὴ τοιαύτη ὀνόμασι συνημμένη μάλιστα εὑρίσκεται παρὰ δραματικοῖς τε καὶ Θουκυδίδῃ καὶ τοῖς μιμησαμένοις αὐτὸν ῥήτορσιν, ἧττων δὲ παρὰ Πλάτωνι· εὕρηται μὲν γὰρ ἐν τῇ Θουκυδίδου συγγραφῇ Ἰταλίας καὶ Σικελίας παράπλους τὸν εἰς Ἰταλίαν καὶ Σικελίαν παράπλουν λέγειν βουλόμενον (1, 36),

εὕρηται δὲ τῇ τῶν Πλαταιῶν ἐπιστρατείᾳ τὸ Πλαταιαῖς ἐπιστρατεῦσαι δηλοῦν (2,79) καὶ μετὰ τὴν τῆς Αἰτωλίας συμφορὰν ἀντὶ τοῦ μετὰ τὴν ἐν Αἰτωλίᾳ συμφορὰν εἰρημένον (3, 114) καὶ Σοφοκλέους ἐν Οἰδίποδι ἐπὶ Κολωνῷ (45) οὐχ ἕδρας γῆς τῆσδ' ἂν ἐξέλθοιμι, ὅπερ μᾶλλον ἂν τῆς ἐν τῇδε γῇ ἕδρας λέγοιτο, καὶ ἀγγελία τῆς Χίου παρὰ Θουκυδίδῃ (8, 15) ἴσα τῷ περὶ Χίου δυνάμενον, καὶ μῦθος φίλων παρὰ Σοφοκλεῖ ('Αντ. 11), ὥσπερ ἂν εἰ μῦθος περὶ φίλων λέγοιτο, καὶ τὸ Μεγαρέων ψήφισμα παρὰ Θουκυδίδῃ (1,149) καὶ τὰ 'Αμφισσέων δόγματα παρὰ Δημοσθένει (18,14) καὶ τῶν μὴ γενομένων πίστιν παρ' Ἰσαίῳ (8,19) καὶ τοὺς τοῦ πράγματος λόγους παρ' Αἰσχίνῃ (3, 206). Πλάτωνος δ' ἥκιστα οἰκεῖα τὰ τοιαῦτα εἶναι δοκεῖ, ὥστε μάλιστ' εἰκότ' ἂν λέγοιμεν μιμητοῦ τινος τοῦ 'Αττικοῦ λόγου καὶ τόδε φάσκοντες εἶναι πρὸς οἷς ἄλλοις τοιούτοις πολλοῖς ἐπεδείξαμεν. Οὐ παρὰ λόγον δὲ Ζελλῆρος μὲν ἀτοπίαν ἐπικαλεῖ τῇ ῥήσει (περὶ Πλατ. 93), ἀσθενῆ ἢ ἀδόκιμα Σταλλβαύμου ἀντιλέγοντος, πλημμέλειαν δ' Ἄστος ἀπογραφικήν, ἣν ἐπανορθούμενος διὰ χειμώνων ἀντὶ χειμώνων γραφῆναι κελεύει οὐκ ἀναγκαῖα οὐδὲ πιθανὰ ἔμοιγε κελεύων.

(633 γ).

«Ἔτι δὲ κἂν ταῖς γυμνοπαιδίαις δειναὶ καρτερήσεις παρ' ἡμῖν γίγνονται».

Τὴν γυμνοπαιδίαν τοὔνομα μόνον ὁ περὶ τοὺς Νόμους τὴν σπουδὴν ποιησάμενος ἐνταῦθα εἰπὼν ἔτυχεν, οὐδαμοῦ δὲ Πλάτων μνησθεὶς αὐτῆς δῆλός ἐστι.

(633 γ).

«Δειναὶ καρτερήσεις παρ' ἡμῖν (τοῖς Λακεδαιμονίοις) γίγνονται τῇ τοῦ πνίγους ῥώμῃ διαμαχομένων».

Τὸ ῥώμῃ πνίγους τολμηρότερον καὶ οὐ κατὰ Πλάτωνα δοκεῖ μετενηνέχθαι. Τοιαῦτα δ' ἔοικεν εἶναι καὶ τὰ τῶν Νόμων μόνον οἰκεῖα,

τραγικώτερα δ' ὅμως ἀπιστίας τε ῥώμη (839 δ) καὶ ῥώμη ἡδονῶν (841 α), καθ' ἅπερ γε καὶ ῥώμη δορὸς καὶ πνευμάτων ῥώμη Εὐριπίδῃ που εἰρῆσθαι συνέβη (Ἱκετ. 26. Ἡρακλ. 22). Οὔκουν ἀπεικότως ἀδόκιμον εἶναι τὴν ῥῆσιν Ζελλῆρος τοπάζει, ἄπιστα Σταλλβαύμου γνώμην ἐμὴν ἀντιλέγοντος, τὸν Λακωνικὸν Μεγίλλου λόγον περὶ τούτου αἰτιωμένου.

(633 δ).

Ἀθ. «Τὴν ἀνδρείαν δὲ φέρε τί θῶμεν; πότερον ἁπλῶς οὕτως εἶναι πρὸς φόβους καὶ λύπας διαμάχην μόνον ἢ πρὸς πόθους τε καὶ ἡδονὰς καὶ τινας δεινὰς θωπείας κολακικάς;»

Καὶ διαμάχῃ δ' ὀνόματι ἄνδρες Ἀττικίζοντες μόνον χρησάμενοι φαίνονται, Πλούταρχός τε (Ἠθικ. 74) καὶ Ἰώσηπος (Β. j 6, 2, 8) καὶ ἄλλοι, οἷς ἂν καὶ τὸν συγγραφέα τῶν Νόμων προσθεῖμεν, ἐνταῦθά τε καί που προϊόντι (814 α) διαμάχην εἴποντα.

(634 α).

Ἀθ. «Ὁ Διὸς οὖν δὴ καὶ ὁ Πυθικὸς νομοθέτης οὐ δήπου χωλὴν τὴν ἀνδρείαν νενομοθετήκατον, πρὸς τὰ ἀριστερὰ μόνον δυναμένην ἀντιβαίνειν πρὸς τὰ δεξιὰ δὲ καὶ κομψὰ καὶ θωπευτικὰ ἀδυνατοῦσαν».

Τῷ ἀντιβαίνειν πρός τινα μόνον ἐνταῦθα Πλάτωνος ἂν περιτύχοις, εἰ δὴ Πλάτωνός εἰσιν οἱ Νόμοι, παρ' Ἀττικίζουσι δ' ἀνδράσι πολλάκις, οἷον παρὰ Πλουτάρχῳ (Λυκ. 5) καὶ Πολυβίῳ (2, 50, 12. 28, 5, 8). Ἀντιβαίνειν δέ τινι ἢ ἁπλῶς ἀντιβαίνειν Ἀττικοὶ μὲν ποιηταὶ θαμὰ λέγοντες εὑρίσκονται, Εὐριπίδης μὲν ἐν Βάκχαις (1126) καὶ ἐν τῇ ἐν Ταύροις Ἰφιγενείᾳ (1016), Ἀριστοφάνης δ' ἐν Βατράχοις (202), Αἰσχύλος δ' ἐν Προμηθεῖ (234), Σοφοκλῆς δ' ἐν Ἠλέκτρᾳ (575). Πλάτων δ' ἀντὶ τούτου μυριάκις μὲν ἐναντιοῦσθαι εἶπεν, πολλάκις δ' ἀντιτάττεσθαι, ὧν οὐκ ἂν δήπου ἀπείχετο εἴπερ οὗτος ἦν ὁ περὶ τοὺς Νόμους τὴν διατριβὴν ποιησάμενος.

(634 α).

«Οὐ δήπου χωλὴν τὴν ἀνδρείαν νενομοθετήκατον πρὸς τὰ ἀριστερὰ μόνον δυναμένην ἀντιβαίνειν, πρὸς τὰ δεξιὰ καὶ κομψὰ καὶ θωπευτικὰ ἀδυνατοῦσαν, ἢ πρὸς ἀμφότερα;»

Ἐνταῦθα ἀριστερὰ καὶ δεξιὰ αἱ λῦπαι καὶ αἱ ἡδοναὶ λέγονται· ἄηθες δ' ἐστι καὶ καινὸν παρὰ Πλάτωνι δύο τἀναντία ἀριστερὰ καὶ δεξιὰ καλεῖσθαι ἀντὶ τοῦ θάτερα, οἰκειοτάτου αὐτῷ ὄντος, οἷον ἐν τῷ Συμποσίῳ (186 δ) ἀντὶ τοῦ ἑτέρου ἔρωτος τὸν ἕτερον κτήσασθαι καὶ αὐτόθι (180 ε) ἀναγκαῖον καὶ ἔρωτα τὸν μὴ τῇ ἑτέρᾳ (Ἀφροδίτῃ) συνεργὸν πάνδημον καλεῖσθαι, καὶ ἐν τῇ Πολιτείᾳ (555 δ) ἀνάγκη ἢ τοῦ ἑτέρου ἀμελεῖν ἢ τοῦ ἑτέρου, καὶ ἐν τῷ Σοφιστῇ (226 α) οὐ τῇ ἑτέρᾳ (χειρὶ) ληπτέον, καὶ ἐν τῷ Πολιτικῷ (264) τὸ μὲν ἕτερον ὑγροτροφικὸν ὀνομάζοντες, τὸ δὲ ἕτερον ξηροτροφικόν, ἔτι δὲ ἐν Πρωτ. (329 δ) καὶ ἐν Γοργ. (475 α) καὶ ἐν Φαίδ. (68 γ) καὶ ἐν Πολ. (379 δ). Μᾶλλον δ' ἂν οὕτος εἶπε πρὸς θάτερα μόνον δυναμένην ἀντιβαίνειν, πρὸς θάτερα τὰ κομψὰ καὶ θωπευτικὰ ἀδυνατοῦσαν ἢ πρὸς ἀμφότερα;

(634 γ).

«Ἂν ἄρα τις ἡμῶν περὶ τῶν ἑκάστων οἴκοι νόμων ψέξῃ τι βουλόμενος ἰδεῖν τό τε ἀληθὲς ἅμα καὶ τὸ βέλτιστον, μὴ χαλεπῶς, ἀλλὰ πράως ἀποδεχώμεθα ἀλλήλων».

Τὸ ἑκάστων περὶ τριῶν καθ' ἕνα λαμβανομένων λεγόμενον, τοῦ Ἀθηναίου τε καὶ τοῦ Κλεινίου καὶ τοῦ Μεγίλλου, οὐ κατὰ χρῆσιν τὴν εἰωθεῖσαν κεῖσθαι ἡμῖν γε δοκεῖ ἀντὶ τοῦ ἑκάστου τιθέμενον, παρὰ δέ που τὴν ὁμολογουμένην τοῦ Πλατωνείου λόγου ἀκρίβειαν, οἷα ἡμῖν ἐν τοῖσδε μάλιστα πάρεστιν, ἐν τῷ τοῦ Πολιτικοῦ (271 δ) «τὰ ζῷα κατὰ γένη καὶ ἀγέλας οἷον νομεῖς θεῖοι διειλήφασι δαίμονες, αὐτάρκεις εἰς πάντα ἕκαστος ἑκάστοις ὤν», ἔνθα ἕκαστος μὲν λέγεται δαίμων, γένη δὲ ἕκαστα, καὶ ἐν τῷ αὐτόθι που

(23 γ) «ἂν σῴζωσιν οἱ θεραπεύοντες ἕκαστοι τὰ θεραπευόμενα, ταύτῃ θήσομεν τοῦτον ὀρθὸν ὅρον εἶναι μόνον ἰατρικῆς καὶ ἄλλης ἡστινοσοῦν ἀρχῆς»· τὸ γὰρ ἕκαστοι εἰς γένη ἀρχόντων ἢ ἐπιστατῶν θεραπευόντων βλέπει δῆλον ὅτι. Οὐκ ἄλλως δ' ἔχει καὶ τὸ τῇδέ που (306 δ) «ἢ καὶ μνήμην ἴσχεις ὅντινα τρόπον δρῶσιν αὐτὸ ἐν ἑκάστοις τούτων;» ὅ ἐστιν ἐπαινοῦσιν ὀξύτητα καὶ τάχος εἴτε κατὰ σώματα εἴτε ἐν ψυχαῖς εἴτε κατὰ φωνῆς φοράν; καὶ τὸ ἐν τῇ Πολιτείᾳ (502 δ) «τίνα τρόπον ἡμῖν καὶ ἐκ τίνων μαθημάτων τε καὶ ἐπιτηδευμάτων οἱ σωτῆρες ἐνέσονται τῆς πολιτείας καὶ κατὰ ποίας ἡλικίας ἕκαστοι ἑκάστων ἁπτόμενοι;» καὶ τὸ ἐν Πρωταγόρᾳ (315 δ) «Περὶ αὐτὸν (τὸν Ἱππίαν) ἐκάθηντο ἐπὶ βάθρων Ἐρυξίμαχός τε καὶ Ἀκουμενὸς καὶ Φαῖδρος ὁ Μυριννούσιος καὶ Ἄνδρων ὁ Ἀνδρωτίωνος καὶ τῶν ξένων πολῖταί τε αὐτοῦ καὶ ἄλλοι τινές· ... ἐφαίνοντο δὲ περὶ φύσεως καὶ μετεώρων διερωτᾶν τὸν Ἱππίαν, ὁ δὲ ἑκάστοις αὐτῶν διέκρινε καὶ διεξῄει τὰ ἐρωτώμενα», κατὰ πλῆθος διττὸν τῶν ἀκροωμένων λογιζομένων τὸ τῶν ἀστῶν καὶ τὸ τῶν ξένων, καὶ τὸ ἐν Θεαιτήτῳ (175 β) «ἐν ἅπασι δὲ τούτοις (τοῖς περὶ τοῦ καθ' ἡμέραν βίου) ὁ τοιοῦτος (ὁ φιλοσοφικὸς ἀνὴρ) ὑπὸ τῶν πολλῶν καταγελᾶται, τὰ μὲν ὑπερηφάνως ἔχων, ὡς δοκεῖ, τά δ' ἐν ποσὶν ἀγνοῶν τε καὶ ἐν ἑκάστοις ἀπορῶν».

(635 α).

Ἀθ. «Οὐκοῦν ἡμῖν τὰ νῦν ἐρημία νέων, αὐτοὶ δ' ἕνεκα γήρως ἀφείμεθ' ὑπὸ τοῦ νομοθέτου διαλεγόμενοι περὶ αὐτῶν τούτων μόνοι πρὸς μόνους μηδὲν ἂν πλημμελεῖν; Κλ. Ἔστι ταῦτα οὕτως, **εἰς ἃ** μηδὲν ἀνῆς ἐπιτιμῶν τοῖς νόμοις».

Πᾶς ἂν ὀξύ τι ὁρῶν τὸ εἰς ἃ τοῦτο ἂν ψέξειε τὸ δι' ἃ βουλόμενον λέγειν· ἐν παντὶ γὰρ τῷ Ἀττικῷ λόγῳ ἔν γε τοῖς τοιούτοις ταὐτά που τῷ πρὸς ἃ εὑρίσκεται δυνάμενον, τὸ οὗ ἕνεκα δηλοῦν, ἢ ἐγγύς που τοῦ ἃ ἰόν, ὅταν πρὸς τὸ κατά τι λεγόμενον τείνῃ.

(635γ).

«Εἰ ἄπειροι τῶν μεγίστων ἡδονῶν οἱ πολῖται γενήσονται καὶ ἀμελέτητοι γιγνόμενοι ἐν ταῖς ἡδοναῖς καρτερεῖν καὶ μηδὲν τῶν αἰσχρῶν ἀναγκάζεσθαι ποιεῖν, ἕνεκα τῆς γλυκυθυμίας τῆς πρὸς τὰς ἡδονὰς ταὐτὸν πείσονται τοῖς ἡττωμένοις τῶν φόβων».

Τὸ δὴ μετὰ τοῦτο σκεπτέον ἡμῖν εἶναι δοκεῖ τὴν τῇδέ που γλυκυθυμίαν, ὅπῃ ποτὲ χρείας παρὰ Πλάτωνι καὶ ἐν τῷ Ἑλληνικῷ παντὶ ἔχει λόγῳ· ὃ μὲν γὰρ ἐνταῦθα ἡ γλυκυθυμία ἡ πρὸς τὰς ἡδονὰς βούλεται φράζειν, τὸ χαίροντα αἱρεῖσθαί τι, παρὰ Πλουτάρχῳ μόνον ἐν Ἠθικοῖς ἅπαξ (476δ) ζητῶν ἂν λάβοις εἰρημένον, ἡ πρὸς τὸ ἥδιστον ἀναχωροῦσα γλυκυθυμία τῆς ψυχῆς. Ἀλλ' οὐδὲ τὴν θυμηδίαν δηλοῦντι τῷ ὀνόματι οὐδαμοῦ ἂν περιτύχοις ἄλλοθι ἢ παρ' Ἀττικίζουσι, Πλουτάρχῳ τε ἐν Ἠθικοῖς πολλάκις (970β, 982α, 1104γ) καὶ παρὰ Συνεσίῳ (Ἐπ. 57, 79). Γλυκύθυμον δὲ Ἀριστοφάνης τὸν ἔρωτα μὲν ἐν Λυσιστράτῃ εἶπε (550), ἐν Νεφέλαις δὲ τὸν ὕπνον, τὸν ἡδονὴν ἢ εὐφροσύνην ἐμποιοῦντα λέγων. Ὅμηρος δ' ἐν Ἰλιάδι που ((Υ, 476) ἀνδρὶ τὸ ὄνομ' ἀπονείμας τὸν ἤπιον ἐν νῷ ἔχων φαίνεται. Πανταχῇ οὖν ἡ γλυκυθυμία, ὥς γ' ἐνταῦθα λέγεται, θεωρουμένη ἀλλοτρία τοῦ Ἀττικοῦ λόγου οὖσα ἁλίσκεται.

(635δ).

«Δουλεύσουσι τρόπον ἕτερον καὶ ἔτ' αἰσχίω τοῖς γε δυναμένοις καρτερεῖν ἐν ταῖς ἡδοναῖς καὶ τοῖς κεκτημένοις τὰ περὶ τὰς ἡδονάς, ἀνθρώποις ἐνίοτε παντάπασι κακοῖς, καὶ τὴν ψυχὴν τῇ μὲν δούλην, τῇ δὲ ἐλευθέραν ἕξουσι».

Τί ἂν εἴποι τις τὴν ῥῆσιν τοῖς κεκτημένοις τὰ περὶ τὰς ἡδονάς; Πλατώνειον; Οὐ μὰ Δι', οὐ δῆτα· ὃ γὰρ ὁ λόγος ἐνταῦθα βούλεται λέγειν, εἰ μέλλοι τι τῆς σαφηνείας τῆς Πλάτωνος μετέχειν, τοῖς πρὸς

τὰς ἡδονὰς παρεσκευασμένοις δήπου ἂν λέγοιτο· τί γὰρ ἂν ἄλλο μᾶλλον τοῖς λεγομένοις ἁρμοττόμενον ὁ ταῦτα συγγράψας φθέγγοιτο; Ἐγὼ μὲν οὐχ ὁρῶ. Εἰ δὲ Σταλλβαῦμος οἴεταί τι εἰδέναι σαφῶς, τοὺς σωφρόνως τῶν ἡδονῶν ἀπολαύοντας λέγων, ἀνάξια μὲν πάσχει τῶν κειμένων ἀπρὶξ ἀεὶ ἀντέχεσθαι σπουδάζων, ἀτιμάζων δὲ λέληθε Πλάτωνα οὕτως ἄτοπα αὐτῷ ἐπιχειρῶν ἀπονέμειν.

(635 δ).

«Εἰ ἄπειροι τῶν μεγίστων ἡδονῶν οἱ πολῖται γενήσονται καὶ ἀμελέτητοι γιγνόμενοι ἐν ταῖς ἡδοναῖς καρτερεῖν.... ταὐτὸν πείσονται τοῖς ἡττωμένοις τῶν φόβων δουλεύσουσι τρόπον ἕτερον καὶ ἔτ' αἰσχίω τοῖς γε δυναμένοις καρτερεῖν».

Δίκην ἔχει Ζελλῆρος περὶ τὴν τοῦ *γὲ* ἐνταῦθα χρῆσιν ἀπορούμενος· τί γὰρ καὶ βουλόμενος ὁ συγγραφεὺς τῇδε τὸ *γὲ* ἐμβαλὼν ἔχει; τίσι γὰρ ἂν ἄλλοις πλὴν τῶν καρτερεῖν δυναμένων οἱ τῶν μεγίστων ἡδονῶν ἄπειροι δουλεύσειαν; Ἐπεὶ τοιοῦτόν τι καὶ οὐδὲν ἄλλο τὸ *γὲ* ἐνταῦθα ἔοικε φράζειν, εἰ μέλλει ὀρθῶς καὶ κατὰ τρόπον κεῖσθαι τὸν πρέποντα. Ἀτοπίαν δὲ τοιαύτην οὐδεὶς ἂν Πλάτωνος κατείποι, οἷς δὲ Σταλλβαῦμος χρῆται παραδείγμασιν, ἵνα τὸν συγγράψαντα ὀρθῶς τὸ *γὲ* εἰπόντα δείξῃ, οὐδὲν ἂν σκοποῦντες τοιοῦτον εὕροιμεν ἄλογον περὶ αὐτά.

(635 δ).

Τὸ δὲ «καρτερεῖν ἐν ταῖς ἡδοναῖς» πᾶς ἂν ἴδοι θαυμαστότερον ὂν ἀντὶ τοῦ εἰθισμένου πρὸς ἡδονὰς καρτερεῖν λεγόμενον, οἷον τὸ ἐν Πολιτείᾳ πρὸς ἡδονὰς καὶ λύπας καρτερεῖν (558 β) καὶ τὸ ἐν Ξενοφῶντος Κύρου Παιδείᾳ πρὸς λιμὸν καὶ ῥῖγος καρτερεῖν (3, 3, 11). Οὐχ ὅμοιον δὲ δήπου οὐδὲ ταὐτὸν δύναται τὸ Εὐριπίδου μάχῃ καρτερεῖν (Ἡρακλ. 837), οὐδὲ τὸ ἐν Λάχητι ἐν τῷ πολέμῳ καρτερεῖν (193 α) ἢ ἐπὶ τῇ ζητήσει καρτερεῖν (194 α), οὐδὲ τὸ Ἰσοκράτους ἐπὶ τοῖς παροῦσι (125 δ). Πάντα γὰρ δὴ ταῦτα τὸ ἐν ᾧ τις καρτερεῖ βούλεται λέγειν, ἀλλ' οὐ τὸ πρὸς ἅ, ὅπερ δὴ τὸ ἐνταῦθ' ἐν ἡδοναῖς καρτερεῖν ἀνάγκη σημαίνειν.

(636 ^6^).

Ἀθ. «Ἐπεὶ καὶ τὰ γυμνάσια ταῦτα καὶ τὰ ξυσσίτια πολλὰ μὲν ἄλλα νῦν ὠφελεῖ τὰς πόλεις, πρὸς δὲ τὰς στάσεις χαλεπά· δηλοῦσι δὲ Μιλησίων καὶ Βοιωτῶν καὶ Θουρίων παῖδες. Καὶ δὴ καὶ παλαιὸν νόμιμον δοκεῖ τοῦτο τὸ ἐπιτήδευμα κατὰ φύσιν τὰς περὶ τὰ ἀφροδίσια ἡδονάς, οὐ μόνον ἀνθρώπων ἀλλὰ καὶ θηρίων διεφθαρκέναι. Καὶ τούτων τὰς ὑμετέρας πόλεις πρώτας ἂν τις αἰτιῷτο καὶ ὅσαι τῶν ἄλλων μάλιστα ἅπτονται τῶν γυμνασίων».

Ὁ ἐνταῦθα σφοδρῶς τοῖς σισσιτίοις τε καὶ γυμνασίοις ὁ τῶν Νόμων συγγραφεὺς ἐπιτιμᾷ, ὡς χαλεπὰ μὲν πρὸς τὰς στάσεις, τῶν δ' οὐ κατὰ φύσιν ἐρώτων αἰτιώτατα πῶς οὐκ ἄτοπον καὶ παρὰ πάντα λόγον, εἴ τις Πλάτωνα δέξαιτο ταῦθ' οὕτω ψέξαι, ὅς γε δὴ οὐδὲν ἐν Πολιτείᾳ ἐπαινῶν καὶ θαυμάζων αὐτὰ διαλείπει; Πῶς δ' ἂν οὕτως ἐναντιώτατος αὐτὸς αὐτῷ γένοιτο, καὶ οὐ περὶ σμικρὰ ἀλλὰ περὶ τὰ μέγιστα τοῦ καλλίστου τῶν αὐτοῦ ἔργων; Οὐδαμοῦ δὲ τὸν τῶν παιδικῶν ἔρωτα οὕτως ἅπαντα ψέγων οὐδ' ἀποδοκιμάζων φαίνεται, ἀλλὰ τὸν μανικὸν μόνον καὶ τὸν ὕβρει καὶ ἀκολασίᾳ συνόντα. Τὰ δ' ἐνταῦθα λεγόμενα πᾶσι τοῖς ἀλλαχοῦ περὶ αὐτοῦ λεγομένοις διαφωνοῦντα εὑρίσκεται, τοῖς ἐν Πολιτείᾳ δὲ μάλιστα (403 ^α^, ^6^) καὶ Συμποσίῳ.

(636 ^δ^).

«Νόμων δὲ πέρι διασκοπουμένων ἀνθρώπων ὀλίγου πᾶσά ἐστιν ἡ σκέψις περί τε τὰς ἡδονὰς καὶ τὰς λύπας ἔν τε πόλεσι καὶ ἐν ἰδίοις ἤθεσι· δύο γὰρ αὗται πηγαὶ μεθεῖνται φύσει ῥεῖν, ὧν ὁ μὲν ἀρυτόμενος ὅθεν τε δεῖ καὶ ὁπότε καὶ ὁπόσον εὐδαιμονεῖ, ὁ δ' ἀνεπιστημόνως τἀναντία ἂν ἐκείνῳ ζῴη».

Ἐν τῷ πόλεσί τε καὶ ἰδίοις ἤθεσι τῶν ἠθέων διατριβὴν συνήθη ἢ οἶκον δηλούντων, πᾶς ἂν θαυμάσειεν ὅπως Ἰωνικὸν μάλιστα

καὶ ποιητικὸν ἐν τοιαύτῃ δυνάμει τὸ ὄνομα ὂν τοῦτο ἐνταῦθα μόνον καί που προϊὼν (865 ε) Πλάτων εἰρηκὼς τυγχάνει· εὕροις μὲν γὰρ ἂν αὐτὸ θηρῶν παρ' Ὁμήρῳ τε (Ζ 511, ξ 411) καὶ Ἡσιόδῳ (Ἐργ. 220), εὕροις δὲ παρ' Ἡροδότῳ πλειστάκις (1, 15. 157. 4, 80. 2, 112) καὶ παρὰ Πινδάρῳ δὲ καὶ τραγικοῖς οὐχ ἅπαξ λεγόμενον. Εἰ δέ τις δύσκολος ὢν μὴ ἐθέλοι πείθεσθαι ἄλλως ἔχειν τὸ ἐν Τιμαίῳ (42 ε) ἔμενεν ἐν τῷ ἑαυτοῦ κατὰ τρόπον ἤθει, ἄλλως τε καὶ τοῦ μὲν ἑνικοῦ τοῦ ἤθει ἀριθμοῦ συμπείθοντος, τοῦ δὲ κατὰ τρόπον ἀναγκάζοντος, ἀλλ' οὖν οὐδέν γ' ἂν ἔχοι ἀντειπεῖν, ἐάν τις μηδὲν ἄτοπον τοῦτο ποιῆσαι Πλάτωνα φῇ, ἐν τοιαύτῃ δυνάμει τὸ ἤθει εἰπεῖν· ποιητικός γαρ ἐν Τιμαίῳ καὶ ἔνθεος πρὸς τὰ λεγόμενα καὶ τὸ πρᾶγμα ὤν, καὶ λόγου, ὡς εἰκός, ποιητικοῦ καὶ ὀνομάτων ἥψατο τοιούτων.

(636 ε).

Ἀκούων δέ τις τὰ Μεγίλλου «λέγεται μὲν ταῦτα, ὦ ξένε, καλῶς, ἀλλ' ἀφασία γ' ἡμᾶς λαμβάνει τί ποτε χρὴ λέγειν πρὸς ταῦτα» ἀκούων τις, λέγω, ταῦτα ἀποροῖ ἂν πάνυ σφόδρα, ὅπως οὗτος οἶδεν ὅτι καὶ Κλεινίαν ἅμ' αὐτῷ ἀφασία εἰληφυῖα τυγχάνει. Οὐδεὶς δ' ἄν, οἶμαι, πιστεύσειεν οὕτω παρὰ τὸ εἰκὸς ταῦτα Πλάτωνι εἰρῆσθαι.

(639 α).

Ἀθ. «Σκεψώμεθα δέ πῃ τῇδε».

Τὸ πῂ τῇδε οὕτω τάξεως καὶ κόσμου ἔχον οὐδαμοῦ ἰχνεύων Πλάτωνος ἂν εὕροις, ἀλλὰ τῇδέ πῃ τεταγμένῳ πανταχοῦ τούτῳ δῆλός ἐστι κεχρημένος.

(639 β).

Ἀθ. «Τί δ' ἄρχων στρατοπέδων; ἆρ' ἐὰν τὴν πολεμικὴν ἔχῃ ἐπιστήμην, ἱκανὸς ἄρχειν, κἂν δειλὸς ὢν ἐν τοῖς δεινοῖς ὑπὸ μέθης τοῦ φόβου ναυτιᾷ;»

Ἐν τῷ ὑπὸ μέθης τοῦ φόβου θαῦμ' ἔχει πάντα, ὅτι ἡ μέθη οὕτω τολμηρῶς καὶ μόνον ἐνταῦθα μετωνόμασται, ἀντὶ τῆς ταραχῆς ἢ θορύβου ἢ ἰλίγγου λεχθεῖσα· Πλάτων δὲ δοκεῖ οὐκ ἂν οὕτω τραγικῶς ἐθελῆσαι φθέγξασθαι. Οὐδένα δὲ πρὸς τοῦτο λόγον ἔχει ὅτι περὶ μέθης ἄρτι ὁ λόγος ἐγεγένητο, ὥσπερ Σταλλβαύμῳ δοκεῖ.

(639 γ).

Ἀθ. «Τί δ' ἐπαινέτην ἢ ψέκτην κοινωνίας ἡστινοσοῦν, ᾗ πέφυκεν ἄρχων εἶναι, ὁ δὲ μὴ ἑορακὼς εἴη ποτ' ὀρθῶς αὐτὴν αὑτῇ κοινωνοῦσαν μετ' ἄρχοντος· οἰώμεθα δή ποτε τοὺς τοιούτους θεωροὺς τῶν τοιούτων κοινωνιῶν χρηστόν τι ψέξειν ἢ ἐπαινέσεσθαι;»

Ἄτοπον καὶ ἄκυρον ἔοικεν εἶναι τὸ χρηστόν τι, ἀνθ' οὗ ὑγιές τι ἢ ὀρθὸν Πλάτωνι ἂν λέγοιτο· θαυμαστότερα δὲ Σταλλβαῦμος λέγειν δοκεῖ κατὰ βραχυλογίαν ταῦτ' εἰρῆσθαι οἰόμενος, ἧς ἄνευ ἀνενδεῶς ἂν εἶχε χρηστόν τι λέγοντας ψέξειν ἢ ἐπαινέσεσθαι λεγόμενον.

(639 δ).

Ἀθ. «Ἐγὼ δὲ ἐντετύχηκά τε πολλαῖς (συμποτικαῖς κοινωνίαις) καὶ πολλαχοῦ, καὶ προσέτι πάσας ὡς ἔπος εἰπεῖν διηρώτηκα καὶ σχεδὸν ὅλην οὐδεμίαν ὀρθῶς γιγνομένην ἑόρακα».

Τὸ πάσας ὡς ἔπος εἰπεῖν διηρώτηκα οὐ Πλάτωνος λόγος ὢν φαίνεται· οὐ γὰρ οὖν εἰκὸς οὕτως ἀλόγιστα φθέγξασθαι, πάντα διηρωτηκέναι τὰ συμπόσια, οὐ δυνατὰ οὐδὲ πιστὰ οὐδενὶ λέγοντα.

(640 ϐ).

Ἀθ. «Νῦν δέ γε οὐ στρατοπέδου πέρι λέγομεν ἄρξοντος ἐν ἀνδρῶν ὁμιλίαις ἐχθρῶν ἐχθροῖς μετὰ πολέμου, φίλων δ' ἐν εἰρήνῃ πρὸς φίλους κοινωνησόντων φιλοφροσύνης».

Ἐν τῷ στρατοπέδου πέρι λέγομεν ἄρξοντος ἢ περὶ οὕτω τοῦ ἄρξοντος, τῆς οἰκείας γενικῆς, ἀφεστηκυῖα, τοῦ λέγομεν ἐμβεβλημένου, φίλη τοῖς Νόμοις ἐστὶ ῥῆσις, συχνὰς ὁμοίας ἐξ αὐτῶν Ἄστου συνειλοχότος (676 γ, 697 γ, 834 δ), οὐδαμοῦ δ' ἄλλοθι Πλάτωνος περιτυχόντος.

(640 γ).

Ἀθ. Ἔστι δέ γε ἡ τοιαύτη συνοισία, εἴπερ ἔσται μετὰ μέθης, οὐκ ἀθόρυβος».

Ὁ ἀθόρυβος ἐν Νόμοις μόνον τοῦ παντὸς Ἀττικοῦ εἴρηται λόγου, ἐνταῦθά τε καί που προϊόντι αὐτῶν (831 δ), ἀθορύβητον δὲ Ξενοφῶν ἐν Ἀγησιλάῳ που εἶπεν (6, 7), ἀθόρυβον δὲ Πλούταρχος εἴωθε λέγειν, δὶς ἐν τῷ Σωκράτους δαιμονίῳ εἰπὼν (208, 589 δ), δίς δ' ἐν τῷ Συμποσίῳ (713 ϛ). Ἀττικιζόντων οὖν μᾶλλον οἰκεῖον ὁ ἀθόρυβος τοὔνομα ἔοικεν εἶναι ἢ Ἀττικῶν.

(641 γ).

Ἀθ. « Παιδευθέντες μὲν γίγνοιντ' ἂν ἄνδρες ἀγαθοί, γενόμενοι δὲ τοιοῦτοι τά τε ἄλλα πράττοιεν καλῶς, ἔτι δὲ κἂν νικῷεν τοὺς πολεμίους μαχόμενοι. Παιδεία μὲν οὖν φέρει καὶ νίκην, νίκη δ' ἐνίοτε ἀπαιδευσίαν· πολλοὶ γὰρ ὑβριστότεροι διὰ πολέμων νίκας γενόμενοι μυρίων ἄλλων κακῶν δι' ὕβριν ἐνεπλήσθησαν, καὶ παιδεία μὲν οὐδεπώποτε γέγονε Καδμεία, νῖκαι δὲ ἀνθρώποις πολλαὶ δὴ τοιαῦται γεγόνασί τε καὶ ἔσονται».

Τὸ λεγόμενον ὡς ἡ παιδεία φέρει νίκην, ἡ δὲ νίκη ἐνίοτε ἀπαιδευσίαν, ταῦτά τε καὶ τὰ τούτοις ἑξῆς ἀργὸς εἶναι δοκεῖ λόγος καὶ ἄτοπος οὐδὲ πρὸς Πλάτωνος οὐδ' ὁπωστιοῦν· τί γὰρ καὶ βουλόμενος περὶ τῶν ἐκ τῆς παιδείας ἀγαθῶν ὄντων τὸν λόγον ποιούμενος τὸν περὶ τῶν ἐκ νίκης ἐνίοτε κακῶν γιγνομένων προσῆψεν; Χαλεπῶς ἂν οὕτω παρὰ λόγον Πλάτωνι εἰρῆσθαι δοκοῦντα ἂν εὕροιμεν· οἱ γὰρ

κρατοῦντες ἐν τοῖς διαλόγοις αὐτῷ τῶν ἀνδρῶν, οἷος Σωκράτης πολλαχοῦ καὶ ὁ Ἀθηναῖος ἐνταῦθα, τοῦ ὀρθοῦ ἀεὶ καὶ ὑγιοῦς ἐν τοῖς λόγοις ἁπτόμενοι φαίνονται. Εἰ δέ τινα καὶ ἄλογα διαλεγομένους λέγειν ἀνάγκη, ταῦτα τοῖς ἄλλοις πλὴν τούτων Πλάτων φιλεῖ ὑποβάλλειν.

(641 δ).

Ἀθ. «Τὸ μὲν ἀληθές, ὦ ξένε, διισχυρίζεσθαι ταῦτα οὕτως ἔχειν, πολλῶν ἀμφισβητούντων, θεοῦ· εἰ δ' ὅπῃ ἐμοὶ φαίνεται δεῖ λέγειν οὐδεὶς φθόνος, ἐπείπερ ὡρμήκαμέν γε τοὺς λόγους περὶ νόμων καὶ πολιτείας ποιεῖσθαι τὰ νῦν».

Εἰπὼν ἐνταῦθα ὁ τοὺς νόμους συγγράψας ὡς περὶ νόμων τε καὶ πολιτείας τοὺς λόγους ποιεῖται καὶ τυφλῷ δῆλον ἐποίησεν ὅτι ταὐτόν τι πολιτείαν καὶ νόμους ἡγοῖτο. Ἐκ δὲ δὴ τούτου οὐδεὶς ἤδη λόγος λείπεται τοῖς περὶ ἄλλο τι σπουδάσαι Πλάτωνα φάσκουσι τοὺς νόμους συγγράφοντα, οὐδὲ περὶ ταὐτόν τι τῇ πολιτείᾳ διατρίψαι, ἐξ οὗπερ ἂν ῥᾳδίως τεκμαίροιντο Πλάτωνος καὶ τούτους πρὸς ταύτῃ ἔργον εἶναι.

(642 α).

«Σκοπῶ μὴ δόξαν ὑμῖν παράσχωμαι περὶ σμικροῦ πολλὰ λέγειν, μέθης πέρι, σμικροῦ πράγματος παμμήκη λόγον ἀνακαθαιρόμενος».

Τὸ λόγον ἀνακαθαίρεσθαι ἀντὶ τοῦ ἀποκαθαίροντα ἢ δι' ἀκριβείας λόγον ποιεῖσθαι τῶν Ἀττικῶν μόνος ὁ συγγραφεὺς ἡμῖν οὗτος εἶπεν. Ἀλλὰ μὴν καὶ κύριον τοῦτο λεγόμενον καὶ οὐ μετωνομασμένον παρ' ὑστέροις ἂν εὕροις μόνον καὶ ἐν τῷ ἥκιστα Πλάτωνος Μενεξένῳ καὶ ἐν Νόμοις· λέγεται μὲν γὰρ τῇδέ που (678 δ) μεταλλεῖα συγκεχυμένα ἀνακαθαίρεσθαι καὶ ἐν Μενεξένῳ (241 δ) τὸν βάρβαρον ἀνακαθαίρεσθαι καὶ παρὰ Πλουτάρχῳ (ἐν Ἀλεξ. 17) ἀνακαθαίρεσθαι τὴν παραλίαν καὶ ἄλλα τοιαῦτα ἐν Καίσαρι (58) καὶ Ἀντωνίῳ (9) καὶ παρὰ Θεοφράστῳ καὶ Λουκιανῷ (Ἀλεξ. 1) καὶ

Διονυσίῳ τῷ Ἁλικαρνασεῖ καὶ Λιβανίῳ καὶ Γρηγορίῳ τῷ Ναζιανζηνῷ, τῶν δ' Ἀττικῶν ὥς γ' ἔμ' εἰδέναι, οὐδὲ παρ' ἑνί.

(642 α).

Τὸ δὲ «παμμήκη λόγον περὶ σμικροῦ πράγματος ἀνακαθαίρεσθαι» ἀνεπιτήδειος οὖσα μίμησις ἁλίσκεται καὶ μόνον οὐ λογοκλοπία τῆς ἐν Φαίδρῳ (268 γ) ῥήσεως περὶ σμικροῦ πράγματος ῥήσεις παμμήκεις ποιεῖν. Μιμηταὶ δὲ λόγου Ἀττικοῦ, ὡς πάντες ἴσμεν, οἱ Ἀττικίζοντες μάλιστα εὑρίσκονται ὄντες, οὐ μόνον ὀνόματα ἀλλὰ καὶ ῥήσεις ὅλας αὐτῶν παραλαβόντες, οὐδὲν ἢ σμικρὸν ἀλλοιοῦντες· δεῖ δ' οὐδέν, οἶμαι, τὰ πᾶσιν ἐμφανῆ καὶ διάδηλα τεκμηρίοις δεικνύναι.

(642 α).

Τὸ δὲ ἡ κατὰ φύσιν αὐτοῦ (τῆς μέθης) διόρθωσις οὐκ ἂν δύναιτο ἄνευ μουσικῆς ὀρθότητός ποτε σαφὲς οὐδ' ἱκανὸν ἐν τοῖς λόγοις ἀπολαβεῖν».

Τοὔνομα διόρθωσις τὴν ὀρθὴν διάθεσιν λέγον οὐ μόνον Πλάτωνος οὐ δοκεῖ εἶναι, οὐδαμοῦ ἄλλοθι αὐτῷ εἰρημένον, ἀλλ' οὐδὲ τοῦ Ἀττικοῦ λόγου ἔμοι γε οἰκεῖον ὂν εὕρηται· Ἱπποκράτης μὲν γάρ που (Δ') διόρθωσιν τὴν εἰς ὀρθὸν ἀγωγὴν τοῦ ἐγκλινόντων εἶπε, τὴν τῶν ὁδῶν δ' ἐπὶ τὸ βέλτιον Ἀριστοτέλης (Πολ. 6) καὶ τῶν συμπτωμάτων Πολύβιος (6, 38, 4), τὴν ἐπανόρθωσιν δὲ Πολύβιος (3, 118, 12) καὶ Διονύσιος ὁ Ἁλικαρνασεὺς (Ῥωμ. Ἀρχ. 6, 20), τὴν χρεῶν δὲ διάλυσιν πολλάκις ὁ Πολύβιος (5, 50, 7. 11, 25, 9).

Ὅτι δ' ἄγαν κατατείνας περὶ μέθης καὶ πότων ὁ συγγραφεὺς ἡμῖν εἶπεν, καὶ ὁμολογοῦντα θαυμαστὸν καὶ ἄτοπον εἶναι παμμήκη λόγον περὶ μέθης σμικροῦ πράγματος ποιεῖσθαι οὐδὲν ἀπολύεται τοῦ τοιαῦτα καταψεύδεσθαι Πλάτωνος· οὐ γὰρ οὖν σπουδάζων ἡμιόλιον βιβλίου, ἐνθένδε μέχρι τοῦ δευτέρου τελευτῶντος, περὶ μέθης ἂν λέγων διεξίοι οὕτω προὔργου ποιούμενος, ὡς οὔτ' ἐν Συμποσίῳ οὔτ' ἄλλοθί που τῶν δια

λόγων φαίνεται· οὐδὲ γὰρ ὧν ἡ πολιτεία συνέστηκεν οὕτω μέγα τι καὶ σεμνὸν σωφρονοῦντι ἔοικεν εἶναι τὰ περὶ μέθην καὶ πότους, ὥστε λατρεύοντα αὐτοῖς τὰ περὶ παιδείας καὶ ἁρμονικῆς τετάχθαι. Καίτοι ταῦτά γε πλείστου ἄξια ἐν Πολιτείᾳ καὶ προὐργιαίτατα εἰς ὀρθὴν πολιτείας διάθεσιν καὶ ἕξιν Πλάτων ἡγεῖται, καὶ οὐχ οἷα μέθαις μόνον καὶ πότοις δουλεύειν (Πολιτ. 376 ε - 410 δ).

(642 α).

«Ὁρᾶτε οὖν τί ποιῶμεν, εἰ ταῦτα μὲν (τὰ περὶ μέθης) ἐάσαιμεν ἐν τῷ παρόντι, μετεκβαῖμεν δὲ εἰς ἕτερόν τινα νόμων πέρι λόγον».

Τὸ μετεκβαίνειν ἐνταῦθά τε καί που προϊόντι (935 α) «μετεκβαίνειν πως εἰώθασι πάντες θαμὰ ἐν τοῖς τοιούτοις εἰς τό τι γελοῖον περὶ τοῦ ἐναντίου φθέγγεσθαι» οὐκ οἶδ' ὅ,τι παθὼν Πλάτων ἐν Νόμοις μόνον ἂν εἶπε· τῶν δ' Ἀττικῶν παρ' Ἀντιφῶντι μόνον ἂν ἅπαξ ἀναγνοῖμεν καὶ περὶ μεταβάσεως εἰς πλοῖον λεγόμενον (131), καθ' ἅπερ καὶ Ἡρόδοτος ἐξ ἅρματος εἰς ἁρμάμαξαν μετεκβαίνειν που ἔγραψεν (7, 41). Ὁ δὲ τῶν Νόμων ἡμῖν συγγραφεὺς τροπικῶς τῷ μετεκβαίνειν ἐχρήσατο περὶ λόγου τὸν λόγον ποιούμενος· μεταβαίνειν δὲ οὐχ ἅπαξ Πλάτωνι εἰρημένον εὑρήσομεν, ἐν Φαίδρῳ τε (265 γ) καὶ ἐν Παρμενίδῃ (146 α, 165 α) καὶ ἐν Πολιτείᾳ (547 γ, 550 δ, 569 γ).

(642 γ).

Μεγ. «Ἀκούων ἐκ τῶν παίδων εὐθύς, εἴ τι μέμφοιντο Λακεδαιμόνιοι Ἀθηναίους, ὡς ἡ πόλις ὑμῶν, ὦ Μέγιλλε, ὑμᾶς οὐ καλῶς ἔρρεξε, καὶ μαχόμενος ὑπὲρ ὑμῶν ἀεὶ πρὸς τοὺς τὴν πόλιν εἰς ψόγον ἄγοντας πᾶσαν εὔνοιαν ἔσχον».

Ἡ εἰς ψόγον ἄγειν τινὰ ῥῆσις ἔρημος ἀδελφῶν ἐν παντὶ τῷ Ἀττικῷ τυγχάνει οὖσα λόγῳ πλήν γε δή τινος ἐν Νόμοις που καὶ ταύτης ῥηθείσης (711 γ), «τὰ μὲν ἐπαινοῦντα καὶ τιμῶντα, τά δ' αὖ

πρὸς ψόγον ἄγοντα». Περὶ πλείστου δ' ἄγειν τι καὶ ἐν οὐδεμιᾷ μοίρᾳ ἄγειν τι εἶπεν Ἡρόδοτος (9, 7. 2, 172), ἐν τιμῇ δὲ ἢ ἐντίμως ἄγειν τινὰ ἔγραψε Πλάτων (Πολιτ. 538 ε, 528 γ). Ἕτερον δ' ἂν εἴη παντάπασι καὶ οὐδαμῇ τῶν τοιούτων τό τε ἐν Νόμοις περὶ θεῶν εἰς πίστιν ἄγειν (966 δ) καὶ τὸ ἐν Πολιτείᾳ εἰς δόξας κενὰς ἄγειν (362 ε) καὶ τὸ ἐν Φαίδρῳ εἰς ὁμοιότητά τινι καὶ συμφωνίαν ἄγειν (253 γ) καὶ εἴ τι ἄλλο παραπλήσιον.

(642 δ).

«Ἐπιμενίδης ἐλθὼν πρὸ τῶν Περσικῶν δέκα ἔτεσι πρότερον παρ' ὑμᾶς θυσίας τε ἐθύσατό τινας καὶ δὴ καὶ φοβουμένων τὸν Περσικὸν Ἀθηναίων στόλον εἶπεν ὅτι δέκα μὲν ἐτῶν οὐχ ἥξουσιν, ὅταν δ' ἔλθωσιν, ἀπαλλαγήσονται πράξαντες οὐδὲν ὧν ἤλπιζον παθόντες τε ἢ δράσαντες πλείω κακά».

Ταῦτα λέγων πλεῖστον ἡμῖν ὁ συγγράψας ἁμαρτάνει τὸν χρόνον λογιζόμενος, ἐν ᾧ Ἐπιμενίδης εἰς Ἀθήνας ὁμολογουμένως ἧκε· πάντες μὲν γὰρ τῇ ἕκτῃ καὶ τεσσαρακοστῇ Ὀλυμπιάδι Ἀθήναζε αὐτόν φασιν ἐλθεῖν, ἓξ ἔτεσι καὶ ἑκατὸν πρότερον τῶν Μηδικῶν, ἐνταῦθα δὲ δέκα ἔτεσι προτερῆσαι τούτων ἐν Ἀθήναις γενόμενος λέγεται. Πλάτων δ', οἶμαι, οὐκ ἂν τηλικοῦτον ἁμάρτοι. Κάλλιστα δὲ τοῦτα Ζελλῆρος ἐν τῷ περὶ Πλάτωνος συγγράμματι (70, 111) ἐλέγξαι δοκεῖ.

(642 δ).

Τὰ δὲ Περσικὰ καὶ ὁ Περσικὸς στόλος οὐ πάνυ τι οἰκεῖα, ὥς γ' ἐμὲ γνῶναι, τοῦ Ἀττικοῦ λόγου δοκεῖ εἶναι ὀνόματα· Περσικὸν μὲν γὰρ ὄνομα Ἰσοκράτης καὶ Πλούταρχος μόνον φαίνονται εἰπόντες, ὁ μὲν ἐν τῷ Πανηγυρικῷ (68) καὶ τῷ Ἀρεοπαγιτικῷ (75) καὶ τῷ περὶ Εἰρήνης, ὁ δὲ ἐν Ἀριστείδῃ (1) καὶ ἐν Βρούτῳ (31). Τὰ Μηδικὰ δὲ ἀντὶ τούτου μάλιστα οἱ Ἀττικοὶ φιλοῦσι λέγειν ἀπὸ Θουκυδίδου ἀρξάμενοι· εἶπον δὲ οὗτός τε (1, 18, 97) καὶ Ἀριστοφάνης (Λυσ. 653;

καὶ Ξενοφῶν (Πορ. 5, 5) καὶ Ἀνδοκίδης (1, 78). Ἦρξε δὲ τὰ Μηδικὰ γράψας Ἡρόδοτος (9, 64).

(642 ε).

Ἀντὶ δὲ τοῦ «θυσίας ἐθύσατό τινας (Ἐπιμενίδης)» ἔθυσε μᾶλλον Ἀττικὸς ἀνὴρ ἂν εἴποι· τὸ γὰρ θύεσθαι περὶ ὧν μέλει τῆς θυσίας μᾶλλον δοκεῖ λέγεσθαι, τῶν σφίσιν αὐτοῖς θυσίας ποιουμένων καὶ τῶν θυσίαις μαντευομένων ἢ τῶν ἱερέων καὶ τῶν ἁπλῶς ἢ ἄλλοις θυόντων, οἷον ἐν Πλάτωνος Συμποσίῳ (201 ε) Ἀθηναίοις θυομένοις περὶ τοῦ λοιμοῦ καὶ ἐν Πολιτείᾳ (378 α) θυσαμένοις οὐ χοῖρον ἀλλὰ μέγα τι καὶ ἄπορον θῦμα καὶ παρὰ Θουκυδίδῃ (5, 54) τὰ διαβατήρια θυομένοις (Λακεδαιμονίοις) καὶ ἐν Ξενοφῶντος Κύρου Ἀναβάσει (2, 2, 3) ἐμοὶ θυομένῳ ἰέναι ἐπὶ βασιλέα οὐκ ἐγίγνετο τὰ ἱερὰ καὶ (4, 6, 23) Χειρίσοφος θυσάμενος ἦγε κατὰ τὴν ὁδὸν καὶ (6, 1, 22) (Ξενοφῶν) ἐθύετο Διὶ τῷ βασιλεῖ καὶ (5, 6, 27) Ξενοφῶντα θύεσθαι ὑπὲρ τῆς μονῆς. Καίτοι τὸ μὲν θύειν εὕροις ἂν καὶ ἀντὶ τοῦ θύεσθαι λεγόμενον, ἀλλ' οὐ καὶ τοὐναντίον· λέγεται μὲν γὰρ θύειν θύματα (Πλατ. Πολ. 290 ε) καὶ θύσαντες οἱ στρατιῶται (Ξ. Ἀν. 4, 6, 27) καὶ θύειν ἐπινίκεια (Πλατ. Συμ. 173 α) ἢ εὐαγγέλια (Ἀρ. Ἱππ. 656), ἐλέχθη δὲ καὶ θύειν διαβατήρια (Ξ. Ἀν. 3, 4, 3) καὶ Ξενοφῶν ἔθυε πότερά οἱ λῷον εἴη (7, 6, 44)· θύεσθαι δὲ ἐπὶ ἱερέως ὁ συγγραφεὺς ἡμῖν οὗτος εἶπε καὶ Ἡρόδοτος μόνον ἐν τῇ ἐνάτῃ που βίβλῳ εἰπὼν (33) «Ἕλλησι Τισαμενὸς Ἀντιόχου ἦν ὁ θυόμενος. Καίτοι καὶ τούτῳ Ἕλληνι ὄντι, ὥσπερ καὶ τοῖς ἄλλοις, τῆς θυσίας ἔμελε.

(642 ε).

Τῆς δὲ ῥήσεως «φοβουμένων τὸν Περσικὸν Ἀθηναίων στόλον» ἡ κατὰ δύναμιν ἢ ῥυθμὸν ὑπερβατικὴ αὕτη τῶν ὀνομάτων τάξις ἄτοπος λίαν εἶναι δοκεῖ καὶ παρὰ τὸ λεγόμενον αὐτὸ τεταγμένη. Οὐδὲν δ' ἂν δήπου τοιοῦτον Πλάτων ἐπλημμέλησεν, οἷα καὶ ἄλλα πόλλ' ὁμοίως ἐν Νόμοις ἡμαρτημένα οὐδὲ Σταλλβαῦμον

λανθάνοντα ὁμολογεῖν ἀναγκάζει, ὡς «τὴν πάντων ἧτταν φοβουμένους ἀνθρώπων τοῦ πώματος (648 ε) καὶ «τὴν τῆς ξυμπάσης ἡγεμόνα ἀρετῆς (688 β)» καὶ «μεθ' οὗ ἱκετεύσας μάρτυρος ὁ ἱκέτης θεοῦ ἔτυχεν ὁμολογεῖν (730 α) καὶ «ἐν τοῖς τῶν δώδεκα ὁρίοις μερῶν (873 δ)» καὶ «οἱ τὰ τῶν δημιουργῶν σῴζοντες τέχναισιν ἑτέραις ἀμυντηρίοις ἔργα (920 ε) καὶ ἄλλα οὐκ ὀλίγα τοιαῦτα.

(642 ε).

«Τότ' οὖν (δέκα ἔτεσι πρὸ τῶν Περσικῶν) ἐξενώθησαν ὑμῖν οἱ πρόγονοι ἡμῶν καὶ εὔνοιαν ἐκ τόσου ἔγωγε ὑμῖν καὶ οἱ ἡμέτεροι ἔχουσι γονεῖς».

Τὸ ἐκ τόσου οὐδὲν θαῦμα εἰ καὶ τοῦτο μίμημα τῆς ἐν Συμποσίῳ Πλάτωνος ῥήσεώς ἐστι (191 γ) «Ἔστι δὴ οὖν ἐκ τόσου ὁ ἔρως ἀλλήλων ἔμφυτος ἀνθρώποις», Ἡροδότου ταύτης ἡγησαμένου (5, 88. 6, 84). Πολλὰ γὰρ φαίνεται ὁ τοὺς Νόμους συγγράψας τῷ Συμποσίῳ τὴν γνώμην προσχὼν καὶ μιμησάμενος, καθ' ἅ τε οὐκ ὀλίγα ὑπείπομεν καὶ τὸ ἐνταῦθα λεγόμενον αὐτὸ δηλοῖ περὶ τὴν εὔνοιαν ὄν, τοῦ ἐν Συμποσίῳ περὶ τὸν ἔρωτα ὄντος, οὐ πολύ τι τῆς εὐνοίας ἀλλοῖον. Τοῦ δ' ἐκ τόσου ἅπαξ ἐν τῷ Ἀττικῷ λεχθέντος λόγου, ἐκ τοσούτου μὲν καὶ μέχρι τοσούτου Ξενοφῶν ἔγραψε (Ἑλλ. 4, 4, 11. Κ. 1, 4, 23), διὰ τοσούτου δὲ Θουκυδίδης (2, 29) καὶ ἐν τοσούτῳ Ἀριστοφάνης τε (Ἱππ. 420) καὶ ἄλλοι, εἰς τοσοῦτον δὲ Λυσίας (178, 34) καὶ κατὰ τοσοῦτον Πλάτων τε (Παρμ. 129 α) καὶ ἄλλοι καὶ παρὰ τοσοῦτον Θουκυδίδης πολλάκις (6 37. 8, 33).

(643 α).

«Διὰ ταύτης φαμὲν ἰτέον εἶναι τὸν προκεχειρισμένον ἐν τῷ νῦν λόγον ὑφ' ὑμῶν μέχρι περ ἂν πρὸς τὸν θεὸν ἀφίκηται».

Τὸ προκεχειρισμένον λόγον δόξαν παρέχει μοι οὐ Πλάτωνος εἶναι

τὸν λόγον· οὐδαμοῦ γὰρ ἀλλαχοῦ οὗτος τὸ προχειρίζεσθαι γεγραφὼς τυγχάνει. Καὶ τῶν μὲν Ἀττικιζόντων πολλοὶ πολλὰ χρησάμενοι αὐτῷ φαίνονται, Ἀριστοτέλης τε καὶ Πλούταρχος καὶ Λουκιανὸς καὶ Διονύσιος ὁ Ἁλικαρνασεὺς καὶ Πολύβιος, τῶν δ' Ἀττικῶν ὀλίγοι ὀλίγα· καὶ περὶ δρῶντος μὲν Ἀριστοφάνης τε (Ἐκκλ. 729) προχειρίζεσθαι τὴν οὐσίαν εἰπὼν καὶ Δημοσθένης προχειρίζεσθαι δύναμιν(45, 10)καὶ Ἰσοκράτης προχειρίζεσθαι δημαγωγοὺς(184 α), περὶ πάσχοντος δὲ Δημοσθένης προκεχειρίσθαι ἀγαθὰ (85, 7).

Καὶ τὸ μὲν διὰ ταύτης διὰ τῆς παιδείας βούλεται λέγειν, τὸ δὲ θεὸν τὸν Διόνυσον, τὸν μέθαις δὴ καὶ πότοις ἐπιστατοῦντα· ὥστε τόν γε περὶ παιδείας λόγον ὁδὸν πρὸς τὸν περὶ μέθης ὁ συγγραφεὺς ἡμῖν τιθέμενος ἀνάξια Πλάτωνος δοκεῖ καταψεύσασθαι· τὸ γὰρ οὕτω προὔργου μὲν τὴν μέθην, ἐν παρέργῳ δὲ τὴν παίδευσιν ποιεῖσθαι ἀτοπώτατον καὶ ἥκιστα πρὸς Πλάτωνος εἶναι οὐδεὶς ὅστις οὐκ ἂν φαίη.

(643 β).

Ἀθ. «Τὸν μέλλοντα ἀγαθὸν ἔσεσθαι γεωργὸν ἤ τινα οἰκοδόμον, τὸν μὲν οἰκοδομοῦντά τι τῶν παιδείων οἰκοδομημάτων παίζειν χρή, τὸν δ' αὖ γεωργοῦντα».

Τὸ ὄνομα παιδεῖος οὐ μόνον οὐδ' ἐν ἑνὶ τῶν Πλάτωνος ἔργων, πλὴν ἐν Νόμοις τρὶς, συμβαίνει λεχθῆναι (747 β, 810 α), ἀλλ' οὐδὲ τοῖς ἄλλοις Ἀττικοῖς συγγραφεῦσι γνώριμον εὑρίσκεται ὄν, ὑπὸ ποιητῶν μόνον λεχθέν· παιδεῖα μὲν γὰρ κρέα Αἰσχύλος ἔτυχεν εἰπὼν (Ἀγ. 1242 καὶ 1593) καὶ τροφὴν παιδείαν Σοφοκλῆς (Ἀντ. 968)· παιδικὸν δὲ χορὸν Ἀριστοφάνης (Λυσ. 415) καὶ Λυσίας (162, 4), παιδικὴν δὲ ἡδονὴν καὶ λύπην καὶ παιδικὸν εἶδος λόγων καὶ παιδικὸν ἔρωτα καὶ παιδικὸν φθόνον Πλάτων (Τιμ. 26 β, Θεαιτ. 169 γ, Πολιτ. 708 α, Κρατ. 406 γ, Φιλ. 49 α), παιδικοὺς δὲ λόγους Ξενοφῶν (Ἀγ. 8, 2).

(643 δ).

«Κεφάλαιον δὴ παιδείας λέγομεν τὴν ὀρθὴν τροφήν, ἣ

τοῦ παίζοντος τὴν ψυχὴν εἰς ἔρωτα ὅ τι μάλιστα ἄξει τούτου, ὃ δεήσει γενόμενον ἄνδρ' αὐτὸν τέλειον εἶναι τῆς τοῦ πράγματος ἀρετῆς».

Οὐκ οἶδ' ὅ,τι παθὼν ἡμῖν ὁ περὶ τοὺς Νόμους πραγματευσάμενος οὗτος τὸ τέλειον τῆς τοῦ πράγματος ἀρετῆς ἐνταῦθα εἶπεν, οὐδαμοῦ ἀλλαχοῦ τοῦ παντὸς Ἀττικοῦ ὁμοίως λεχθὲν λόγου· Πλάτωνι μὲν γὰρ τέλειος εἴς τι ἐν Φαίδρῳ που γέγραπται (267 ε) καὶ τέλειος κατά τι ἐν Τιμαίῳ (30 δ), τέλειος δὲ πρός τι καὶ τέλειος ἔν τινι Ἰσοκράτει ἐν τῷ Παναθηναϊκῷ (9) καὶ ἐν τῇ τετάρτῃ που ἐπιστολῇ (3).. Οὐδὲν δὲ δὴ κοινόν ἐστι τῷ τέλειος τῆς ἀρετῆς καὶ τῷ παρθένος ὡραία γάμου ἢ ἀνδρός, πολλοῖς Ἀττικοῖς ἀπὸ Ἡροδότου θρυληθέντι (Ἡροδ. 1, 107, 109. 6, 122. Ξ. Κ. 4, 6, 9. Εὐρ. Ἑλ. 12)· τοῦτο μὲν γὰρ οὕτω λεγόμενον λόγον ἔχει οὐ σμικρόν· ταὐτὰ γάρ τοι δῆλόν ἐστι δυνάμενον τῷ ὥραν γάμου ἢ ἀνδρὸς ἔχουσα, ᾧπέρ γε Ἡροδότου ἡγουμένου Ἀττικοί τε καὶ Ἀττικίζοντες οὐχ ἅπαξ χρησάμενοι εὑρίσκονται, μάλιστα δὲ Πλάτων τε καὶ Πλούταρχος (Ἡροδ. 1, 6, 61. Πλατ. Κριτ. 113 δ. Πλουτ. Ἠθ. 253 γ, 751 δ. Κλ. 1. Παραβ. Θησ. καὶ Ῥωμ. 6). Τοῦ δὲ τέλειός τινος οὐδένα σκοπούμενοι τοιοῦτον εὑρήσομεν λόγον.

(643 γ-ε).

Τὴν δὲ παιδείαν ὁριζόμενος, ὅ,τι ποτ' ἔστιν ἄλλοτε ἄλλα καὶ οὐκ ἀκόλουθ' ἀλλήλοις δοκεῖ λέγειν, ἐναντία δὲ τοῖς ἐν Πολιτείᾳ περὶ τούτου ῥηθεῖσι· πρῶτον μὲν γὰρ «κεφάλαιον παιδείας λέγει τὴν ὀρθὴν τροφήν, ἣ τοῦ παίζοντος τὴν ψυχὴν εἰς ἔρωτα ὅ,τι μάλιστα ἄξει τούτου, ὃ δεήσει γιγνόμενον ἄνδρ' αὐτὸν τέλειον εἶναι τῆς τοῦ πράγματος ἀρετῆς», ὃ ἐπιτηδεύσει δῆλον ὅτι, οἷον οἰκοδομίαν, γεωργίαν, τευτονικήν. Εἶτα δὲ μεταγνοὺς οὐδενὸς ἀντειπόντος οὐδ' ἐλέγξαντος, ὅπερ δὴ ἐν τοῖς Πλάτωνος διαλόγοις φιλεῖ γίγνεσθαι, τὴν παιδείαν ἀφορίζεται «τὴν πρὸς ἀρετὴν ἐκ παίδων παιδείαν ποιοῦσαν ἐπιθυμητήν τε καὶ ἐραστὴν τοῦ πολίτην γενέσθαι τέλεον, ἄρχειν τε καὶ ἄρχεσθαι ἐπιστάμενον μετὰ δίκης». Ἐν δὲ Πολιτείᾳ (376 ε)

ὅλῳ καὶ παντὶ διαφέροντα λέγοντος Πλάτωνος ἀκούομεν, «Παιδεία ἐστὶν ἡ ἐπὶ τῷ σώματι γυμναστικὴ καὶ ἐπὶ τῇ ψυχῇ μουσική».

(643 ε).

«Οὐ ταῦτ' ἡγουμένων, ὡς ἔοικεν, εἶναι παιδείαν ὁ νῦν λόγος ἂν εἴη», καὶ σμικρὸν προϊόντι «ταύτην τὴν τροφὴν ἀφορισάμενος ὁ λόγος οὗτος, ὡς ἐμοὶ φαίνεται, νῦν βούλοιτ' ἂν μόνον παιδείαν προσαγορεύειν», καὶ εὐθὺς μετὰ ταῦτα «ὁ νῦν δὴ λόγος ἡμῖν ὁμολογηθεὶς μενέτω».

Ταῦτα διεξιών τις καὶ σμικρὰ Πλάτωνος γευσάμενος σφόδρ' ἂν θαυμάσειεν ὅ,τι τρὶς ἐκ τοσούτου ἀηδῶς καὶ ἥκιστα κατὰ τὴν Πλατώνειον ἐν λόγῳ χάριν καὶ κομψότητα ὁ νῦν λόγος ἢ ὁ λόγος οὗτος συμβαίνει εἰρῆσθαι. Οὐδὲν δὲ πρὸς τὸ πάθος ἐστὶ τοῦτο τὸ λεγόμενον ὅτι δὴ τελευτήσαντι οὐκ ἐξεγένετο τέλεον τὸ ἔργον ἐξεργάσασθαι καὶ πάντῃ λεᾶναι· οὐ γάρ τοι περὶ τὰ καθ' ἕκαστον καὶ τὸ ῥητορικὸν τοῦ λόγου εἶδος εἰκός ἐστι τὴν δευτέραν καὶ ἐπὶ τὸ βέλτιον ἀγωγὴν εἶναι, ἀλλὰ περὶ τὰ κεφάλαια μᾶλλον τῶν λεγομένων, μή τι ἀλλήλοις ἀσύμφωνα καὶ ἐναντία ὄντα τυγχάνῃ.

(644).

«Δεῖ δὴ τὴν παιδείαν μηδαμοῦ ἀτιμάζειν, ὡς πρῶτον τῶν καλλίστων τοῖς ἀρίστοις ἀνδράσι παραγιγνόμενον· καὶ εἴ ποτ' ἐξέρχεται, δυνατόν δ' ἔστιν ἐπανορθοῦσθαι, τοῦτ' ἀεὶ δραστέον διὰ βίου παντὶ κατὰ δύναμιν».

Τὸ ἐξιέναι ἐκβαίνειν τοῦ ὀρθοῦ καὶ μετρίου ἢ ἁμαρτάνειν σημαῖνον ἐνταῦθα μόνον τοῦ παντὸς Ἀττικοῦ λόγου εἰρημένον εὑρίσκεται. Ἐξιέναι δὲ τὴν χώραν ἔγραψέ που Ἡρόδοτος (7, 29), καὶ ἐξιέναι τὰ νόμιμα Νύμφις ὁ Ἡρακλεώτης κατ' Ἀθήναιον (12, 536 α). Οὐδαμῇ δ' ἴσα δύνασθαι οὐδ' οἷον τόδε δοκεῖ εἶναι τὸ χρόνον ἢ ἐνιαυτὸν ἢ μῆνα ἢ σπονδὰς ἐξιέναι, τὸ λήγειν δῆλα δὴ ἢ τε-

λευτᾶν δηλοῦν, οἷον τὸ ἐν Πλάτωνός που Φαίδωνι καὶ Πολιτικῷ (108 γ, 298 ε) καὶ ἐν Ξενοφῶντος Κύρου Ἀναβάσει καὶ Ἑλληνικοῖς, (7, 5, 4. 5, 2, 3).

(644 γ).

Ἀθ. «Οὐκοῦν ἕνα μὲν ἡμῶν ἕκαστον αὐτὸν τιθῶμεν; Κλ. Ναί. Ἀθ. Δύο κεκτημένον ἐν αὑτῷ ξυμβούλῳ ἐναντίω τε καὶ ἄφρονε, ὣ προσαγορεύομεν ἡδονήν τε καὶ λύπην;»

Ἐάν τις ἐνθυμηθεὶς τὸ ἐν Τιμαίῳ (69 δ) θάρρος τε καὶ φόβον ἄφρονε συμβούλω συμβάλῃ αὐτῷ τόδε, δύο συμβούλω ἄφρονε ἡδονήν τε καὶ λύπην, εὐθὺς γνώσεται μίμημ' ἐναργὲς ἐκείνου ὄν. Ἔτι δὲ μᾶλλον ταῦτ' οὕτως ἔχειν ἂν φαίη, πάντα τὸν ἐκεῖ λόγον περὶ τῶν αὐτῶν που ὄντα καὶ τὸν ἐνταῦθα ὁρῶν, περὶ ἡδονῆς τε καὶ λύπης καὶ ἐλπίδος καὶ θάρρους καὶ φόβου.

(644 γ).

«Πρὸς δὲ τούτοιν ἀμφοῖν αὖ δόξας μελλόντων (κεκτημένον), οἷν κοινὸν μὲν ὄνομα ἐλπίς, ἴδιον δὲ φόβος ἡ πρὸ λύπης, θάρρος δὲ ἡ πρὸ τοῦ ἐναντίου».

Ἐλπίδα κοινὸν ὄνομα θάρρους καὶ φόβου ὁ τῶν Νόμων συγγραφεὺς μόνον φαίνεται εἰπών, Πλάτωνα δὲ προσδοκίᾳ οὕτω γε ἡμεῖς χρώμενον εὑρίσκομεν· προσδοκία μὲν γὰρ κακοῦ ὁ φόβος ἐν Λάχητί τε καὶ Πρωταγόρᾳ λέγεται (189 β, 358 δ) παντάπασιν ἄλλως ἢ ἐνταῦθα ἡ πρὸ λύπης ἐλπίς· τούτου δ' ἐναντίον ἐν Ὅροις (416 α) ἡ ἐλπὶς ὁρίζεται, ἀγαθοῦ μέλλοντος προσδοκία καλουμένη· ἥκιστ' ἄρα κοινὸν ἂν εἴη Πλάτωνι θάρρους καὶ δέους ὄνομά τι ἡ ἐλπίς, ὥσπερ γε τῷ ταῦτ' ἐν Νόμοις γεγραφότι. Συμφώνως δὲ τῇ φύσει ἡδεῖαν μὲν ἐκεῖνος τὴν ἐλπίδα ἐν Πολιτείᾳ ἐκάλεσε (331 α), ἀγαθὴν δὲ καὶ θαυμαστὴν ἐν Φαίδωνι (67 γ, 98 β), ἀγαθὴν δ' ἔτι Ξενοφῶν τε καὶ Ἀριστοφάνης (Ἀπομν. 2, 1, 18. Πλουτ. 212), καλὴν δὲ Σοφοκλῆς καὶ Ξενοφῶν (Τραχ. 667. Κυρ. Ἀν. 3, 2, 8),

χρηστὴν δὲ ὁ Ἀριστοφάνης (Σφηκ.307). Παίζων δὲ δήπου Πλάτων τὸν φόβον κακὴν ἐλπίδα ἐν Πολιτείᾳ προσεῖπε (330 ε), «ζῇ μετὰ κακῆς ἐλπίδος» περὶ ἀνδρὸς ἀδικήσαντος εἰπών, ἵνα χαριέντως καὶ κομψῶς ἐναντίον τι τῷ αὐτίκα ῥηθησομένῳ εἴπῃ λόγῳ, ὡς «τῷ μηδὲν ἑαυτῷ ἄδικον ξυνειδότι ἡδεῖα ἐλπὶς ἀεὶ πάρεστι». Ἐλπὶς δὲ ἡ προσδοκία ἀηθέστερον ὑπὸ Θουκυδίδου ἔστιν ὅτε καὶ Εὐριπίδου ἐλέχθη, «τὴν ἐλπίδα τοῦ φόβου ἔχουσι (7,61)» καὶ «προσῆλθεν ἐλπὶς ἣν φοβουμένη . . . (Ὀρ. 859)». Ἰδέτω δέ μοι πᾶς ὧδε, ὡς πολλὰ Πλάτων τοιαύτῃ τῇ προσδοκίᾳ ἐχρήσατο· εἶπε γὰρ ἐν Πολιτείᾳ (584 γ) «αἱ ἐκ προσδοκίας γενόμεναι προησθήσεις τε καὶ προλυπήσεις», ἐν δὲ Τιμαίῳ (70 γ) «ἐν τῇ τῶν δεινῶν προσδοκίᾳ», ἐν δὲ Πρωταγόρᾳ (358 δ) «προσδοκία κακοῦ», ἐν δὲ Σοφιστῇ (264 β) «προσδοκίαν ἣν ἐφοβήθησαν», ἐν δὲ Φιλήβῳ (32 γ καὶ 36 γ) «ἡδονῆς καὶ λύπης ἕτερον εἶδος, τὸ αὐτῆς τῆς ψυχῆς διὰ προσδοκίας γενόμενον» καὶ «προσδοκίαι ἀληθεῖς ἢ μή».

(645 ε).

«Ταῦτα τὰ πάθη ἐν ἡμῖν, οἷον νεῦρα ἢ σμήρινθοί τινες ἐνοῦσαι σπῶσί τε ἡμᾶς καὶ ἀλλήλαις ἀνθέλκουσιν ἐναντίαι οὖσαι ἐπ' ἐναντίας πράξεως, οὗ δὴ διωρισμένη ἀρετὴ καὶ κακία κεῖται· μιᾷ γάρ φησιν ὁ λόγος δεῖν τῶν ἕλξεων ξυνεπόμενον ἀεὶ καὶ μηδαμῇ ἀπολειπόμενον ἐκείνης ἀνθέλκειν τοῖς ἄλλοις νεύροις ἕκαστον, ταύτην δ' εἶναι τὴν τοῦ λογισμοῦ ἀγωγήν, χρυσῆν καὶ ἱεράν, ἄλλας δὲ σκληρὰς καὶ σιδηρᾶς».

Ταῦτά τε πάντα καὶ τὰ ἐπὶ τούτοις ἐνταῦθα λεγόμενα εἰς τὰ ἐν Πολιτείᾳ που (415) περὶ χρυσοῦ καὶ ἀργυροῦ καὶ σιδηροῦ ἀνδρῶν γένους εἰρημένα ὁ τὴν σπουδὴν περὶ τοὺς Νόμους ἡμῖν ποιησάμενος βλέπων Ζελλήρῳ δοκεῖ συντεθεικέναι, πάνυ πιθανὰ ἔμοιγε λέγοντι (περὶ Πλάτ. 110).

(645 γ).

«Οὕτω δὴ καὶ κακία δὴ καὶ ἀρετὴ σαφέστερον ἡμῖν διηρθρωμένον ἂν εἴη», καὶ πορρωτέρω που (963 β) «ἔχετον διαρθροῦντες φράζειν πρὸς ἐμέ;»

Τὸ διηρθρῶσθαι ταὐτὰ τῷ διωρίσθαι δυνάμενον καὶ τὸ διαρθροῦν τὸ διορίζεσθαι φράζον μόνον ὁ περὶ τῶν Νόμων τὸν λόγον τοῦτον ποιησάμενος οὕτω μετωνομασμένον εἶπε. Πλάτων δὲ τῇ πρώτῃ τοῦ διαρθροῦν δυνάμει ἑπόμενος καὶ εἰς ταύτην δὴ βλέπων πανταχοῦ τῶν ὁμολογουμένως οἰκείων διαλόγων κέχρηται· τὰ στήθη μὲν γὰρ διήρθρου ἐν Συμποσίῳ εἶπεν (193 α) καὶ «ὀρθὸς διηρθρωμένος» ἐν Φαίδρῳ (251 δ), ἐν δὲ Πρωταγόρᾳ «φωνὴν καὶ ὀνόματα διηρθρώσατο τῇ τέχνῃ» (322 α). Τῇ αὐτῇ δέ που δυνάμει τῷ ῥήματι ἐχρήσατο καὶ Ἱπποκράτης, οἷον διαρθροῦσθαι ῥῖνα κατεαγυῖαν (802 α), καὶ Ἀριστοτέλης, οἷον διηρθρωμένοι δάκτυλοι (Περὶ ζῴ. ἱστ. 2, 12) καὶ Πλούταρχος, οἷον διαρθροῦν τὴν τραυλότητα τῆς γλώσσης (Δημοσθ. 13).

(465 γ).

Ἀθ. «Ἐναργεστέρου αὐτοῦ γενομένου καὶ παιδεία καὶ τἆλλα ἐπιτηδεύματα ἴσως ἔσται μᾶλλον καταφανῆ καὶ δὴ καὶ τὸ περὶ τῆς ἐν οἴνοις διατριβῆς, ὃ δοξασθείη μὲν ἂν εἶναι φαύλου πέρι μῆκος πολὺ λόγων περιττὸν εἰρημένον, φανείη δὲ ταχ' ἂν ἴσως τοῦ μήκους γ' αὐτῶν οὐκ ἀπάξιον».

Τὸ ἀπάξιος πρὸς μυρίοις ἑτέροις καὶ τοῦτο ὃν ἐλέγχεται ὧνπερ οὔτε Πλάτων οὔτε ὁ ὄντως Ἀττικὸς λόγος πᾶς οἶδεν ὀνομάτων· ἐνταῦθα γάρ τοι μόνον αὐτὸ καὶ ἐν τῇ ἑβδόμῃ Πλάτωνος ἐπιστολῇ λεγομένῃ, ἀλλοτρίᾳ δ' ἔργῳ οὔσῃ, ζητοῦντες ἂν εὕροιμεν (324 β). Τῶν δ' Ἀττικιζόντων Δίων ὁ Κάσιος μνήμης οὐκ ἀπάξιον ἔγραφε (44, 52).

(646 β).

Κλειν. «Πῶς δ' οὐκ ἀκουσόμεθα; κἂν εἰ μηδενὸς ἄλλου χάριν, ἀλλὰ τοῦ θαυμαστοῦ τε καὶ ἀτόπου, εἰ δεῖ ἑκόντα ἄνθρωπον εἰς ἅπασαν φαυλότητα ἑαυτὸν ἐμβάλλειν (μεθύοντα). Ἀθ. Ψυχῆς λέγεις· ἦ γάρ; Κλ. Ναί. Ἀθ. τί δέ; σώματος, ὦ ἑταῖρε, εἰς πονηρίαν, λεπτότητα καὶ αἶσχος καὶ ἀδυναμίαν, θαυμάζοιμ' ἂν εἴ ποτέ τις ἑκὼν ἐπὶ τὸ τοιοῦτον ἀφικνεῖται».

Τὴν πονηρίαν φαυλότητα μόνοι οἱ Νόμοι τοῦ Πλάτωνος ἐνταῦθά τε προσεῖπον καί που προσωτέρω (745 δ) χωροῦντι, «τὸ νῦν δὴ λεγόμενον φαυλότητός τε καὶ ἀρετῆς χώρας», ἐναντίαν τῇ ἀρετῇ τὴν φαυλότητα λέγοντες. Τὴν ἀπειρίαν δ' ἀλλαχοῦ καὶ ἄγνοιαν οὗτος φαυλότητα ἐκάλεσεν, οἷον ἐν Ἱππίᾳ μείζονι (286 δ) «Πόθεν, ὦ Σώκρατες, οἶσθα ὁποῖα καλὰ καὶ αἰσχρά; ἐπεί, φέρε, ἔχοις ἂν εἰπεῖν τί ἐστι τὸ καλόν; καὶ ἐγὼ διὰ τὴν ἐμὴν φαυλότητα ἠπορούμην τε καὶ οὐκ εἶχον αὐτῷ κατὰ τρόπον ἀποκρίνασθαι», καὶ ἐν Θεάγει (130 γ) «οὕτως αἰσχύνομαι ἐπὶ τῇ ἐμαυτοῦ φαυλότητι». Καὶ ὡς τὸ ὅλον ἐπεῖν τὸ σμικροῦ ἄξιον καὶ μὴ σπουδαῖον φαυλότης ἂν εἴη, ἀλλ' οὐχὶ ἡ πονηρία· Ξενοφῶν μὲν γὰρ τῆς στολῆς φαυλότητα ἐν Κύρου Παιδείᾳ εἶπε (2, 4, 5) καὶ ἐν Ἀγησιλάῳ τῶν βρωμάτων φαυλότητα (11, 11) καὶ ἀναγκάζει με ταῦτα ὁμολογεῖν ἡ ἐμὴ φαυλότης ἐν Ἀπομνημονεύμασι (4, 2, 25)· παρὰ δὲ Δημοσθένει φαυλότητά που τῶν στρατηγῶν ἀναγιγνώσκομεν, τὸ ἄπειρον αὐτῶν καὶ ἀνάξιον φράζειν βουλομένῳ (περὶ Στεφ. 303).

(646 γ).

«Τί οὖν; τοὺς εἰς τὰ ἰατρεῖα βαδίζοντας ἐπὶ φαρμακοποσίᾳ ἀγνοεῖν οἰόμεθα ὅτι μετ' ὀλίγον ὕστερον καὶ ἐπὶ πολλὰς ἡμέρας ἕξουσι τὸ σῶμα, οἷον εἰ διὰ τέλους ἔχειν μέλλοιεν ζῆν οὐκ ἂν δέξαιντο; ἢ τοὺς ἐπὶ τὰ γυμνάσια καὶ

πόνους ἰόντας οὐκ ἴσμεν, ὡς ἀσθενεῖς εἰς τὸ παραχρῆμα γίγνονται;»

Τί ἄν εἴποι τις τὰς ῥήσεις μετ' ὀλίγον ὕστερον καὶ εἰς τὸ παραχρῆμα ἐνταῦθα μόνον τοῦ Ἀττικοῦ λεχθείσας λόγου ἀντὶ τῶν μυριάκις Πλάτωνί τε καὶ ἄλλοις εἰρημένων ὀλίγον ὕστερον ἢ ὀλίγῳ ὕστερον ἢ τῶν ὁμοίων καὶ παραχρῆμα ἢ ἐν τῷ παραχρῆμα ἢ ἐκ τοῦ παραχρῆμα ἢ ἀπὸ τοῦ παραχρῆμα; Τῷ μὲν γὰρ ὀλίγον ὕστερον ἢ ὀλίγῳ ὕστερον καὶ τοῖς ὁμοίοις ἐντύχοις ἂν ἐν Πλάτωνος μὲν Γοργίᾳ (471 б, 518 α) καὶ Κριτίᾳ (108 α) καὶ Συμποσίῳ (212 δ) καὶ Πολιτείᾳ (327 б) καὶ Εὐθυδήμῳ (272 ε) καὶ σὺν τῷ ἔπειτα ἐν Συμποσίῳ καὶ Πολιτείᾳ (187 б, 406 б), ἐν Ξενοφῶντος δὲ Κύρου Ἀναβάσει (7, 2, 5) καὶ Ἑλληνικοῖς (1) καὶ Κύρου Παιδείᾳ (5, 3, 52), ἐν Ἰσοκράτους δὲ λόγῳ ὀγδόῳ καὶ δεκάτῳ (64), ἐν Θουκυδίδου δὲ βιβλίῳ πρώτῳ (61)· τῷ δὲ παραχρῆμα καὶ οἷς ὑπείπομεν ἄλλοις Πλάτωνος μὲν ἐν Φαίδρῳ (243 б) καὶ Τιμαίῳ (25 ε) καὶ Θεάγει (129 ε) καὶ Πρωταγόρᾳ (253 δ) καὶ Κρατύλῳ (339 δ) καὶ Συμποσίῳ (185 γ) καὶ Πολιτικῷ (310 γ) καὶ Φιλήβῳ (21 γ) καὶ πολλαχοῦ ἀλλαχοῦ, ἐν Θουκυδίδου δὲ ἑβδόμῳ (75), ἐν Δημοσθένους δὲ λόγῳ ἐνάτῳ (7), ἐν Ξενοφῶντος δὲ Ἑλληνικοῖς πολλάκις, (οἷον ἐν 1, 1, 30. 6, 4, 11). Πῶς ἂν οὖν τις εὐθὺς οὕτω δέξαιτο Πλάτωνος εἶναι τῷ πολλαχῇ θαυμαστὸν τοῦτο ἔργον;

(646 δ).

«Ἂν ἄρα τινὰ ἡμῖν ὠφέλειαν ἔχουσα φαίνηται (ἡ περὶ τὸν οἶνον διατριβὴ) μηδὲν τῆς περὶ τὸ σῶμα ἐλάττω, τῇ γε ἀρχῇ τὴν σωμασκίαν νικᾷ, τῷ τὴν μὲν μετ' ἀλγηδόνων εἶναι, τὴν δὲ μή».

Τὸ τῇ ἀρχῇ τοῦτο τῶν Νόμων μόνον ῥῆσις οὖσα τυγχάνει. Πλάτων δὲ καὶ οἱ ἄλλοι Ἀττικοὶ τὴν ἀρχὴν ἢ κατ' ἀρχὴν ἢ κατ' ἀρχὰς καὶ ἐν ἀρχῇ ἀντὶ τούτου λέγειν εἰώθασιν, οἷον Πλάτων μὲν ἐν Συμποσίῳ (190 б) «τὸ ἄρρεν ἦν τοῦ ἡλίου τὴν ἀρχὴν ἔκγονον» καὶ ἐν Πολιτείᾳ (280 ε) «κατ' ἀρχὰς εὐθὺς διωρισά-

μεθα» καὶ ἐν Πρωταγόρᾳ (322 a) «οὕτω παρεσκευασμένοι κατ' ἀρχὰς οἱ ἄνθρωποι» καὶ ἐν Σοφιστῇ (261 a) «τὸ κατ' ἀρχὰς λεχθὲν» καὶ ἐν Τιμαίῳ (73 γ) «ἐν τῇ διανομῇ τῇ κατ' ἀρχάς», Ἱπποκράτης δὲ (285 β) «ὁ ἥλιος ἀνάγει τὴν ἀρχὴν τοῦ ὕδατος τὸ λεπτότατον», Θουκυδίδης δὲ (2, 24) «οὔτε τὴν ἀρχὴν ἀδίκως ἐπὶ τήνδε τὴν γῆν ἤλθομεν» καὶ (6, 4) «Ζάγκλη τὴν ἀρχὴν ἀπὸ Κύμης ᾠκίσθη» καὶ (2, 95) «κατ' ἀρχὰς τῷ πολέμῳ πιεζόμενον» καὶ (1, 35), «ἐν ἀρχῇ ὑπείπομεν», Σοφοκλῆς δ' ἐν Φιλοκτήτῃ (247) «κατ' ἀρχὴν τοῦ πρὸς Ἴλιον στόλου», Δημοσθένης δ' ἐν τῷ γ' Φιλιππικῷ (21) «μέγας ἐκ μικροῦ τὸ κατ' ἀρχὰς ηὔξηται».

Οὐδένα δὲ δήπου Σταλλβαῦμος πείθει λέγων δοτικὴν τοῦ καθ' ὃ τὴν ῥῆσιν ταύτην εἶναι· οὐδὲ γὰρ τυφλὸν αὕτη λανθάνει ἐν τῇ εὐθὺς ἐχομένῃ οὖσα ῥήσει, τῷ τὴν μετ' ἀλγηδόνων εἶναι, τὴν δὲ μή.

(647 a).

«Ἆρ' οὖν οὐκ ἂν νομοθέτης καὶ πᾶς οὗ καὶ σμικρὸν ὄφελος τοῦτον τὸν φόβον ἐν τιμῇ μεγίστῃ σέβοι;».

Τὸ σέβειν ἐνταῦθά τε καὶ ἄλλοθί που τῶν Νόμων μόνον εὑρίσκεται ῥηθέν, «ὁ φύσει καὶ μὴ πλαστῶς τὴν δίκην σέβων (777 δ)». Τῶν τραγῳδοποιῶν δὲ ἄλλως καὶ Ἀριστοφάνους τὸ ῥῆμά ἐστι τοῦτο καί που καὶ Θουκυδίδῃ καὶ Ξενοφῶντι περὶ θεῶν μόνον εἰρημένον. (Αἰσχ. Εὐμ. 22. 525. Ἱκ. 1025. Σοφ. Ἀντ. 745. Ἠλ. 981. Αἰ. 712. Ἀρ. Νεφ. 600. Θουκ. 2. 53. Ξ. Ἀπομ. 4, 4, 19. Ἀγ. 1, 27). Ὁ δὲ συγγραφεὺς οὗτος τὸν φόβον καὶ τὴν δίκην σέβειν εἶπεν, ἀλλ' οὐ τοὺς θεοὺς ὡς ἐκεῖνοι, καὶ ἐν τιμῇ γε δὴ σέβειν τραγικώτερον, ὥσπερ Σοφοκλῆς ἐν Ἀντιγόνῃ (780) «χρημάτων πλῆθος ἐν τιμῇ σέβειν» ἔτυχεν εἰπών, ὅπερ ἂν τοῦ καταλογάδην λόγου οἰκειότερον περὶ πλείστου ποιεῖσθαι ἢ ἐν πλείστῃ τιμῇ ἔχειν ἢ ἄγειν ἢ μάλιστα τιμᾶν ἂν λέγοιτο· σέβειν δὲ τὴν δίκην εἶπεν, ὥσπερ ἐν Ἱκέτισιν ὁ Εὐριπίδης (379) «σύ τοι σέβεις δίκην». Σέβεσθαι δὲ ἱερέα Πλάτωνί που εἴρηται ἐν Πολιτείᾳ (393 ε) καὶ θεὸν σέβεσθαι ἐν Φαίδρῳ (251 a) καὶ σέβεται προσορῶν αὐτόθι

(253 ε) καὶ ἔτι πρὸς τῷ σέβεσθαι (252 α) καὶ ἐν Τιμαίῳ (69 δ) σεβόμενοι μιαίνειν τὸ θεῖον, σέβεσθαι δὲ Κῦρον ὡς πατέρα ἐν Κύρου Παιδείᾳ Ξενοφῶντι (8, 8, 2) καὶ τὰ θεῖα καὶ ἱερὰ ἐσέβοντο ἐν τοῖς Ἑλληνικοῖς (3, 4, 18) καὶ ἐν Ἀγησιλάῳ (3,2.11,1).

(647 6).

«Τά τε ἄλλα πολλὰ καὶ μεγάλα ὁ φόβος ἡμᾶς οὗτος σῴζει καὶ τὴν ἐν τῷ πολέμῳ νίκην καὶ σωτηρίαν ἓν πρὸς ἓν οὐδὲν οὕτω σφόδρα ἡμῖν ἀπεργάζεται».

Οὐκ οἶδ'ὅ,τι δεῖ παραλιπεῖν καὶ τὸ ῥῆμα ἓν πρὸς ἓν ταῖς μυρίαις ἐν Νόμοις μόνον εἰρημέναις ῥήσεσι προσθεῖναι (καὶ ἐν 626 γ καὶ ἐν 738 ε). Περιτύχοις δ' ἂν αὐτῷ ἐν τῇ Θουκυδίδου ξυγγραφῇ τοῦ Ἀττικοῦ λόγου μόνον (2, 92 οὐδ' ἐν τῇ Ἀσίᾳ ἔθνος ἓν πρὸς ἓν οὐκ ἔστιν ὅ,τι δυνατὸν Σκύθαις ὁμογνωμονοῦσι πᾶσιν ἀντιστῆναι) καὶ ἐν τῇ ἀλλοτρίᾳ δὴ Πλάτωνος Ἐπινομίδι (976 ε μία ὡς εἰπεῖν πρὸς μίαν ἡ τὸν ἀριθμὸν δοῦσα παντὶ τῷ θνητῷ γένει τοῦτ' ἂν δράσειε). Ἡγήσασθαι δ' ἐν τῇ χρήσει Ἡρόδοτος δοκεῖ, τοῦ τετάρτου που (50) τῆς ξυγγραφῆς βιβλίου εἰπὼν «ὕδωρ ἓν πρὸς ἓν συμβάλλειν ὁ Νεῖλος πλήθεϊ ἐπικρατέει»· Πλάτων δὲ ἓν ἀνθ' ἑνὸς ἀντὶ τούτου οὐχ ἅπαξ εὑρίσκεται γράψας, οἷον ἐν Πολιτείᾳ (381 6) «ἓν ἀνθ' ἑνὸς οὐκ ἐλάχιστον ἔγωγε θείην ἂν εἰς τοῦτο ἀνδρὶ νοῦν ἔχοντι πλοῦτον χρησιμώτατον εἶναι» καὶ ἐν Φιλήβῳ (632 γ) «πάντων ἡγούμεθά γε νῦν ἄριστον ἓν ἀνθ'ἑνὸς συνοικεῖν ἡμῖν τὸ τοῦ γιγνώσκειν τἆλλα».

(647 6).

«Δύο ἐστὸν τὰ τὴν νίκην ἀπεργαζόμενα, θάρρος μὲν τῶν πολεμίων, φίλων δὲ φόβος αἰσχύνης πέρι κακῆς».

Αἰσχύνην κακὴν μόνον ὁ περὶ τοὺς Νόμους τὴν διατριβὴν ποιησάμενος ἐτόλμησε γράψαι ἀντ' αἰσχύνης ἁπλῶς ἢ δόξης κακῆς καὶ ὁ τὰς ἐπιστολὰς συγγράψας, πᾶς ἄλλος ὢν ἢ Πλάτων, αἰσχύ-

νην κακὴν καὶ οὗτός που εἰπὼν (2, 329 β)· οὐδεὶς δ' ἄλλος τῶν Ἀττικῶν εἶπε συγγραφέων, ἥκιστα δ' ἂν Πλάτων· ἡ γάρ τοι μετὰ τὸ αἰσχρὸν αἰσχύνη κακὴ ἀείποτε τυγχάνει οὖσα· πλήθει γοῦν αὐτῷ μόνον ὁρίσασθαί που συνέβη, οἷον ἐν Γοργίᾳ (487 β) «εἰς τοσοῦτον αἰσχύνης ἐλελύθατον» καὶ ἐν Πολιτείᾳ (571 γ) «ἀπὸ πάσης αἰσχύνης λελυμένος». Πλειστάκις δ' αἰσχύνην ἁπλῶς εὑρίσκεται εἰπών, οἷον ἐν Φαίδρῳ (237 α, 241 α, 243 β, 254 γ) καὶ ἐν Συμποσίῳ (198 γ, 184 ε) καὶ ἐν Γοργίᾳ (508 β, 509 γ, 492 α) καὶ ἐν Σοφιστῇ (230 δ)· καὶ Δημοσθένης δ' ὡσαύτως, οἷον ἐν τῷ περὶ Στεφάνου (254) «αἰσχύνην συμβᾶσαν τῇ πόλει» καὶ ἀλλαχοῦ (272) «ἐν αἰσχύνῃ ποιεῖν τὴν πόλιν»· ἐν δὲ τῷ περὶ Παραπρεσβείας (358) πλήθει αὐτὴν ὡρίσατο γράψας «ἀθάνατον συνθέσθαι τὴν κατὰ τῆς πόλεως αἰσχύνην»».

(647 γ).

«Ἄφοβόν γε ἕκαστον βουληθέντες ποιεῖν φόβων πολλῶν τινων εἰς φόβον ἄγοντες αὐτὸν μετὰ νόμου τοιοῦτον ἀπεργαζόμεθα».

Ἄπορον ἡμῖν οὐχ ἧττον φαίνεται εἶναι καὶ τὸ ἄφοβον φόβων, ᾗπερ Σταλλβαύμῳ τετάχθαι δεῖν δοκεῖ, ἢ τὸ φόβων πολλῶν εἰς φόβον ἄγοντες, ὥς γ' ἕτεροί τινες λεγόμενον ὀρθῶς ἔχειν οἴονται. Τὸ μὲν γὰρ δὴ τραγικώτερόν ἐστι ῥῆμα καὶ οὐ κατὰ Πλάτωνα, ἀλλ' οἷα τὰ πᾶσι γνώριμα Σοφόκλεια ἄλυπος γήρως καὶ ἄλυπος ἄτης καὶ ἄλυπος ἀνίας καὶ ἄνατος κακῶν καὶ τὸ ἄλλοθί που τῶν Νόμων τούτων ἄτιμος τῶν παιδείων τιμῶν (810), ὁμοίως τραγικὸν ὄν, ἐν δὲ τῷ ἀνάγκη που τοὺς φόβους μηδὲν ἄλλο ἢ τὰ δεινὰ δηλοῦν ἢ φοβερά, ᾧπερ οὐδαμοῦ Πλάτων φανερός ἐστιν οὕτω χρησάμενος, πλήν γε ἐν Νόμοις ἐνταῦθά τε καὶ σμικρόν που χωροῦντι (648 β) «εἰς τοὺς φόβους τούτους ἄγειν»· ὅμοιον δ' ἴσως ἂν εἴη ὅπερ Σοφοκλῆς τε ἐν Οἰδίποδι εἶπε Τυράννῳ (917) «ἢν φόβους λέγῃ» καὶ ἐν Αἴαντι (531) «φόβοισιν ἐξελυσάμην» καὶ Αἰσχύλος ἐν τοῖς Ἑπτὰ ἐπὶ Θήβας (134) «ἐπίλυσιν φόβων δίδου».

(647 γ).

«Τί δ', ὅταν ἐπιχειρῶμέν τινα φοβερὸν ποιεῖν μετὰ δίκης, ἆρ' οὐκ ἀναισχυντίᾳ ξυμβάλλοντες αὐτὸν καὶ προσγυμνάζοντες νικᾶν διαμαχόμενον αὐτοῦ ταῖς ἡδοναῖς δεῖ ποιεῖν;»

Τὸ ἀναισχυντίᾳ τινα συμβάλλειν ταὐτόν που ὂν τῷ κινδύνῳ ἀναίσχυντον γενέσθαι ξυμβάλλειν καὶ μονῆρες τὴν χρῆσιν, πέρα τοῦ μετρίου ἂν εἴη κατὰ Πλάτωνα λόγου, ἄλλως τε καὶ εἰ πρεσβυτικὸς ἤδη τυγχάνοι ὢν καὶ ἥκιστ' ἄρα νεανιευόμενος καὶ ποιητικῶς πτερυγίζων, ὥσπερ δὴ τοῖς τοὺς Νόμους δοκιμάζουσι δοκεῖ. Συμβάλλειν δὲ τινί τινα μόνον ἐνταῦθα Πλάτωνος οὕτως ἐλέχθη, καὶ συμβάλλειν τινι, εἰς χεῖρας ἰέναι σημαῖνον, ἐν Μενεξένῳ τῷ πᾶσι νόθῳ διαλόγῳ (242 α). Ἀλλοῖον δὲ δὴ πάντῃ ἐστὶ καὶ οὐδὲν κοινὸν ἔχον τὸ ἐν Πολιτικῷ (285 α) «ταῦτα διαφέροντα συμβάλλουσιν εἰς ταὐτὸν» καὶ ἐν Συμποσίῳ (184 γ) «συμβαλεῖν εἰς ταὐτὸ» καὶ ἐν Πολιτείᾳ (425 γ) ἃ (ξυμβόλαια) πρὸς ἀλλήλους συμβάλλουσι» καὶ ἐν Ἱππίᾳ μείζονι (289 β) «τὸ τῶν παρθένων γένος θεῶν γένει ἄν τις συμβάλλῃ, ἴσα τῷ παραβάλλειν δυνάμενον, καὶ ἐν Κρατύλῳ (412 γ) ῥᾴδιον ξυμβαλεῖν, τὸ γνῶναι ἢ συνιέναι δηλοῦν, καὶ τἆλλα πάντα παρὰ Πλάτωνι πολλοῦ δέοντα τοῦ οἷα τόδε εἶναι.

Τῷ δὲ προσγυμνάζειν τινὶ ἐνταῦθ' ἂν μόνον καὶ εἴ που τῶν ὑστέρων Ἀττικιστῶν ἂν περιτύχοις, Πλουτάρχου τε (Μαρκελ. 27) καὶ Δίωνος τοῦ Χρυσοστόμου (1, 2, 86) καὶ Λιβανίου (154) καὶ Μάρκου Ἀντωνίου (6, 21). Τῶν δ' Ἀττικῶν οὐδεὶς οὐδαμοῦ εἰρηκὼς εὕρηταί μοι ζητοῦντι.

(647 δ).

«ἢ τῇ διαίτῃ τῇ ἐν αὐτῷ προσμαχόμενον καὶ νικῶντα δεῖ τέλειον οὕτω γίγνεσθαι πρὸς ἀνδρείαν, ἄπειρος δὲ δήπου καὶ ἀγύμναστος ὢν τῶν τοιούτων ἀγώνων ὁστισοῦν οὐδ' ἂν ἥμισυς ἑαυτοῦ γένοιτο πρὸς ἀρετήν».

Τί ἄρ' ἂν εἴη ἡ δίαιτα ἡ ἐν αὐτῷ; Οὕτω γάρ τοι τοῦτ' εἰρῆσθαι κινδυνεύει, ὥσπερ ἂν εἴ τις καὶ ἔξω δίαιτα εἴη· Πλάτων δὲ δὴ τὰς κατὰ τὸ σῶμα ἢ τὰς διὰ τοῦ σώματος ἡδονὰς τοῦτο φιλεῖ λέγειν ἤ τι παραπλήσιον (Πολ. 328 δ, 485 δ. Φαίδ. 65 δ).

'Ομοίως δ' ἄτοπον καὶ ἀλογώτερον ἴσως ἂν εὕροις ζητῶν καὶ τὸ προσμάχεσθαί τε καὶ νικᾶν τὴν δίαιταν· ἀνοίκεια γὰρ δὴ ταῦτα καὶ ἀναξιώτατα Πλάτωνος. Ἥκιστα δ' ἂν τὸ πάθος τοῦ λόγου ἰῷτο ὁ δειλίᾳ τὸ διαίτῃ ἐπανορθούμενος· οὐδὲν γὰρ ἧττον θαυμαστόν ἐστι καὶ τοῦτο καὶ ἄπορον καὶ πρὸς τὸ ἄρτι εἰρημένον ἡδοναῖς σφόδρ' ἀντιμαχόμενον· διόπερ καὶ οὐδεὶς τῶν τοὺς Νόμους ἐκδόντων τὸ ἐπανόρθωμα δοκιμάσας φαίνεται.

(647 ε).

«Φόβου φάρμακον ἔσθ' ὅστις θεὸς ἔδωκεν ἀνθρώποις, ὥστε . . . φοβεῖσθαι τὰ παρόντα καὶ τὰ μέλλοντα, . . . ἐκκοιμηθέντα δὲ καὶ τοῦ πώματος ἀπαλλαγέντα πάλιν ἑκάστοτε τὸν αὐτὸν γίγνεσθαι;»

Τῷ ἐκκοιμηθῆναι τούτῳ τῶν Νόμων, ἀντὶ τοῦ ἐγερθῆναι ῥηθέντι, οὐδαμοῦ ἄλλοθι τοῦ Ἕλληνος λόγου ζητῶν ἂν ἐντύχοις· Πλάτων γοῦν καὶ οἱ ἄλλοι συγγραφεῖς τε καὶ ποιηταὶ Ἀττικοί τε καὶ μή, ἀγνοήσαντες παντάπασιν τὸ ἐκκοιμᾶσθαι, πλειστάκις ἐγείρεσθαι ἢ ἐξεγείρεσθαι εὑρίσκονται εἰπόντες, οἷον Αἰσχύλος ἐν Ἀγαμέμνονι (495), Θουκυδίδης ἐν τῷ ἑβδόμῳ (51), Ξενοφῶν ἐν Κύρου Παιδείᾳ (8, 7, 2) καὶ ἐν τοῖς Πόροις (4, 41), Πλάτων ἐν Τιμαίῳ (52 γ) καὶ ἐν Πολιτείᾳ (350 ε) καὶ ἐν Ἀπολογίᾳ (31 α) καὶ ἐν Λύσιδι (204 δ).

(648 δ).

«εἴτε τις μόνος ἐν ἐρημίᾳ . . . πρὸς τοὺς φόβους γυμνάζοιτο, πῶμα μόνον ἀντὶ μυρίων πραγμάτων παρασκευαζόμενος, ὀρθὸν ἄν τι πράττοι, εἴτε τις . . . μηδὲν ὀκνοῖ μετὰ συμποτῶν πλειόνων γυμναζόμενος ἐπιδείκνυσθαι τὴν ἐν τῇ τοῦ πώματος ἀναγκαίᾳ διαφορᾷ δύναμιν ὑπερθέων καὶ κρατῶν».

Τὸ ὑπερθεῖν τι τὸ ὑπερβάλλεσθαί τι φράζειν βουλόμενον οὔτε τοῦ Πλατωνείου οὔτε τοῦ ἄλλου καταλογάδην Ἀττικοῦ λόγου εὑρίσκεται ὄν· τῶν ποιητῶν δὲ Αἰσχύλος καὶ Εὐριπίδης χρησάμενοι φαίνονται (Εὐμ. 562. Ἀνδρ. 195. Ἀρχ. Ἀποσπ. 4), Λουκιανὸς δὲ τῶν Ἀττικιζόντων (Ἐρ. 7).

(648 ε).

Κλειν. «Ναί· σωφρονοῖ γάρ, ὦ ξένε, καὶ ὁ τοιοῦτος οὕτω πράττων».

Ὁ Κλεινίας ἐνταῦθα πρὸς τὸν τοῦ Ἀθηναίου λόγον ὑπολαβὼν εἶπεν ἀργόν ἐστι παντάπασι καὶ οὐκ ἂν ἔχοι λόγον οὐδένα λεγόμενον· εἰπόντος γὰρ τοῦ Ἀθηναίου ὡς ὀρθῶς ἂν ποιοῖ ὅ τε διὰ τέλους τῷ πότῳ ἀντέχων καὶ καρτερῶν καὶ εἴ τις τὴν τοῦ πώματος ἧτταν φοβούμενος πρὸ τῆς ἐσχάτης ἀπαλλάττοιτο πόσεως, ὁ Κλεινίας ναὶ πρὸς ταῦτ' ἀποκρίνεται, οὐδὲν ἐρωτηθείς, «σωφρονοῖ γάρ, ὦ ξένε, καὶ ὁ τοιοῦτος» ἐπάγων, οὐδὲν δέον τῷ ἀληθεῖ τῶν λεγομένων μαρτυρῶν. Ταῦτα δ' ἐτεχνήσατο ἑκάστοτ' ἀδεξίως ἡμῖν ὁ τοὺς Νόμους συγγράψας, ἵνα διάλογος εἶναι ὁ λόγος δοκοῖ, καταγέλαστον τὴν Πλάτωνος διαλεκτικὴν ἀποφαίνων.

(649 α).

«Τοῦ φόβου σχεδὸν οὔτε θεὸς ἔδωκεν ἀνθρώποις τοιοῦτον φάρμακον, οὔτε αὐτοὶ μεμηχανήμεθα· τοὺς γὰρ γόητας οὐκ ἐν θοίνῃ λέγω».

132 «Selbst στεῖρα und πέπειρα dürfen streng genommen nicht angeführt werden. Das Masculinum πέπειρος ist eine spätere bildung aus der Zeit des beginnenden Verfalles der Graecität, während ursprünglich πέπων und πέπειρα sich entsprach wie πίων und πίειρα, Νέων und Νέαιρα. Noch schlechter verbürgt ist die Form στεῖρος: denn bei Euripides Andr. 711 ist zu lesen ἡ στερρὸς οὖσα μόσχος οὐκ ἀνέξεται τίκτοντας ἄλλους, nach den Handschriften Aab».

Γράφει δὲ καὶ ὁ Μελλόρνιος ἐν τῇ Ἑλληνικῇ Γραμματικῇ σελ. 194 «Die Lexika setzen jetzs πέπειρος als Masc. dazu, allein die Stelle Arist. Eccl. 876. ταῖς πεπείροις ist zu unzuverlässig, als dass man darauf ein adjectiv πέπειρος älterer Zeit gründen könnte. Auch müsste ja das α im Fem. lang sein, was zwar nicht Soph. Trach. 727, aber der feste Accent verbietet. Die späteren Dichter der Anthologie haben sich freilich ein πέπειρος gemacht. Lob. Path. p. 39. und Parall. 211. giebt schweigend unsere Ansicht».

Εἰπόντες ἐν τοῖς ἄνω ὅτι ἐκ τοῦ θηλυκοῦ πέπειρα ἐσχηματίσθη τὸ ἐπίθετον πέπειρος ἐξηνέγκομεν γνώμην, ἣν καὶ ἄλλοι πρὸ ἡμῶν φιλόλογοι ἀπεφήναντο.

Ὑπὸ τοῦ Δοιδερλίνου εἶνε γεγραμμένον ἐν τῷ Ὁμηρικῷ Γλωσσαρίῳ § 2240 (Τόμ. Γ', σελ. 202) «Aus πιερίη wird πίειρα wie μάκαιρα aus μακαρία, und dient als Feminin zu πίων, wie πέπειρα zu πέπων. Il. XVIII, 541. πίειραν ἄρουραν, und XIX, 180. δαιτὶ πιείρῃ. Es sind unvermählte Feminina, wie ἀμφιέλισσαι; denn πίειρος kömmt gar nicht vor, und πέπειρος erst spät, ist erst nach πέπειρα geformt».

Ἔγραψε δὲ καὶ ὁ Κυννῆρος ἐν τῇ Διεξοδικῇ Γραμματικῇ τῆς Ἑλληνικῆς Γλώσσης Τόμ. Α', σελ. 418-9 ἐκδ. Β' «Der Form πίειρα entspricht die Femininform πέπειρα Soph. Tr. 728 ὀργὴ πέπειρα zu πέπων, ον, G. πέπον-ος; hieraus ist die Nbf. ὁ ἡ πέπειρος, τὸ πέπειρον hervorgegangen, die öfter von Späteren, aber auch schon von Aristoph. Eccl. 896 gebraucht wird». Ἀλλ', ὡς παρετηρήσαμεν ἐν τοῖς ἔμπροσθεν, ἡ γνησία παρὰ τῷ Ἀριστοφάνει

γραφὴ εἶνε «ἐν ταῖς πεπείρΑΙΣ» (Ἴδε καὶ τὴν ὑπὸ τοῦ Βλασσίου φιλοπονηθεῖσαν ἔκδοσιν τῆς Γραμματικῆς τοῦ Κυννήρου Μέρ. Α', Τόμ. α', σελ. 543).

Παρατιθέμεθα καὶ τὰ ὑπὸ τοῦ Βρουγμανοῦ εἰρημένα ἐν *Morphol. Untersuch.* Μέρ. Β', σελ. 243 «Diess masc. ist jedesfalls erst im anschluss an die femininform aufgekommen, wie πέπειρος neben πέπειρα, Λέαινος neben Λέαινα, μύραινος· μύραινα, ἀρσενικῶς Hesych, ἰδυῖοι neben ἰδυῖα».

Περὶ σχηματισμοῦ ἀρσενικῶν ὀνομάτων ἐκ θηλυκῶν ἐποιησάμεθα λόγον ἐν Ἀθηνᾶς τόμῳ Ε', σελ. 116-7. Πρβ. καὶ Χοιροβοσκ. σελ. 457, 25 κέξ.

Ἐν τῷ πεντηκοστῷ τρίτῳ τῶν Ἀνακρεοντείων στίχ. 2 ἀντὶ τοῦ «ῥόδον τερινόν» ἔγραψεν ὁ Σαλμάσιος τέρεινον, ὃ ἐγκρίνει καὶ ὁ Βέργκιος ἐν τῇ συλλογῇ τῶν Λυρικῶν Ποιητῶν Τόμ. Γ', σελ. 329 ἐκδ. δ' λέγων «quam formam τερεινότερος satis tuetur». Πρβ. καὶ Θησ. Στεφ. Τόμ. Ζ', σελ. 2033 α', ἔνθα γίνεται ἡ παρατήρησις ἥδε· «Ubi tamen etiam ῥόδον τὸ τερπνὸν locum habet». Ἂν ἡ ἀληθὴς γραφὴ εἶνε «ῥόδον τέρεινον», ἔχομεν καὶ ἐπίθετον τέρεινος ἐκ τοῦ θηλυκοῦ τέρεινα ἐσχηματισμένον. Περὶ τοῦ συγκριτικοῦ, ὃ ἀπαντᾷ ἐν τῇ Παλατίνῃ Ἀνθολογίᾳ Ε', 121, 2 «μνοῦ χρῶτα τερεινοτέρη», ὑπάρχει γνώμη ὅτι ἐγένετο ἐκ τοῦ θηλυκοῦ τέρεινα, ὡς ἐκ τοῦ μέλαινα τὸ «ἃς σὺ μελαινοτάτας ἐξ ἀγορᾶς ἐπρίω», ὃ καὶ αὐτὸ φέρεται ἐν τῇ μνημονευθείσῃ Ἀνθολογίᾳ ΙΑ', 68, 2.

Ἐρρήθη δὲ καὶ «λυγμοὶ ἀνέρα καρδιόωντα θαμειότεροι κλονέουσι» ὑπὸ τοῦ Νικάνδρου ἐν τοῖς Ἀλεξιφαρμάκοις στίχ. 581. Καὶ γράφει μὲν ὁ Εὐστάθιος ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 43, 34 «Προϋπόκειται δὲ τοῦ θαμειαί ἀρσενικὸν ὄνομα θαμός ὁ πυκνός, ὃ πλεονασμῷ τῆς ΕΙ διφθόγγου γέγονε θαμειός, ὥσπερ φατός φατειός, κτέ.» (Πρβ. καὶ Λοβέκκιον ἐν Παραλειπ. σελ. 322 κέξ. Ἔτι δὲ Λεξ. Ὁμηρικ. Ἐβελ. Τόμ. Α', σελ. 554). Ἀλλ' οὐδὲν παρ' οὐδενὶ τῶν παλαιῶν παράδειγμα τοῦ ἀρσενικοῦ θαμειός εὑρέθη. Παρ' Ὁμήρῳ λέγεται ἀρσενικῶς μὲν θαμέες καὶ θαμέας καὶ θαμέσι, θηλυκῶς δὲ θαμειαί καὶ θαμειάς. Πρβ. καὶ Ἀγαθοκλ.

παρ' Ἀθην. σελ. 649 ς' «ἀκρεμόνας δ' ἔχει θαμέας καὶ δολιχούς». Εἶνε δ' ἡμῖν παραδεδομένον ὑπὸ τοῦ Ἡρωδιανοῦ ὅτι ὁ μὲν Ἀρίσταρχος ἀνεγίνωσκε θαμειαί, ὡς καὶ ταρφειαί-ταρφειάς, ὁ δὲ Πάμφιλος θαμεῖαι καὶ ὁμοίως τούτῳ ὁ Θρᾷξ Διονύσιος ταρφείας. Γράφει ὁ τεχνικὸς ἐν τῇ Ἰλιακῇ Προσῳδίᾳ «Θαμειαί: Πάμφιλος θαμεῖαι λέγει ὡς ὀξεῖαι. Ἀρίσταρχος δὲ ὡς πυκναί. Ὁμοίως δὲ καὶ τὸ ταρφειαί» (εἰς Α, 52) καὶ «Ταρφειάς: Ἀρίσταρχος ὀξύνει ὡς πυκνάς. Ὁ δὲ Θρᾷξ Διονύσιος ὁμοίως προεφέρετο τῷ ταχείας παρὰ τὸ ταρφύς ἀρσενικόν, οὗ πολλαὶ ἦσαν χρήσεις παρὰ τοῖς παλαιοῖς καὶ παρ' Ὁμήρῳ. Καὶ δῆλον ὅτι ἀναλόγως μὲν ἀναγινώσκει ὁ Θρᾷξ, ἐπεκράτησε δὲ ἡ Ἀριστάρχου» (εἰς Μ, 158) καὶ «Ταρφειαί: Ἀρίσταρχος ἀνέγνω ὡς πυκναί. Οὕτως δὲ καὶ ὁ Ἀσκαλωνίτης καὶ ἐπείσθη ἡ παράδοσις» (εἰς Τ, 355). Ἴδε Λαρόχην ἐν *Homer. Textkr.* σελ. 279 καὶ 360 καὶ Ἀμείσιον ἐν *Anh. zu Hom. Il.* Μέρ. Α', σελ. 35-6 Ἐντζ. Πρβ. καὶ Λεξ. Ὁμηρ. Ἐβελ. Τόμ. Α', σελ. 554 καὶ Τόμ. Β', σελ. 313. Ὁ Ναύκιος ἐν τῇ ἐκδόσει τῆς Ὀδυσσείας Τόμ. Α', σελ. X ὑπερμαχεῖ τῆς ἐκφορᾶς ταρφεῖαι-ταρφείας καὶ θαμεῖαι-θαμείας, σφόδρα δὲ καθάπτεται τοῦ Ἀριστάρχου ἀναγινώσκοντος ταρφειαί-ταρφειάς καὶ θαμειαί (-θαμειάς) νομίζων ὅτι ἐσχημάτιζε ταῦτα ὁ Ἀρίσταρχος ἐξ ἐπιθέτων ταρφειός καὶ θαμειός. Καὶ ὁ Βέργκιος δ' ἐν ἀποσπάσματι τοῦ Ἀρχιλόχου γράφει «οὐδὲ θαμεῖαι σφενδόναι» λέγων (Ποιητ. Λυρ. Τόμ. Β', σελ. 384 ἐκδ. δ') «θαμεῖαι, vulgo θαμειαί, quemadmodum Aristarcho et Ascalonitae placuit, sed iure Pamphilus tenorem θαμεῖαι praeoptavit, vid. sch. Il. A 52». Παρατιθέμεθα καὶ τὰ ὑπὸ τοῦ Leeuwen εἰρημένα ἐν *Enchir. Diction. Epic.* σελ. 229 «Singularis θαμύς non reperitur, sed plurale θαμέες satis est vulgatum; femininum autem θαμεῖαι-ᾶς A 52 etc. quin ad hoc pertineat adiectivum et perperam igitur θαμειαί θαμειάς fuerit scriptum ab Aristarcho aliisque grammaticis, quasi a nominativo θαμειός ductum (cf. Lehrs Arist [2] p. 259), dubium non videtur. Idem est statuendum de feminino ταρφεῖαι-ᾶς M 158 etc., a masculino (ταρφύς) ταρφέες». Πρὸς τὰ ὑπὸ τοῦ Ναυκίου ἐν τῇ ἐκδόσει τῆς Ὀδυσσείας εἰρημένα ἀντιτάσσεται ἰσχυρῶς ὁ Λουδούϊχος ἐν τῷ *Arist. Homer. Textkr.* Τόμ. Β', σελ. 166-7. Ὁ

Μόρρος ἀποφαίνεται ἐν τῇ Ὁμηρικῇ Γραμματικῇ σελ. 97 ἐκδ. β' ὅτι θηλυκά τινα ἔχοντα ἑνικὴν ὀνομαστικὴν περατουμένην εἰς Α βραχὺ τονοῦνται ἐν τῇ ληγούσῃ κατ' ἐκείνας τὰς πτώσεις, ὧν ἡ τελευταία συλλαβὴ εἶνε μακρά, οἷον μία-μιῆς, ἴα-ἰῇ, ταρφύς ταρφεῖα-ταρφειαί ταρφειάς, ἄγυια-ἀγυιῆς ἀγυιαί ἀγυιάς. Οὕτω, λέγει, τὸ θαμειαί θαμειάς ἀναφέρεται εἰς ἑνικὴν ὀνομαστικὴν θαμεῖα, ἀρσεν. ΘΑΜΥΣ (πρβ. θαμέ-ες, θαμέας), καὶ τὸ καυστειρῆς (Ἰλ. Δ, 342, κτλ.) εἶνε γενικὴ τοῦ καύστειρα. Ἡμεῖς συγκατατιθέμεθα τοῖς γράφουσι παροξυτόνως καυστείρης. Γελοιοτάτη δ' εἶνε ἡ γνώμη τῶν γραμματικῶν τῶν δοξαζόντων ὅτι ὑπῆρξεν ἐπίθετον καυστειρός γενόμενον ἐκ τοῦ καυστηρός κατὰ Βοιωτικὴν τροπὴν τοῦ Η εἰς τὴν δίφθογγον ΕΙ (Ἴδε Θησ. Στεφ. Τόμ. Δ', σελ. 1385 δ'. Πρβ. καὶ Λεξ. Ὁμηρ. Ἐβελ. Τόμ. Α', σελ. 690. Ἔτι δὲ Ὄθ. Σνειδῆρον εἰς Νίκανδρ. σελ. 270-1). Ὁ Χοιροβοσκὸς λέγει σελ. 405, 27 «Ἐπὶ τῶν εἰς Α βραχυκαταλήκτων εἰώθασιν οἱ Ἴωνες βαρυτονεῖν τὰς λέξεις, ὡς καὶ ἡμεῖς, οἷον ἄγυια, ἅρπυια, Πλάταια· ὅταν δὲ γένηται ἡ τελευταία συλλαβὴ μακρά, Ἰωνικῷ ἔθει καταβιβάζεται ὁ τόνος, οἷον ὀργυιᾶς, ἀγυιᾶς, Θεσπιᾶς, Πλαταιᾶς — Ἐπειδὴ οὖν τὸ ἴα καὶ μία ἐν τῇ γενικῇ καὶ δοτικῇ μακροκαταληκτοῦσι, τούτου χάριν Ἰωνικῷ ἔθει κατεβίβασαν τὸν τόνον καὶ περιεσπάσθησαν, οἷον ἰᾶς καὶ μιᾶς, ἰᾷ καὶ μιᾷ» (Πρβ. καὶ σελ. 419, 14).

Ἐν τῷ Ὁμηρικῷ Λεξικῷ τῷ μεταφρασθέντι καὶ διασκευασθέντι ὑπὸ τοῦ Πανταζίδου φέρεται σελ. 613 «Ταρφέες, οἱ, Ταρφέα, τά — ἐπικ. ἐλλειπτ. ἐπίθ. μόνον κατὰ πληθ. εὔχρηστον, εἰς ὃ ὑπάγεται καὶ τὸ θηλυκὸν ταρφεῖαι (ὅπως ἐτόνισαν ὁ Βούττμαν. καὶ Βέκκερ. ἐν τῇ Β', ἀντὶ τοῦ συνήθους: ταρφειαί)» καὶ σελ. 295 «Θαμέες — δοτ. θαμέσι, αἰτ. θαμέας, ἐπικ. ἐπίθ. μόνον κατὰ πληθ. καὶ ἀρσεν. (θηλ. δὲ εἶνε μόνον ε 252) — Προϋποθέτει ἑνικὸν τὸ ἄχρηστον θαμύς ἢ θαμής» καὶ «Θαμειός — ή, όν — μόνον ἐν τῇ ὀνομ. καὶ αἰτ. πληθ. τοῦ θηλυκοῦ». Ἐν Ὀδυσσείας Ε, 252 κεῖται «ἀραρὼν θαμέσι σταμίνεσσιν», γράφει δ' ὁ Πανταζίδης ἐν τῷ Ὁμηρικῷ Λεξικῷ σελ. 593 «Σταμίν-ῖνος, **ὁ** — ε 252». Ἀδυνατοῦμεν ἡμεῖς νὰ νοήσωμεν πῶς ἐν τῷ θαμέσι σταμίνεσσιν τὸ μὲν σταμίνεσσιν εἶνε ἀρσενικόν, τὸ δ' ἐπίθετον αὐτοῦ θαμέσι θηλυκόν.

Σημειωτέον δ' ὅτι κατὰ τὸν Ἀπολλώνιον ἐν τῷ περὶ Ἐπιρρημ. σελ. 563, 8 τὸ θαμέες ἐγένετο ἀπὸ τοῦ θαμύς.

Κεφ. 3. **Ὁ πέπειρος-ἡ πέπειρος, ὡς ὁ ἥμερος-ἡ ἥμερος.**

Πολλὰ ἐν τῷ πρώτῳ κεφαλαίῳ παρετέθησαν τοῦ ἐπιθέτου πέπειρος μαρτύρια ἐκ τοῦ παρηκμακότος ἑλληνισμοῦ. Ἐξεφέρετο δὲ τὸ ἐπίθετον τοῦτο, ὃ ἐκ τοῦ παρὰ τοῖς παλαιοῖς Ἕλλησιν ἀπαντῶντος θηλυκοῦ πέπειρα πιθανώτατα σχηματισθὲν σύνηθες παρὰ τοῖς μεταγενεστέροις ἀπέβη, κατὰ τὸν αὐτὸν τύπον ἐπί τε τοῦ ἀρσενικοῦ καὶ τοῦ θηλυκοῦ, οἷον καρπὸς πέπειρος, κτλ., σταφυλὴ πέπειρος, κτλ. Ὑπάρχουσι δ' ἐν τῇ Ἑλληνικῇ καθόλου γλώσσῃ οὐκ ὀλίγα ἁπλᾶ εἰς ΟΣ ἐπίθετα ἔχοντα τὴν αὐτὴν κατάληξιν ἔν τε τῷ ἀρσενικῷ καὶ τῷ θηλυκῷ, οἷον ἥμερος, νύκτερος, πέρπερος, βάρβαρος, κάρχαρος, λάληθρος, λάβρος, λοίδορος, ψίθυρος, φορός, λάλος, σπάταλος (σπαταλός), ἔκηλος, βέβηλος, κίβδηλος, (θάργηλος, θάργηλος χύτρα), ἕωλος, φειδωλός, (μάχλος), δαῦλος, κόλος (κόλος μάχη), ἵλαος, κολοβός, ἀμοιβός, ἀγωγός, ἐδωδός, ὁλκός, (σόλοικος), ἤρεμος, ἔτυμος, ἐτήτυμος, ἐθελημός, βάσκανος, δάπανος, κάρβανος, πλάνος, γεγωνός, θάρσυνος, τιθασός, χέρσος, λίχνος, ἥσυχος. Πρβ. καὶ στυφλός (στυφλὸς γῆ, κτλ.) καὶ τηρός (τηρὸν ἱεροῦ ῥάβδον). Τῶν καταλεχθέντων ἐπιθέτων ἔνια ἔχουσι καὶ ἴδιον τύπον ἐν τῷ θηλυκῷ, οἷον ἡμέρα, ἰων. ἡμέρη, ἐτύμη, φειδωλή, κτλ. Πρβ. ἑτοίμη-ἕτοιμος, χαύνη-χαῦνος, φαύλη-φαῦλος, νόθη-νόθος, αὔη-αὖος (αὔη-αὖος), γαληνή-γαληνός, μάργη-μάργος, μελέα-μέλεος, κτλ. Εἶνε δ' ἐν τῷ ποιητικῷ λόγῳ ἐπὶ θηλυκοῦ παρειλημμένα καὶ τὸ δῆλος, στερρός, ἱερός, θερμός, κοινός, πτωχός, κτλ. Εὕρομεν δὲ καὶ παρ' Ἀπολλωνίῳ τῷ Ἀλεξανδρεῖ «ἡ γνῶσις τῶν κυρίων ὀνομάτων οὐ δῆλος ἅπασιν» καὶ «δῆλος ἡ ἀπὸ τοῦ ἐκεῖνος καὶ τῶν ὁμοίων κλίσις» (περὶ Ἀντων. σελ. 30 γ' καὶ σελ. 123 α'). Ἀλλὰ σκοπὸς ἡμῶν νῦν δὲν ὑπάρχει νὰ ἐξετάσωμεν πῶς μὲν ἔχει ἡ παρὰ τοῖς πεζολόγοις, πῶς δ' ἡ παρὰ τοῖς ποιηταῖς χρῆσις, οὐδὲ τίνες τῶν μνημονευθεισῶν ἐκφορῶν εἶνε ἀλλότριαι τοῦ δοκίμου ἑλληνισμοῦ. Οὐδεὶς δὲ τῶν Ἑλληνικῆς παιδείας γευσαμένων ἀγνοεῖ τὰ κατὰ τὸ θηλυκὸν τοῦ ἔρημος, ἡ ἔρημος-ἡ ἐρήμη.

ΜΕΡΟΣ ΙΓ'.

Κεφ. 1. **Πότνια, πότνιαν.**

Ὁ Ἀσώπιος γράφει ἐν τοῖς Σουτσείοις σελ. 23-4 «λη'. τὴν δὲ ποτνίαν. Ἐν ᾧ τὰ εἰς α θηλυκὰ τῶν εἰς ος τριτοκλίτων ἐπιθέτων ἔχουσι τὸ τελικὸν φωνῆεν ὁμόχρονον τῇ ληγούσῃ τῆς γενικῆς τοῦ ἀρσενικοῦ, δίκαιος, δικαίου, δικαία, ἅγιος, ἁγίου, ἁγία, ποῖος, ποίου, ποία, τὸ δῖα καὶ πότνια ἐξαιροῦνται· οὕτω πότνιαν καὶ οὐχὶ ποτνίαν ἔχει ὁ ὁμηρικὸς ὕμνος εἰς Ἀφροδίτην (στίχ. 24) καὶ ὁ Θεόκριτος (ΙΕ', 14). Τοῦτο γνωρίζουσι καὶ οἱ τὰ πρῶτα στοιχεῖα τῆς ὀρθογραφίας μαθόντες».

Κεῖται δὲ καὶ ἐν τῷ ὑπὸ τοῦ Βάμβα συνταχθέντι Τεχνολογικῷ τῆς Ἀρχαίας Ἑλληνικῆς Γλώσσης σελ. 21 ἐκδ. γ' «Τὰ εἰς ια θηλυκὰ ἐπίθετα τῶν εἰς ιος ἀρσενικῶν, ἔχουσι τὸν τόνον εἰς τὴν αὐτὴν συλλαβὴν μὲ τὴν γενικὴν τοῦ ἀρσενικοῦ, ὡς, ἀξία ἐκ τοῦ ἄξιος ἀξίου· ἁγία ἐκ τοῦ ἅγιος ἁγίου, πλὴν τοῦ πότνια».

Μνημονεύομεν καὶ τὰ ὑπὸ τοῦ Κούμα εἰρημένα ἐν τῇ Γραμματικῇ σελ. 546, § 645 β' «Μακρὸν ἔχουσι τὸ α αἱ καταλήξεις τῶν δευτεροκλίτων ὀνομάτων χωρὶς ἐξαίρεσιν, αα, εα, οα, υα καὶ ωα — καὶ ὅλα τὰ εἰς α καθαρὸν καὶ εἰς ρα λήγοντα. Ἐξαιροῦνται τὰ κανονισμένα — καὶ τὰ ἐπίθετα δῖᾰ, μίᾰ, ὄμπνιᾰ, πότνιᾰ».

Μεγάλως σφάλλεταί τις, ἂν νομίζῃ ὅτι τὸ πότνια θηλυκὸν ὂν τοῦ πότνιος καὶ ὀφεῖλον κατὰ κανόνα νὰ ἔχῃ μακρὸν τὸ Α ἐκφέρεται κατ' ἐξαίρεσιν διὰ βραχείας τῆς ληγούσης. Ἀρσενικὸν πότνιος οὐδέποτε ὑπῆρξεν ἐν τῇ Ἑλληνικῇ γλώσσῃ. Ὁ Βουτμαννὸς γράφει ἐν τῇ Διεξοδικῇ Ἑλληνικῇ Γραμματικῇ Τόμ. Α', σελ. 239 ἐκδ. β' «Das Fem. auf α hat diese Endung immer *lang*, ausser in δῖος, δῖα, δῖον (göttlich); denn πότνια und μία können wir nicht hieher rechnen, da von diesen kein Masc. auf ος existirt» (Ἴδε καὶ τὴν ὑπὸ τοῦ Βλασσίου φιλοπονηθεῖσαν ἔκδοσιν τῆς τοῦ Κυννήρου Διεξοδ. Γραμματικῆς τῆς Ἑλληνικῆς Γλώσσης Μέρ. Α', Τόμ. α', σελ.

524). Λέγεται μὲν ὑπό τινων ὅτι ἐγένετο ἐν τοῖς Ὀρφικοῖς Ὕμνοις χρῆσις τοῦ πότνιε δαῖμον, ἀλλ' ἡ γραφὴ αὕτη εἶνε τοῦ Ἑρμαννοῦ, ὅστις ἐξέδωκεν ἐν Ὕμν. Ι', 20 «μάκαιρα, πολύσπορος, ὡριάς — πλάστειρα, πολύκτιτε, πότνιε δαῖμον» ἀντὶ τοῦ πότνιΑ δαῖμον, ὅπερ ὀρθότατον, ἅτε θηλυκοῦ τοῦ δαῖμον ὄντος, καὶ ἐν Ὕμν. ΙΖ', 8 «κύμασι τερπόμενος θηρσίν θ' ἅμα, πότνιε δαῖμον» ἀντὶ τοῦ ὑγιέστατ' ἔχοντος πόΝΤιε δαῖμον, ὃ καὶ ὑπ' ἄλλων ἐρρήθη ἐπὶ τοῦ Ποσειδῶνος. Ἴδε Βλαϋδέσιον ἐν τῇ ἐκδόσει τῶν Βατράχων τοῦ Ἀριστοφάνους σελ. 474 καὶ ἐν τῇ τοῦ Πλούτου σελ. 351 καὶ ἐν τῇ τῶν Σφηκῶν σελ. 465.

Ἐν τῷ περὶ Τόνων τοῦ Ἀρκαδίου σελ. 95, 14 (Ἐπιτ. τῆς Καθολ. Προσῳδ. Ἡρῳδ. σελ. 109, 4 Σμιδ.) κεῖται «Τὰ ἔχοντα τὸ Α βραχὺ διὰ τοῦ ΤΡΙΑ προπαροξύνεται· αὐλήτρια, ψάλτρια. Τὸ δὲ μετρία καὶ ἀλλοτρία τὸ Α μακρὸν ἔχουσι. Καὶ τὸ πότνια καὶ ὄμπνια προπαροξύνεται». Πρβ. καὶ Χοιροβ. σελ. 323, 17.

Ἐν δὲ τοῖς ἐκ τῶν Ἡρῳδιανοῦ περὶ Διχρόνων φέρεται σελ. 289, 4 «Τὰ εἰς Α λήγοντα καθαρὸν συνεσταλμένον, ὁπότε ἐστὶν ὑπὲρ δύο συλλαβάς, τὴν πρὸ τέλους ἔχει φύσει μακράν· Μήδεια, Θάλεια, Πηνελόπεια, εὔνοια, εὔχροια· ὑπεσταλμένων τῶν πρὸ τέλους ἐχόντων τὴν ΤΡΙ συλλαβήν, οἷον ποιήτρια, μεσήτρια, ὁδηγήτρια, ὀρχήστρια, αὐλήστρια, μαθήτρια. Παράλογος οὖν ὁ πρὸ τέλους χρόνος τοῦ πότνια, ὄμπνια, Πολύμνια, Ἴμνια, Λάμνια· ὅσα δὲ ἔχει πρὸ τέλους τὸ Ι ὑπὲρ δύο συλλαβὰς ὄντα οὐκ ἐν συστολῇ ἔχει τὸ Α, ἀλλ' ἐκτάσει· κακία, φιλία, κοπία, ἐσχατιά. Τοῦ οὖν πότνια καὶ ὄμπνια καὶ τῶν τοιούτων καὶ ἡ πρὸ τέλους ἠλάττωται καὶ ἡ ἐπὶ τέλους». Πρβ. καὶ Δράκ. Στρατον. σελ. 20, 14 κέξ. καὶ Θεόγνωστ. Καν. (Κραμ. Ὀξ. Ἀν.) σελ. 98, 28 κέξ.

Ὀρθῶς ἀντὶ τοῦ κοπία εἶνε σκοπιά γεγραμμένον παρὰ τῷ Δράκοντι σελ. 20, 23 «οὐκ ἐν συστολῇ ἔχει τὸ Α, ἀλλ' ἘΝ ἐκτάσει· κακία, φιλία, σκοπιά, ἐσχατιά».

Τὸν τύπον αὐλήΣτρια βλέπει τις καὶ παρὰ τῷ Δράκοντι σελ. 20, 14 καὶ 19. Ἀλλὰ παρὰ τῷ Ἀρκαδίῳ σελ. 95, 15 καὶ ἐν Κραμ. Ὀξ. Ἀνεκδ. Τόμ. Β', σελ. 98, 26 εἶνε τὸ θηλυκὸν τοῦτο ὄνομα ἄνευ τοῦ Σ προενηνεγμένον· ταύτην δὲ τὴν ἐκφορὰν ὑπολαμβάνομεν εὔλογον· διότι, ὡς ἐκ τοῦ ποιητής, μαθητής, κτλ. σχηματίζονται τὰ

θηλυκὰ ποιήτρια, μαθήτρια, κτλ., οὕτω καὶ ἐκ τοῦ αὐλητής τὸ αὐλήτρια (Ἴδε καὶ Βάστιον εἰς Γρηγόρ. Κορ. σελ. 260 Σχ.). Παρὰ Διογένει τῷ Λαερτίῳ ἁπαντᾷ βιβλ. Ζ', 62 «οἷον αὐλητρὶς πέπτωκε· δηλοῦνται γὰρ δι' αὐτῆς τὸ μὲν τοιοῦτον, οἰκία τρὶς πέπτωκε, τὸ δὲ τοιοῦτον, αὐλήτρια πέπτωκε». Σημειωτέον δ' ὅτι ἐν τῷ δοκίμῳ ἑλληνισμῷ ἐγίνετο χρῆσις τοῦ αὐλητρίς, ὡς καὶ τοῦ ὀρχηστρίς (Πρβ. καὶ Γλωσσ. Παρατηρ. σελ. 194). Ὡς δ' ἐγράφη πλημμελῶς αὐλήΣτρια, οὕτω καὶ αὐληΣτρίς παρὰ τῷ Ἀρκαδίῳ σελ. 33, 22. Ὁ Λοβέκκιος λέγει ἐν τοῖς Παραλειπομένοις σελ. 451 «Arcadius p. 33, 22. τὰ εἰς ρις ἔχοντα πρὸ τοῦ ρ ἕν τι τῶν ψιλῶν ὀξύνεται, παλαιστρίς, αὐληστρίς, cui proximum αὐλήστρια bis legitur ap. Draconem p. 20, 14. et 19. neque suspectum mihi, etsi in Regula Prosod. quam Bastius edidit ad Greg. p. 260. vulgatior forma αὐλήτρια obtinet». Ἄνευ τινὸς ὄκνου ἐκβάλλομεν ἡμεῖς ἐκ τῆς Ἑλληνικῆς γλώσσης τοὺς τύπους αὐλήΣτρια καὶ αὐληΣτρίς ὡς βαρβάρους. Οὐδαμῶς δ' ἐγκρίνομεν τὴν μεταβολὴν τοῦ αὐληστρίς εἰς τὸ αὐλιστρίς, ἣν ἐποιήσατο ὁ Μεινέκιος ἐν τῇ ἐκδόσει Στεφάνου τοῦ Βυζαντίου σελ. 146, 10.

Ἐν τοῖς Παρισιακοῖς Ἀνεκδότοις τοῦ Κραμήρου ἁπαντᾷ Τόμ. Γ', σελ. 137, 2 «χωρὶς τοῦ πότνια, Πολύμνια, Λάμια, Ἰάμια, Ὄμπνια (σημαίνει τὴν Δήμητραν)» καὶ σελ. 351, 2 «χωρὶς τοῦ πότνια, Πολύμνια, Λάμια, Ἰάμνια, Ὄ(μ)πνια (σημαίνει ΔΕ τὴν Δήμητραν)». Ὅθεν ἀναγνωστέον καὶ ἐν τοῖς ἐκ τῶν Ἡρῳδιανοῦ περὶ Διχρόνων «Πολύμνια, Ἰάμνια, Λάμια». Βλέπει δέ τις τὸ Λάμια καὶ ἐν Κραμ. Ὀξ. Ἀν. Τόμ. Β', σελ. 98, 31. Ἴδε Λέρσιον ἐν τῇ Β' ἐκδόσει τριῶν τοῦ Ἡρῳδιανοῦ συγγραμμάτων σελ. 354. Πρβ. καὶ Μεινέκιον ἐν τῇ ἐκδόσει Στεφάνου τοῦ Βυζαντίου σελ. 321, 20.

Ἐκ τῶν τριῶν κωδίκων, ἐν οἷς φέρονται τὰ ἐκ τῶν Ἡρῳδιανοῦ περὶ Διχρόνων, εἷς μόνος ἔχει τὰ ὀνόματα μεσήτρια καὶ ὁδηγήτρια· οὐδεμία δὲ δύναται νὰ ὑπάρχῃ ἀμφιβολία ὅτι ὑπὸ νεωτέρας ταῦτα χειρὸς προσετέθησαν (Πρβ. καὶ Λέρσιον ἐν τῷ μνημονευθέντι βιβλίῳ σελ. 353-4). Ἔχει δὲ πλημμελῶς ἡ διὰ τοῦ Η ἐκφορὰ μεσήτρια, ἣν βλέπομεν καὶ παρὰ τῷ Ἡσυχίῳ λ. πότνα. Ἐν τῷ παρηκμακότι ἑλληνισμῷ ἐσχηματίσθη ὄνομα μεσίτης, οὗ τὸ θηλυκὸν εἶνε μεσῖτις καὶ κατὰ τύπον παράσημον μεσίτρια.

Ἔγραψε δ' ὁ Λέρσιος καὶ «ὅσα ΓΑΡ ἔχει πρὸ τέλους τὸ Ι ὑπὲρ δύο συλλαβὰς ὄντα ΜΗ ΔΙΑ ΤΟΥ ΤΡΙΑ οὐκ ἐν συστολῇ κτέ.» καὶ «Ἢ ἡ πρὸ τέλους ἠλάττωται Ἢ ἡ ἐπὶ τέλους».

Ἄξια παραθέσεως νομίζομεν τὰ ὑπὸ τοῦ Γοιτλιγγίου εἰρημένα ἐν Allgem. Lehr. vom Accent σελ. 292 «Zu bemerken ist, dass das Fem. auf α von Masculinis auf ος stets langes α hat: ἀναγκαῖος, ἀναγκαία, und dass nur einige dichterische Formen, wie πότνια, δῖα, ἀντιπέραια, εὐπατέρεια, ἀργυρόπεζα, ἡδυέπεια u. a., welche (δῖα ausgenommen) ohne Masculinum sind, das α kurz haben. Δία als geographischer Name hat langes α».

Περὶ τοῦ ὀνόματος ὄμπνια-Ὄμπνια παρατηροῦμεν ὅτι εὑρίσκεται καὶ παροξυτόνως προενηνεγμένον ἐν τοῖς εἰς Νίκανδρον Σχολίοις σελ.77, 35 Κειλ. «ἀφ' οὗ καὶ ἡ Δημήτηρ ὀμπνία» καὶ ἐν τῷ Λεξικῷ τοῦ Σουίδα «Ὄμπνιος λειμών: ὁ σῖτος καὶ οἱ Δημητριακοὶ καρποί, ἐπεὶ ὀμπνία ἡ Δημήτηρ λέγεται» (Πρβ. καὶ Παροιμιογρ. Ἑλλ. Τόμ. Α', σελ. 439, 4). Ἀπαντᾷ δὲ καὶ παρὰ τῷ Λυκόφρονι στίχ. 1264 (Τζέτζ. Σχολ. εἰς Λυκόφρ. σελ. 983) «κτῆσιν ἄλλην ὀμπνίαν κειμηλίων».

Ἐν τῷ Λεξικῷ τοῦ Φωτίου κεῖται σελ. 342, 13 «Ὄπνιος λειμών: ὁ σῖτος καὶ οἱ Δημητριακοὶ καρποί, ἐπεὶ Ὀπνία ἡ Δημήτηρ λέγεται» ἀντὶ τοῦ Ὄμπνιος καὶ Ὀμπνία. Ἀλλ' ἐν σελ. 335, 6 εἶνε γεγραμμένον «ὅθεν καὶ ἡ Δημήτηρ Ὄμπνια». Καὶ τοῦτο δ' ὅμως μετεβλήθη εἰς τὸ Ὀμπνία ὑπὸ τοῦ Ναβήρου ἐν τῇ ἐκδόσει τοῦ Λεξικοῦ τοῦ Φωτίου Τόμ. Β', σελ. 17.

Παρὰ τῷ Ἡσυχίῳ κατὰ μὲν τὴν Ἀλβέρτειον ἔκδοσιν φέρεται «Ὀμπνία: καρποφόρος, τροφή, ἄφθονος, ἀγαθή, νόστιμος, ἡ τὸ ἀναπνεῖν ἡμῖν διδοῦσα» καὶ «Ὄμπνειος λειμών: ὁ τῶν πυρίνων καὶ Δημητρίων καρπός, ἐπεὶ Ὀμπνία ἡ Δημήτηρ», κατὰ δὲ τὴν τοῦ Σμιδιτίου «ὄμπνια: καρποφόρος κτέ.» καὶ «ἐπεὶ Ὄμπνια ἡ Δημήτηρ». Δηλοῦμεν δ' ἐν παρόδῳ ὅτι ὀρθῶς μετετυπώθη τὸ τροφή εἰς τὸ τρόφιμος ὑπὸ τοῦ Κυννίου (Ἴδε τὴν ὑπὸ τοῦ Δινδορφίου γενομένην ἔκδοσιν τοῦ Πολυδεύκους Τόμ. Δ', σελ. 43-4).

Ὁ Φρ. Οὐαγνῆρος ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Τραγικῶν Τόμ. Γ', σελ. 158 μόνην τὴν προπαροξύτονον ἐκφορὰν Ὄμπνια ἐγκρίνων ἐπανορθοῖ ὡς ἡμαρτημένην τὴν παροξύτονον Ὀμπνία.

Ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Ε', σελ. 1998 α' Διδ. εἶνε παρατεθειμένα ἐκ μεταγενεστέρων ποιητῶν τὸ «Καίσαρος ἰφθίμοιο παρόψεται ὄμπνια μήτηρ» καὶ τὸ «ὄμπνια Ῥώμη». Ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς τοῦ Εὐσταθίου σελ. 1012, 4 ἀπαντᾷ «ἀφ' ὧν τὸ ζῆν καὶ τὸ ἀναπνεῖν, οὗ ἐμφαντικὴ καὶ ἡ ὄμπνOIα Δημήτηρ», ὃ πλημμελὴς γραφὴ τοῦ ὄμπνια ἢ Ὄμπνια.

Μνημονεύεται καὶ θηλυκὸν ὄμπνιος παρὰ τῷ Σουίδᾳ «Ὄμπνιον νέφος—καὶ ὄμπνιος χεὶρ ἡ πλουσία» καὶ «Ὄμπνιος ἡ Δημήτηρ αἰτία οὖσα τοῦ ἀναπνεῖν». Πρβ. καὶ Φώτ. Λεξ. σελ. 342, 10 καὶ Παροιμιογρ. Ἑλλ. Τόμ. Α', σελ. 286. Παρὰ τῷ Ἡσυχίῳ γίνεται τοῦ συνθέτου ἐπιθέτου ὀμπνιόχειρ μνεία, «Ὀμπν[ε]ιόχειρ: πλουσιόχειρ, πλούσιος».

Κατ' οὐδέτερον γένος ἐλέχθη ὑπὸ τοῦ Σοφοκλέους ὀμπνίου νέφους (Ἀποσπ. 225 Ναυκ.) καὶ ὑπὸ τοῦ Καλλιμάχου ὄμπνιον ἔργον (Ἀποσπ. 183). Πρβ. καὶ Σουίδ. «Ὄμπνιον ὕδωρ: τὸ τρόφιμον καὶ πολύ. Λέγεται καὶ ὀμπνιηρὸν (ὀμπνηρὸν) ὕδωρ τὸ τρόφιμον». Ἴδε Ὄθ. Σνειδῆρον ἐν τῇ ἐκδόσει τῶν Καλλιμαχείων Τόμ. Β', σελ. 440 καὶ 714.

Τοῦ ἀρσενικοῦ γένους ἔχομεν παραδείγματα τὸ τοῦ Μοσχίωνος καρποῦ ὀμπνίου (Ἀποσπ. 6, 10 Ναυκ.) καὶ τὸ τοῦ Ἐρατοσθένους ὄμπνιον καρπόν (σελ. 144 Βερν.) καὶ τὸ τοῦ Λυκόφρονος ὄμπνιον στάχυν (στίχ. 621) καὶ τὸ Ἀπολλωνίου τοῦ Ῥοδίου στάχυν ὄμπνιον (Δ', 989). Πρβ. καὶ ὄμπνιος λειμών, ὃ μνημονεύεται ὑπὸ τοῦ Ἡσυχίου καὶ ἄλλων λεξικογράφων. Ἐν τοῖς εἰς Ἀπολλώνιον τὸν Ῥόδιον Σχολίοις εἶνε γεγραμμένον σελ. 512, 33 Κειλ. «Στάχυν ὄμπνιον: πολύν, δαψιλῆ. Φιλητᾶς ἐν Ἀτάκτοις Γλώσσαις ἀπέδωκεν ὄμπνιον στάχυν τὸν εὔχυλον καὶ τρόφιμον. Κυρηναίων δέ τινες τὸν πλούσιον καὶ εὐδαίμονα ὄμπνιον καλοῦσιν. Ἄμεινον δὲ τὸν φερέσβιον εἰπεῖν, οἱονεὶ ἔμπνοόν τινα ὄντα καὶ ὄμπνιον». Ἴδε καὶ Φρ. Οὐαγνῆρον ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Τραγικῶν Τόμ. Γ', σελ. 158 καὶ Ὄθ. Σνειδῆρον ἐν τῇ ἐκδόσει τῶν Καλλιμαχείων Τόμ. Β', σελ. 393.

Κεφ. 2. **Χῖος, Χία-Χίαν.**

Ἐν τῇ Γραμματικῇ τῆς Ἑλληνικῆς Γλώσσης τῇ ὑπὸ τοῦ ἀοιδί-

μου Γενναδίου συνταχθείση κεῖται σελ. 25, 152 ἐκδ. στερ. «Ἐκ τῶν εἰς α θηλυκῶν ἔχουσι τὸ ληκτικὸν α τῆς ἐνικῆς ὀνομαστικῆς μακρόν. α΄.) Τὰ ἐπίθετα, ὅσων τὸ ἀρσενικὸν εἶνε δευτερόκλιτον· οἷον, ἅγιος-ἁγίᾱ· ἐξαιροῦνται τὸ πέπειρος-πέπειρα καὶ τὰ πάσχοντα κυρίαν συναίρεσιν ἐν τῇ παραληγούσῃ· οἷον, δίϊος-δῖος-δῖᾰ, Χίϊος-Χῖος-Χῖᾰ». Τὰ αὐτὰ φέρονται καὶ ἐν τῇ ὑπὸ τοῦ Παπασλιώτου διασκευασθείσῃ Γραμματικῇ τοῦ Γενναδίου σελ. 92, 283.

Γράφει δὲ καὶ ὁ Παμπούκης ἐν τῇ Γραμματικῇ τῆς Ἀρχαίας Ἑλληνικῆς Γλώσσης σελ. 53, § 145 ἐκδ. β΄ «Ἰδίως δὲ ἐκ τῶν θηλυκῶν ἔχουσι μακρὸν τὸ α· α΄. Ὅλα τὰ θηλ. Ἐπίθετα, ὧν τὸ ἀρσ. πρωτόκλιτον οἷον, ἅγιος-ἁγία· πλὴν τοῦ, πέπειρα, καὶ τῶν πασχόντων κυρίαν συναίρεσιν, οἷον, δίϊος-δῖος, δῖα, Χίϊος-Χῖος-ῖα, καὶ ἄλλων».

Τῷ διδάγματι τούτῳ πεισθέντες καὶ ἡμεῖς ἀβασανίστως (ἐφ' ᾧ σφόδρα νῦν ξενιζόμεθα) ἐδοξάζομεν ἄλλοτε ὅτι εἰς Α βραχὺ ἐπερατοῦτο τὸ θηλυκὸν τοῦ Χῖος, πλημμελῆ δ' ὑπελαμβάνομεν τὴν ἐκφορὰν Χία-Χίαν.

Ὀρθῶς εἶνε γεγραμμένον παρὰ τῷ Θουκυδίδῃ βιβλ. Η΄, 23 «Χίαν ναῦν μίαν» καὶ παρὰ τῷ Ἀππιανῷ σελ. 465, 3 Τευβν. «Χία συμμαχίς» καὶ παρὰ τῷ Διοσκορίδῃ Τόμ. Β΄, σελ. 148, 2 καὶ 14 καὶ 18 «γῆ Χία» καὶ παρὰ τῷ Γαληνῷ Τόμ. Ι΄, σελ. 500 «μαστίχην Χίαν» καὶ Τόμ. ΙΒ΄, σελ. 68 «μαστίχη ἡ λευκὴ καὶ Χία» καὶ σελ. 180 «Σελινουσία τε γῆ καὶ Χία» καὶ σελ. 181 «ἥ τε Σελινουσία καὶ ἡ Χία γῆ» καὶ σελ. 182 «ἥ γε μὴν Χία καὶ ἡ Σελινουσία γῆ» καὶ σελ. 187 «ἡ Χία τε καὶ Σαμία καὶ Σελινουσία» καὶ Τόμ. ΙΔ΄, σελ. 78 «ὑπερέχει πασῶν ἡ Χία» καὶ παρὰ τῷ Ὀρειβασίῳ Τόμ. Β΄, σελ. 501, 3 καὶ σελ. 563, 3 «Σελινουσία γῆ καὶ Χία» καὶ σελ. 507, 1 καὶ σελ. 521, 6 καὶ σελ. 541, 4 καὶ σελ. 584, 5 «μαστίχη Χία» καὶ σελ. 661, 10 «μαστίχη ἡ μὲν λευκὴ καὶ Χία στύφει» καὶ σελ. 704, 4 «ἡ Σελινουσία τε γῆ καὶ Χία» καὶ σελ. 705, 3 «ἡ Σαμία τε καὶ ἡ Χία» καὶ ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις Τόμ. Β΄, σελ. 56, 3 Δινδ. «ἡ δὲ Μασσαλιωτικὴ καὶ ἡ Χία» καὶ σελ. 279, 28 «οὕτως καὶ ἡ Χία».

Ἐντυγχάνει δέ τις τῷ περὶ οὗ ὁ λόγος θηλυκῷ ὀνόματι καὶ ἐν τῇ συναγωγῇ τῶν Ἀττικῶν Ἐπιγραφῶν Β΄, 3410 «Ἀθηναῒς Χία» καὶ

3411 «Ἀσπασία Μητροδώρου Χία» (Τόμ. Β', γ', σελ. 275). Ἐν τῇ ὑπὸ τοῦ Καιβελίου γενομένῃ συλλογῇ τῶν ἐν Σικελίᾳ καὶ Ἰταλίᾳ Ἑλληνικῶν Ἐπιγραφῶν εὕρομεν γεγραμμένον σελ. 692 «Χεῖα Λικινία, χρηστὴ χαῖρε» ἀντὶ τοῦ Χεία (Πρβ. σελ. 728).

Ὅτι τὸ θηλυκὸν τοῦ Χῖος ἐξεφέρετο ὑπὸ τῶν Ἑλλήνων ἐκτεταμένως κατὰ τὴν λήγουσαν δηλοῦται σαφῶς ἐκ τῆς ῥήσεως τοῦ Ἑρμίππου (Ἀποσπ. 55 Κοκκ.):

Χία δὲ κύλιξ ὑψοῦ κρέμαται
περὶ πασσαλόφιν.

Σημειωτέον δ' ὅτι ἐν τοῖς Στοιχείοις τῆς Ἑλληνικῆς Γραμματικῆς τοῖς ἐρανισθεῖσιν ὑπὸ Λεοντίου Μ. Ἀναστασιάδου, ἃ γέμουσι δεινῶν σφαλμάτων, κεῖται ἡ ὑγιῶς ἔχουσα ἐκφορὰ σελ. 85 ἐκδ. ε' «Τὰ εἰς ια θηλυκά, οὐσιαστικὰ μὲν βραχυπαραληκτοῦσι· καρδία· ἐπίθετα δὲ ὁμοχρονοῦσι τοῖς ἀρσενικοῖς· ἅγιος, ἁγία· χῖος, χία».

Περὶ τοῦ δῖα παρατηρεῖ ὁ Ἡρῳδιανὸς ὅτι περατοῦται εἰς Α βραχὺ παρὰ τὸν κανόνα, καθ' ὃν τὰ εἰς Α θηλυκὰ τὰ ἔχοντα ἀρσενικὸν εἰς ΟΣ εἶνε μακροκατάληκτα. Ἔχει δ' ὧδε ὁ λόγος τοῦ Ἡρῳδιανοῦ· «Τὰ εἰς ΟΣ λήγοντα, ὁπότε ἔχει θηλυκὸν εἰς Α λῆγον, πάντα ἔχει ἐκτεταμένον τὸ Α· Ῥόδιος Ῥοδία, Κνίδιος Κνιδία. Σημειῶδες ἄρα κατὰ χρόνον τὸ δῖα γυναικῶν· ὁμοίως δὲ καὶ τὸ ἴα — ὅπερ λέγεται καὶ μία, καὶ τὸ πέπειρα» (περὶ Διχρόν. σελ. 290, 22. Πρβ. καὶ Δράκ. Στρατον. σελ. 79, 14 καὶ Κραμ. Ἀν. Ὀξ. Τόμ. Γ', σελ. 267, 28). Φέρεται δὲ καὶ ἐν τῷ περὶ Τόνων τοῦ Ἀρκαδίου σελ. 194, 22 (Ἐπιτ. τῆς Καθολ. Προσῳδ. τοῦ Ἡρῳδ. σελ. 219 22) «Τὰ εἰς Α λήγοντα θηλυκὰ παρεσχηματισμένα ἀρσενικῷ ὁμόχρονον ἔχει τῷ τέλει τῆς γενικῆς τοῦ ἀρσενικοῦ τὸ Α· ὀξέος ὀξεῖα — Ῥόδιος δὲ Ῥοδία καὶ Σάμιος Σαμία — Σεσημείωται τὸ μία καὶ τὸ δῖα γυναικῶν, τὸ ἴα ἀπὸ τοῦ ἴος ἴου». Πρβ. καὶ Χοιροβοσκ. σελ. 220, 17.

Ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις λέγεται Τόμ. Γ', σελ. 100, 6 Δινδ. «Τὸ δὲ δῖαν Δωρικῶς συνέστειλεν». Ἐν Ἰλιάδος Ζ, 160 ἀπαντᾷ «τῷ δὲ γυνὴ Προίτου ἐπεμήνατο, δῖ' Ἄντεια, κρυπταδίῃ φιλότητι μιγήμεναι», περὶ οὗ γράφει ὁ Εὐστάθιος σελ. 631, 58 «Τὸ δὲ δῖ' Ἄντεια σκληρά ἐστι συναλοιφή, ὡς καὶ ἐν Ὀδυσσείᾳ τὸ δῖ' Εὔμαιε ἤγουν ἐνδοξότατε». Ἀλλ' εἶπεν ὁ Ὅμηρος καὶ δῖ' Ἀφροδίτη καὶ

ἄλλα τούτῳ ὅμοια καὶ ὁ Ἡσίοδος δῖ' Ἀταλάντη. Σημειωτέον δ' ὅτι ἀνεγινώσκετο ὑπό τινων Διάντεια ἀντὶ τοῦ δῖ' Ἄντεια, ὡς μανθάνομεν ἐκ τῶν εἰς Ἰλιάδα Σχολίων Τόμ. Γ', σελ. 288, 8 «Τινὲς δὲ Διάντεια ὁμοῦ ἀναγινώσκουσι, κακῶς, ἀγνοοῦντες ὅτι τὸ δῖα πολλαχῶς παρ' Ὁμήρῳ νοεῖται». Πρβ. καὶ Τόμ. Α', σελ. 234, 29 «Προπερισπαστέον τὸ δῖα καὶ τὸ Ἄντεια προενεκτέον ὡς Κράτεια. Ἔνιοι δὲ ὑπονοήσαντες ἀτόπως ἔχειν τὸ δῖα, κατὰ κόσμον ποιητικὸν προσέρριπται, ὡς καὶ ἐπὶ τοῦ δῖα Κλυταιμήστρη». Ἡ ῥῆσις αὕτη εἶνε προφανῶς πεπηρωμένη· ἵνα δὲ καταστήσῃ αὐτὴν ἀρτίαν ὁ Λέρσιος, ἔγραψεν «ὑπονοήσαντες ἀτόπως ἔχειν τὸ δῖα (Διάντεια ὑφ' ἓν ἀνεγίνωσκον, κακῶς). τὸ δῖα κατὰ κόσμον κτέ.». Ἀλλὰ κάλλιον ἔχει ἡ ὑπὸ τοῦ Κοβήτου γενομένη ἀναπλήρωσις «ὑπονοήσαντες ἀτόπως ἔχειν τὸ δῖα (γράφουσι Διάντεια, κακῶς· ἀγνοοῦσι γὰρ ὅτι) τὸ δῖα κατὰ κόσμον κτέ.» (Ἴδε Δινδόρφιον ἐν τῇ ἐκδόσει τῶν εἰς Ἰλιάδα Σχολίων Τόμ. Α', σελ. 235).

Παρὰ τῷ Ἡσιόδῳ ἀπαντᾷ Θεογον. 260 «δίη τε Μενίππη» καὶ ἐν ῥήσει μνημονευομένῃ ἐν τοῖς εἰς Πίνδαρον Σχολίοις σελ. 437, ἥτις ὑπὸ πολλῶν Ἡσιόδειος ὑπολαμβάνεται, «δίη τε Κελαινώ». Ὑπάρχει δὲ γνώμη, καθ' ἣν ὁ Ἡσίοδος ἀγνοῶν τελέως τὴν ἐκ τοῦ δίFια γένεσιν τοῦ θηλυκοῦ δῖα ἔπλασε τὸν τύπον δίη, ἵνα τῷ ἀρσενικῷ δῖος συζυγῇ τὸ κανονικῶς ἐσχηματισμένον θηλυκὸν δίη, ὡς τῷ θεῖος τὸ θείη (Ἴδε Ῥιζάχιον ἐν τῷ περὶ Διαλέκτου τοῦ Ἡσιόδου σελ. 396. Πρβ. καὶ Γ. Μευῆρον ἐν τῇ Ἑλλην. Γραμματικῇ σελ. 57 καὶ Σίτλιον ἐν τῇ ἐκδόσει τοῦ Ἡσιόδου σελ. 433).

Ἐν τῷ Ῥήσῳ τοῦ Εὐριπίδου ἢ Ψευδευριπίδου φέρεται ὁ μακρὰν τὴν λήγουσαν ἔχων τύπος δία στίχ. 226 «Ἄπολλον, ὦ δία κεφαλά, μόλε τοξήρης». Καὶ ἐγένοντο μὲν μεταβολαὶ ὑπὸ κριτικῶν τοῦ ὦ δία, ἃς βλέπει τις ἐν τῇ Βατηρείῳ ἐκδόσει τοῦ Ῥήσου σελ. 132, ἀλλ' ἰσχυρῶς τῇ παραδεδομένῃ γραφῇ συνηγορεῖ ὁ Δινδόρφιος νομίζων ὅτι καὶ ἐν τῇ Ἰφιγενείᾳ τῇ ἐν Ταύροις στίχ. 402 ἐρρήθη ὑπὸ τοῦ Εὐριπίδου «ἔνθα κούρα δία τέγγει βωμούς» (Ἴδε τὴν ὑπὸ τοῦ Δινδορφίου φιλοπονηθεῖσαν ἔκδοσιν τοῦ Εὐριπίδου Τόμ. Γ', σελ. 516 καὶ 596-7). Παρατηρητέον δ' ὅτι ἔκειτο παρὰ τῷ Εὐριπίδῃ «ἔνθα κούρα διατέγγει βωμούς», ἀνεγνώσθη δ' ὑπὸ τοῦ Ἐλμσληίου «ἔνθα κούρᾳ δίᾳ τέγγει βωμούς», ὃ ἀπεδοκιμάσθη μὲν ὑπὸ τοῦ Δινδορφίου ὑπολαμβάνοντος

ὀρθὸν τὸ κατ' ὀνομαστικὴν προενηνεγμένον «κούρα δία τέγγει», ἀλλ' ἐνεκρίθη ὑπό τε τοῦ Ναυκίου καὶ ἄλλων (Πρβ. καὶ Κλότζιον εἰς Εὐριπ. Ἰφιγ. Τ. σελ. 69).

Ὁ Γοιτλίγγιος ἀποφαίνεται ὅτι μακροκατάληκτον εἶνε τὸ Δία ὡς γεωγραφικὸν ὄνομα (Ἴδε καὶ Θησ. Στεφ. Τόμ. Β', σελ. 1107 β'). Ἀλλὰ παρὰ Στεφάνῳ τῷ Βυζαντίῳ κατὰ τὴν ἔκδοσιν τοῦ Μεινεκίου σελ. 229, 1 φέρεται τὸ προπερισπώμενον Δῖα. Ἐν παρόδῳ παρατηροῦμεν ὅτι ὁ Κόβητος ποιούμενος λόγον περὶ ῥήσεως τοῦ Ἀριστοδήμου ἐν Μνημοσ. 1878, σελ. 234 γράφει «Pag. 356, 8. scribendum arbitror: Ἡ δεξιὰ δὲ ἄκρα τοῦ Πειραιῶς ἥ ἐστιν ἔτι νῦν Δία καλεῖται, pro ΤΑ δεξιά». Ὁ κῶδιξ ἔχει «πετινετινυνδια καλεῖται», οὗ ἡ ὀρθὴ ἀνάγνωσις εἶνε «Ἠετιώνεια καλεῖται» (Ἴδε Ἀποσπ. Ἱστορ. Ἑλλ. Τόμ. Ε', σελ. 9 Μυλλ.).

Κεφ. 3. **Οἷα** ἀντὶ τοῦ **οἵα, ποῖα** ἀντὶ τοῦ **ποία,** κτλ.

Ἐν τῷ ἐμμέτρῳ λόγῳ τοῦ παρηκμακότος ἑλληνισμοῦ εὑρίσκονται θηλυκὰ τελευτῶντα εἰς Α, ἅτινα, καίπερ ἀρσενικοῖς εἰς ΟΣ περατουμένοις συζυγοῦντα, ἔχουσι τὴν λήγουσαν βραχεῖαν, οἷον Παλατ. Ἀνθολ. Η', 89, 3 «τίς νόμος; οἷα δίκη» καὶ 85, 4 καὶ 221, 2 «ποῖα δίκη;» καὶ 43, 4 «τοῖαν ἐμοὶ ζωὴν—ἀντιάσαι». Χριστ. Πάσχ. 1784 «ἀκτῖνα τὴν τριταῖαν» καὶ 1958 «ἀνδρῷαν εἰσφέρουσα τὴν τολμηρίαν». Ἐν τοῖς Σιβυλλιακοῖς Χρησμοῖς εἶνε συνεσταλμένη ἡ λήγουσα τοῦ Ἐρυθραία Λόγ. Θ', 34. Προηνέχθη δὲ βραχέως καὶ τοῦ θηλυκοῦ μικρά τὸ Α ἐν ἐπιγράμματι παρὰ Καιβελίῳ 1118 (σελ. 504) «μικρὰ μὲν ἡ λίθος ἐστίν» (Ἴδε Ῥ. Οὐαγνῆρον ἐν *Quaest. Epigr.* σελ. 48).

Ἄλλα παραδείγματα μνημονεύει ὁ Μεινέκιος ἐν *Del. Poet. Anth. Gr.* σελ. 212 γράφων «Neque offensioni esse potest correptio ultimae syllabae. Poeta inc. Anth. Pal. IX, 32 ὁλκάδα τὰν δείλαιαν ἀεὶ κλόνος. Philodemus V, 132 εἰ δ' ὀπικὴ καὶ χλωρὰ καὶ οὐκ ᾄδουσα τὰ Σαπφοῦς [Palladas X, 97 λίτραν ἐτῶν ζήσας μετὰ γραμματικῆς βαρυμόχθου. Idem XI, 340 πολλῶν γὰρ μωρῶν ἔχθραν ἐπεσπασάμην]. Maximus περὶ κατ. vs. 213 οὐ γάρ τι φέροι λαιψηρὰν ὑγείην. Consulto omisi Antiphilum Anth. Pal.

IX, 551, 2, de quo dixi p. 216 et Platonem Anth. Plan. IV, 160 ἀλλ' ὁ σίδηρος ἔξεσεν, οἵαν Ἄρης ἤθελε τὴν Παφίην, ubi legendum οἵ' ἄν [et Callimach. ed. Blomf. Epigr. II, 4 ἀλλὰ σὺ μέν που, ξεῖν' Ἁλικαρνησσεῦ, τέφρα πάλαι σποδίη, ubi revocanda optima cod. lectio τετράπαλαι σποδιή, a Blomfieldo demum corrupta]».

Παρατιθέμεθα καὶ ἃ λέγει ὁ Ὄθ. Σνειδῆρος ἐν τῇ ἐκδόσει τῶν Καλλιμαχείων Τόμ. Β', σελ. 707 «debebat certe Αἰγεῖα vel Αἴγεια scribere vocali ultima α generis feminini correpta, quod etsi Hecker. Com. crit. in Anthol. I p. 52 negat fieri posse, multis tamen exemplis probavit Meinek. Delect. poet. Anthol. p. 212 seq., cui adde de adiectivis in ειος Buttm. Gram. graec. II 407 (ed. I), δίκραιρα Apoll. Rhod. IV 1613 (cf. Merkel.), ἀντιπέραια Dionys. Perieg. 962 (cf. Bernhardy). nec aliter Ptolemaeo in Hom. Od. XI 597 κραταί' ἴς commendare licuit».

Τὸ ἐπίγραμμα, ἐν ᾧ εἶνε τὸ οἵαν διὰ βραχείας τῆς ληγούσης προενηνεγμένον, ἀναφέρεται μὲν εἰς τὸν Πλάτωνα, ἐποιήθη δ' ὅμως ἐν χρόνοις πολλῷ αὐτοῦ νεωτέροις. Ἀνέγνω δ' ἐν αὐτῷ ὁ Στέφανος «ἀλλ' ὁ σίδηρος ἔξεσ', Ἄρης οἵαν ἤθελε τὴν Παφίην», ὃ καὶ ὁ Βέργκιος ἀπεδέξατο ἐν τῇ συναγωγῇ τῶν Λυρικῶν Ποιητῶν Τόμ. Β', σελ. 308 ἐκδ. δ'. Ἀλλ' οὔτε τοῦτο ἐγκρίνει ὁ Ναύκιος ἐν τοῖς Εὐριπιδείοις Μελετήμασι Τόμ. Α', σελ. 131-2 οὔτε τὸ ὑπὸ τοῦ Μεινεκίου γραφὲν «ἔξεσεν οἵ' ἂν Ἄρης κτέ.». Ὁ Στερνοβάχιος ὑπερμαχεῖ ἐν τοῖς Ἑλληνικοῖς Μελετήμασι τῆς ἐκφορᾶς οἵαν ἀποφαινόμενος ὧδε Μέρ. Α', σελ. 74-5 «Sed cum mediocris ingenii sit foetus, nihil offendo in οἵαν, quo accentu α correptum indicatur, praesertim cum ipsa mensura neque analogiis apud vetustiores careat neque in recentiorum carminibus exempla similia desint vel adeo simillima». Ἐπιφέρει δ' εὐθὺς τὰς ῥήσεις, ἐν αἷς κεῖνται τὸ οἷα δίκη καὶ τὸ ποῖα δίκη καὶ τὸ τοῖαν ζωήν. Σημειωτέον δ' ὅτι παρὰ τῷ Μόσχῳ Εἰδ. Γ', 16 ὁ Ἀρήνσιος ἀκολουθήσας ἀντιγράφοις ἔχουσιν «οἵαν ἐν ὑμετέροις κτέ.» ἐξέδωκε (Βουκολ. Ἑλλ. Τόμ. Α', σελ. 214) «οἵαν ἐν ὑμετέροις ποτὲ κήδεσι γῆρυς ἄειδεν» ἀντὶ τοῦ κοινῶς φερομένου «οἵαν ὑμετέροις ποτὲ χείλεσι γῆρυν ἄειδεν», ὃ καὶ ὑπὸ τοῦ Μεινεκίου εἶνε ἐγκεκριμένον (Θεοκρ. Βί. Μόσχ. σελ.

159 ἐκδ. γ΄) τεθὲν μετὰ τὸν εἰκοστὸν στίχον. Τὴν μετάθεσιν ταύτην ἐποιήσατο πρὸ τοῦ Μεινεκίου ὁ Ἑρμαννὸς ἐν τῇ ἐκδόσει τοῦ Βίωνος καὶ τοῦ Μόσχου (σελ. 25), ἀλλ' ἀνέγνω «οἷά οἱ ἱμερτοῖς ποτὲ χείλεσι γῆρυς ἄειδεν» (Πρβ. καὶ σελ. 72).

Ὑπὸ Στεφάνου τοῦ Βυζαντίου μνημονεύεται χρησμὸς σελ. 8, 7 Μειν., ἐν ᾧ κεῖται «στείχετε μαιόμενοι Σικελῶν Σατουρνίαν αἶαν». Γράφει δ' ὁ Μεινέκιος τὴν σημείωσιν τήνδε· «Σατουρνιαίαν R, Σατορνίαν Dionysius, ubi cod. Vatic. Σατυρνίαν, Macrobii cod. vet. Σατόρνιον. aut hoc probandum aut Σατορνίδα vel Σατουρνίδα et γαῖαν». Παρὰ Διονυσίῳ τῷ Ἁλικαρνασσεῖ Ῥωμ. Ἀρχ. σελ. 51 ἐξέδωκεν ὁ Συλβούργιος «Σατόρνιον αἶαν», ὃ καὶ ἄλλοις ἀποδεκτὸν ἐγένετο. Πρβ. πυρὰ Τραχίνιος, Κιθαιρώνιος ἠχώ, κορύφαν Ἴσθμιον, κτλ.

Ἐν τῇ Θεογονίᾳ τοῦ Ἡσιόδου στίχ. 31 ἀπαντᾷ

ἐνέπνευσαν δέ μοι αὐδὴν
θείην, ἵνα κλείοιμι τά τε ἐσσόμενα πρό τ' ἐόντα.

Εἶνε δ' ὁ στίχος «θείην, ἵνα κλείοιμι κτέ.» πλημμελὴς κατὰ τὸ μέτρον. Ὅθεν ὁ μὲν Στέφανος ἔγραψε «θείην, ὡς κλείοιμι κτέ.», ὁ δὲ Γοιτλίγγιος ἐν μὲν τῇ Α΄ ἐκδόσει τοῦ Ἡσιόδου «δῖαν, ἵνα κλείοιμι», ἐν δὲ τῇ Β΄ «θέσπιν, ἵνα κλείοιμι». Ἐπειδὴ δὲ λέγεται ὑπὸ τοῦ Ἀριστείδου Τόμ. Β΄, σελ. 498 «Καὶ—ἐξεπίτηδες προστίθησιν ἐνέπνευσαν δέ μοι αὐδήν. Καὶ τοῦ μὲν ἔπους ἐτελεύτησε, τοῦ δ' ἐγκωμίου οὐδὲν μᾶλλον, ἀλλὰ καὶ θεσπεσίην πάλιν αὖ προσέθηκε καὶ τό γ' ἔτι κάλλιον—ἵνα κλείοιμι τά τε ἐσσόμενα πρό τε ἐόντα» καὶ ὑπὸ τοῦ Λουκιανοῦ Διαλ. πρὸς Ἡσίοδ. 1 «ἐκεῖνο δὲ ἀπορῆσαι ἄξιον, τί δήποτε προειπὼν ὑπὲρ σαυτοῦ ὡς διὰ τοῦτο λάβοις τὴν θεσπέσιον ἐκείνην ἀοιδὴν παρὰ τῶν θεῶν, ὅπως κλείοις καὶ ὑμνοίης τὰ παρεληλυθότα καὶ θεσπίζοις τὰ ἐσόμενα, θάτερον μὲν καὶ πάνυ ἐντελῶς ἐξενήνοχας κτέ.», ὑπέλαβεν ὁ Μυτζέλιος ἐν τῷ περὶ Διορθώσεως τῆς Ἡσιοδείου Θεογονίας σελ. 377-8 ὅτι ἐγένετο ὑπὸ τοῦ Ἡσιόδου χρῆσις τοῦ ἐπιθέτου θεσπεσίην, μετέγραψε δὲ τὴν ῥῆσιν αὐτοῦ ὧδε·

ἐνέπνευσαν δέ μοι αὐδὴν
θεσπεσίην κλείειν ἅμα τ' ἐσσόμενα πρό τ' ἐόντα.

Ἥκιστ' ἀποδεκτὴ εἶνε ἡ ἀνάγνωσις αὕτη, πιθανὸν δὲ φαίνεται ὅτι ὁ Ἀριστείδης καὶ ὁ Λουκιανὸς εἶχον πρὸ ὀφθαλμῶν τὴν γραφὴν θέσπιν. Ἴδε καὶ Σίτλιον ἐν τῇ ἐκδόσει τοῦ Ἡσιόδου σελ. 64 καὶ 409. Σφόδρα δ' ἀποδοκιμάζομεν τὰ ὑπὸ τοῦ Λεννεπίου γεγραμμένα ἐν τῇ ἐκδόσει τῆς Ἡσιόδου Θεογονίας σελ. 6 «Quod in omnibus Edd. est θείην, exstat item in Florentinis meis omnibus—sed est θεῖαν in Parisinis reliquis—*et hoc postulat sequens* ἵνα; *cumque* ἰθεῖαν *dixerit Hesiodus* Ἔργ. 224, *potest etiam h. l. dixisse* θεῖαν». Ἀτοπώτατα τὸ θηλυκὸν τοῦ θεῖος παραβάλλεται πρὸς τὸ τοῦ ἰθύς· ὅλως δ' ἀδύνατον ἦτο νὰ προενεχθῇ ὑπὸ παλαιοῦ ποιητοῦ τὸ θηλυκὸν τοῦ θεῖος διὰ βραχείας τῆς ληγούσης. Εὑρέθη ἐν ἐπιγράμματι τῶν μεταγενεστέρων χρόνων (Ἀνθολ. Παλατ. Τόμ. Γ', κεφ. Δ', 104, 14, σελ. 419) «εἰκόνα θεῖαν ὁδόου (ὁδεύοις)», περὶ οὗ γράφει ὁ Ἐρουερδὴν ἐν *Stud. Crit. in Epigr. Gr.* σελ. 81 «Notandum θεῖαν dictum pro θείην, ut δῖαν, quod substituere non ausim». Ἐν τῷ Μεγάλῳ Ἐτυμολογικῷ σελ. 449, 15 φέρεται «Θεία: σημαίνει τὴν μητέρα τῆς Σελήνης καὶ τοῦ Ἡλίου. Παρὰ τὴν θέαν γέγονε θέεια καὶ κατὰ συναίρεσιν θεῖα». Ποιεῖται δ' ὁ Συλβούργιος τὴν παρατήρησιν τήνδε· «Θεῖα: Eam formationis rationem habet quam δῖα supra 278, 17». Ἡ ἐκφορὰ Θεῖα εἶνε πλημμελής, ὡς παρετηρήθη καὶ ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Δ', σελ. 273 α'. Τὸν τύπον Θεία δ' ἐγκρίνει ὁ Μυτζέλιος ἀποδοκιμάζων τὸν Θείη ἐν τῷ περὶ Διορθ. τῆς Ἡσιοδ. Θεογον. σελ. 140 κἑξ. καὶ σελ. 408.

Παρὰ τῷ Αἰσχύλῳ Ἑπτ. ἐπὶ Θήβ. 695 ἔχουσι τἀντίγραφα «φίλου γάρ ἐχθρά μοι πατρὸς τελεία ἀρὰ ξηροῖς—ὄμμασι προσιζάνει» καὶ τελεῖ ἀρά καὶ τελεῖ' ἀρά, κτλ. Κατ' οὐδένα τρόπον ἠδύνατο ὁ Αἰσχύλος νὰ εἴπῃ τελεί' ἀρά ἐκθλίψει τοῦ μακροῦ Α. Ὑπὸ τοῦ Στεφάνου ἀνεγνώσθη τέλει' ἀρά, ὃ βλέπει τις καὶ ἐν τῇ ὑπὸ τοῦ Παληίου γενομένῃ ἐκδόσει τῶν Τραγῳδιῶν τοῦ Αἰσχύλου σελ. 291. Ἀποδέχεται δ' αὐτὸ καὶ ὁ Βουτμαννὸς λέγων ἐν τῇ Διεξοδικῇ Ἑλληνικῇ Γραμματικῇ Τόμ. Α', σελ. 239 ἐκδ. ϛ' «Die proparoxytona auf ειος haben gedoch wenn sie dreier Endungen sind das femininum besonders bei Dichtern von gleichem Ton und

Quantität, z. B. Aeschyl. Sept. τέλει' ἀρά, Eur. Rhes. 762. Ἑκτόρεια χείρ, Pind. Ol. 10,20 (11,15. Boe.) Κύκνεια μάχα, Etym. M. p. 451, 50. 461, 45. βασίλεια χείρ u. a.». Παρατιθέμεθα καὶ τὰ κείμενα ἐν τῇ τοῦ Δινδορφίου ἐκδόσει τοῦ Αἰσχύλου Τόμ. Β', σελ. 199 «τελεῖν Turnebi est interpolatio ex Aldina lectione τελεῖ ducta. τέλεια fortasse erunt qui pro τελεία dictum defendant, ut Διομήδεια, Ἑκτόρεια et alia hujusmodi retracto accentu dicuntur, de quo exposui ad Eurip. Rhes. 762. τάλαιν' corrigit Wordsworthus in *the philol. Museum* vol. I. p. 222. collato Eurip. Hipp. 1236. ὦ πατρὸς τάλαιν' ἀρά». Ὁ Βλομφίελδος ἐν τῇ ἐκδόσει τῶν Ἑπτὰ ἐπὶ Θήβας σελ. 65 ἀρέσκεται τῇ ἀναγνώσει τελεῖν ἀρά γράφων «Recipiendum puto τελεῖν, ut sit constructio προσιζάνει τελεῖν. Eum. 674. 730. μένω δ' ἀκοῦσαι. Sophocl. Oed. C. 12. μανθάνειν ἥκομεν. Homer. Iliad. I. 442. Τούνεκά με προέηκε, διδασκέμεναι τάδε πάντα». Ἡμεῖς εἴμεθα τελέως πεπεισμένοι ὅτι οὔτε ὑπὸ τοῦ Αἰσχύλου οὔτε ὑπ' ἄλλου παλαιοῦ Ἕλληνος ἦτο δυνατὸν νὰ προενεχθῇ τὸ θηλυκὸν τοῦ ἐπιθέτου τέλειος διὰ συνεσταλμένου τοῦ Α. Οὐδαμῶς δ' εὔλογον φαίνεται ἐκ τῆς χρήσεως τοῦ Ἑκτόρεια χείρ, Πολυδεύκεια χείρ, Κύκνεια μάχα, Διομήδεια ἀνάγκη, Ἱπποδάμεια ἀγορά, κτλ. νὰ τεκμαίρηταί τις ὅτι ἠδύνατο νὰ ῥηθῇ καὶ τέλεια ἀρά, ἤτοι κατὰ συναλοιφὴν τέλει' ἀρά. Ἐν τῇ Τευβνηρείῳ ἐκδόσει τοῦ Αἰσχύλου παρέλαβεν ὁ Δινδόρφιος τὴν κατ' εἰκασίαν γραφὴν τάλαιν' ἀρά. Ὁ Οὐεκλῖνος ἐγκρίνει τὴν ὑφ' ἑτέρου κριτικοῦ γενομένην ἀνάγνωσιν ἐν τῇ ἐκδόσει τοῦ Αἰσχύλου Τόμ. Α', σελ. 430 «πατρὸς μέλαιν' Ἀρά» λέγων ἐν σελ. 520 «μέλαιν' ἀντὶ τελεῖ (τελεία ὀψιαιτέρα χείρ) κατὰ στίχ. 817 ὁ Weil, ὁ δὲ Wordsworth τάλαιν'».

Ὑπάρχει ἐν τῇ Ἑλληνικῇ γλώσσῃ ἐπίθετον ποιητικὸν ἀγρότερος, οὗ τὸ θηλυκὸν εἶνε ἀγροτέρα, Ἰων. ἀγροτέρη (Ἴδε Βλαϋδέσιον εἰς Σοφοκλ. Φιλοκτ. σελ. 86 καὶ εἰς Ἀριστοφ. Λυσιστρ. σελ. 310). Ἐτίθετο δὲ τὸ θηλυκὸν ἰδίως ἐπὶ τῆς Ἀρτέμιδος, ἥτις καὶ ἁπλῶς Ἀγροτέρα ἐκαλεῖτο, ὡς ἐν τοῖς Ἑλληνικοῖς τοῦ Ξενοφῶντος βιβλ. Δ', 6', 20 «σφαγιασάμενοι οἱ Λακεδαιμόνιοι τῇ Ἀγροτέρᾳ — τὴν χίμαιραν». Ὁ Εὐστάθιος γράφει ἐν ταῖς εἰς Ὅμηρον

Παρεκβολαῖς σελ. 1821, 23 «Ἡ δὲ Ἀττικὴ ἱστορία καὶ Ἄρτεμιν ἀγροτέραν παραδίδωσιν, ὡς καὶ ἡ κωμῳδία δεδήλωκε» καὶ σελ. 1247, 10 «Ὅτι δὲ καὶ ἀπολύτως Ἀγροτέρα λέγεται ἡ Ἄρτεμις ἐπιθετικῶς παρ' Ἀττικοῖς δηλοῦσιν ἄλλοι τε καὶ ὁ κωμικὸς ἐν οἷς λέγει κατὰ χιλίων τῇ Ἀγροτέρᾳ εὔξασθαι» (Ἴδε Ἀριστοφ. Ἱππ. 660). Ἐλέγετο δ' ἀείποτε ἀγροτέρα ἢ Ἀγροτέρα ἐκτεταμένως τῆς τελευταίας συλλαβῆς ἐκφωνουμένης. Ἐν τῇ Λυσιστράτῃ τοῦ Ἀριστοφάνους στίχ. 1262 φέρεται διττὴ γραφή, «ἀγροτέρ' Ἄρτεμι (Ἄρταμι) σηροκτόνε» κτὶ «ἀγρότερ' Ἄρτεμι (Ἄρταμι) σηροκτόνε», τουτέστιν ἀγρότερα. Ἀλλ' οὔτε τὸ ἀγροτέρ' ἔχει ὑγιῶς, ἀδυνάτου οὔσης τῆς ἐκθλίψεως τοῦ μακροῦ Α, οὔτε τὸ ἀγρότερ' ἤτοι ἀγρότερα, ἀνελληνίστου ὑπαρχούσης τῆς κατὰ συστολὴν τοῦ Α ἐκφορᾶς. Ὁ Μεινέκιος νομίζει ἐντελῆ τοῦ ἀγρότερ' τύπον τὸ ἀγρότερε. Μνημονεύομεν τὰ ὑπὸ τοῦ ἐπιφανοῦς φιλολόγου γεγραμμένα ἐν *Vindic. Aristoph.* σελ. 141 «In iis quae statim sequuntur vs. 1262. ἀγρότερ' Ἄρταμι σηροκτόνε, non ferendum esse ἀγρότερε Ἄρταμι. Constanter Graeci eam ἀγροτέραν dicebant, idemque Aristophani reddidi sic, ut ἀγροτέρα Ἄρταμι crasi coalescat; nisi forte ἀγρότειρ' Ἄρταμι scribendum est». Ὁ Βλαϋδέσιος λέγει ἐν τῇ ἐκδόσει τῆς Λυσιστράτης σελ. 149 «Certe non ferendum ἀγρότερ' Ἄρταμι, neque elidi potest ultima in ἀγροτέρα. Glossema mihi videtur Ἄρταμι, et reponendum suspicor ἀγροτέρα σηροκτόνε. Et ita Dind. Confer tamen Th. 115. ἀείσατ' Ἄρτεμιν ἀγροτέραν» καὶ «Quum vero elisionem non patiatur vox ἀγροτέρα (sic enim scribendum, non ἀγρότερα), Ἄρταμι deleverim, ut dimeter evadat troch. catal.—Nisi transponendum potius sic, Ἀγροτέρα σηροκτόν' Ἄρταμι». Περὶ τοῦ Ἄρτεμις ἀγροτέρα, ἡ Ἄρτεμις ἡ ἀγροτέρα, ἀγροτέρα Ἄρτεμις ποιεῖται λόγον ὁ Βλαϋδέσιος ἐν τῇ ἐκδόσει τῶν Ἀριστοφάνους Ἱππέων σελ. 334. Ἀπαντᾷ δὲ καὶ ἐν Ἀττικῇ ἐπιγραφῇ «ἐπόμπευσάν τε τῇ Ἀρτέμιδι τῇ ἀγροτέρᾳ ἐν ὅπλοις» (Ἐπιγρ. Ἀττ. Β', 467, 8, Τόμ. Β', α', σελ. 249) καὶ ἐν τῇ Ἀριστοτέλους Ἀθηναίων Πολιτείᾳ «ὁ δὲ πολέμαρχος θύει μὲν θυσίας τήν τε τῇ Ἀρτέμιδι τῇ ἀγροτέρᾳ κτέ.» (κεφ. 58), ἀνθ' οὗ παρὰ τῷ Πολυδεύκει φέρεται «ὁ δὲ πολέμαρχος θύει μὲν Ἀρτέμιδι ἀγροτέρᾳ» ἄνευ ἄρθρου

(βιβλ. Η', 91). Πρβ. καὶ Ἀρτάμιδος ἀγροτέρας (Ἐπιγρ. Μεγαρ. Ὠρωπ. Βοιωτ. Διττεμβ. 3564, σελ. 660) Ἴδε καὶ τὰ ὑφ' ἡμῶν γεγραμμένα ἐν Ἀθηνᾶς Τόμ. Δ', σελ. 170-1.

ΜΕΡΟΣ ΙΔ'.

Βασιλίσκους — βασιλικούς.

Ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς τοῦ Εὐσταθίου φέρεται σελ. 1375, 7 «Ἐθαυμάζετο δέ, φασί, καὶ κατὰ Σπάρτην μᾶλλον ὁ κάλλιστος καὶ ἡ καλλίστη· πολλῶν δὲ τοιούτων ὁ τόπος εὐφόρει. Διὸ καὶ Ἀρχίδαμος ὁ βασιλεὺς ἐζημιώθη πρὸς τῶν ἐφόρων, οἷα καλῆς γυναικὸς αἰσχρὰν πλουσίαν ἀλλαξάμενος, ἐπεὶ βασιλικοὺς ἀντὶ βαλέων τῇ Σπάρτῃ γεννᾶν προαιρεῖται».

Εἰλημμένα εἶνε ταῦτα ἐκ τῶν Δειπνοσοφιστῶν τοῦ Ἀθηναίου, ἐν οἷς κεῖται σελ. 566 α' «Ἡρακλείδης δὲ ὁ Λέμβος ἱστορεῖ ὅτι κατὰ τὴν Σπάρτην θαυμάζεται μᾶλλον ὁ κάλλιστος καὶ γυνὴ ἡ καλλίστη, καλλίστας γεννώσης τῆς Σπάρτης τὰς γυναῖκας. Διὸ καί φασι περὶ Ἀρχιδάμου βασιλέως, γυναικὸς αὐτῷ καλῆς φαινομένης, ἑτέρας δὲ αἰσχρᾶς καὶ πλουσίας, ὡς ἀπέκλινεν ἐπὶ τὴν πλουσίαν, ζημιῶσαι τοὺς ἐφόρους αὐτὸν ἐπιλέγοντας ὅτι βασιλίσκους ἀντὶ βασιλέων τοῖς Σπαρτιάταις γεννᾶν προαιρεῖται».

Ἐν τοῖς κώδιξι τοῦ Ἀθηναίου εὑρίσκεται γεγραμμένον καὶ βασιλικούς, ἀλλὰ πᾶς τις εὐκολώτατα κατανοεῖ ὅτι ὅλως τῆς προκειμένης ῥήσεως ἀπᾴδει τὸ ἐπίθετον τοῦτο, μόνον δὲ τὸ ὑποκοριστικὸν αὐτῇ ἁρμόζει ὄνομα, ὅπερ ἐπάναγκες εἶνε ν' ἀποκαταστήσωμεν καὶ παρὰ τῷ Εὐσταθίῳ. Σημειωτέον δ' ὅτι τῶν ἀντιγράφων τοῦ Ἀθηναίου ἄλλα μὲν ἔχουσι τοῖς Σπαρτιάταις, ἄλλα δὲ ταῖς Σπάρταις, ἐξ οὗ πορίζόμεθα τὴν γνησίαν γραφὴν ΤΑΙ ΣΠΑΡΤΑΙ· «βασιλίσκους ἀντὶ βασιλέων τᾷ Σπάρτᾳ γεννᾶν προαιρεῖται» (Ἴδε Μεινέκιον ἐν Ἀναλ. Κριτ. εἰς Ἀθην. Δειπνοσ. σελ. 264). Ὁ Εὐστάθιος τρέψας τὸν Δωρικὸν τύπον εἰς κοινὸν εἶπε «βασιλίσκους ἀντὶ βασιλέων τῇ Σπάρτῃ γεννᾶν προαιρεῖται». Εὔδηλον δὲ παντὶ ἀποβαίνει ὅτι κάλλιστα μὲν ἔχει ὁ ἐνεστὼς προαιρεῖται ἐν τοῖς Δειπνοσοφισταῖς τοῦ Ἀθηναίου, ἥκιστα δὲ συνᾴδει τῷ τοῦ Εὐσταθίου λόγῳ, ὅστις ἀπαλλάτ-

τεται, νομίζομεν, τῆς ἀτοπίας ἐκφερόμενος ὧδε· «ἐζημιώθη πρὸς τῶν ἐφόρων, οἷα καλῆς γυναικὸς αἰσχρὰν πλουσίαν ἀλλαξάμενος, ἐΠΙ(λεγόντων ὅΤΙ) βασιλίσκους ἀντὶ βασιλέων τῇ Σπάρτῃ γεννᾶν προαιρεῖται».Οὐδαμῶς συμφωνοῦμεν τῷ Βαλκεναρίῳ μεταβάλλοντι ἐν ταῖς εἰς τὰς Ἀδωνιαζούσαις Σημειώσεσι σελ. 288 γ´ τὸ παρὰ τῷ Ἀθηναίῳ ἐπιλέγοντας εἰς τὸ αἰτίαν λέγοντας. Οὐκ ἀγνοητέον δ' ὅτι ἀντὶ τοῦ «θαυμάζεται μᾶλλον ὁ κάλλιστος καὶ γυνὴ ἡ καλλίστη», τοῦ φερομένου ἐν τῇ ῥήσει Ἡρακλείδου τοῦ Λέμβου, ὁ μὲν Μεινέκιος ἀνέγνω ἐν τοῖς εἰς τοὺς Ἀθηναίου Δειπνοσοφιστὰς Κριτικοῖς Ἀναλέκτοις σελ. 264 «θαυμάζεται μᾶλλον ὁ κάλλιστος (ἀνὴρ) καὶ γυνὴ ἡ καλλίστη», ὁ δὲ Καιβέλιος ἐν τῇ ἐκδόσει τοῦ Ἀθηναίου Τόμ. Γ', σελ. 247 «θαυμάζεται μᾶλλον (πάντων ἀνὴρ) ὁ κάλλιστος καὶ γυνὴ ἡ καλλίστη».

Εὐκολώτατον ἦτο νὰ μεταπέσῃ τὸ βασιλίΣκους εἰς τὸ βασιλικούς. Συνεχύθησαν δὲ καὶ ἐπ' ἄλλων ὀνομάτων αἱ καταλήξεις ΙΣΚΟΣ καὶ ΙΚΟΣ, οἷον νεανίσκος-νεανικός, νεανικός-νεανίσκος, κτλ.

Ὁ Κόβητος γράφει ἐν *Var. Lect.* σελ. 260 «In § 16. Κρῆτα νεανίσκον Cod. A. νεανικόν et saepissime alibi -ίσκος et -ικός confunduntur, ut 5, 54. σωφρονικός et σωφρονίσκος, 45, 20. κυνικός et κυνίσκος. Admoneo Xenophontis gratia, in cuius *Hellenicis* III. iii. 4. perperam legitur οὗτος δ' ἦν καὶ τὸ εἶδος νεανίσκος καὶ τὴν ψυχὴν εὔρωστος, ubi certa emendatione rescribo νεανικός. Cinadon erat corpore robusto et vasto, ut de eo per vim prehendendo diligentissime Ephori caverint et νεανίσκος ad aetatem refertur (τὴν ἡλικίαν), non ad formam corporis (τὸ εἶδος). Idem vitium in Bekkeri *Anecd.* I. p. 365, 8. ἀκμαῖος: νεανίσκος, σφριγῶν: dubitasne νεανικός reponere?». Πρὸ τοῦ Κοβήτου μετετύπωσε τὸ παρὰ τῷ Ξενοφῶντι νεανίσκος εἰς τὸ νεανικός ὁ Ναβῆρος (Ἴδε Δινδόρφιον εἰς Ξενοφ. Ἑλλην. σελ. 160). Καὶ τὸ ἐν τῷ κατὰ Μειδίου λόγῳ τοῦ Δημοσθένους ἁπαντῶν § 71, σελ. 537 «ἀλλ' ἴσασιν ἅπαντες, εἰ δὲ μή, πολλοί γε, Εὔθυνον τὸν παλαίσαντά ποτ' ἐκεῖνον, τὸν νεανίσκον, κτέ.» μετεβλήθη ὑπὸ τοῦ Βαλκεναρίου εἰς τὸ νεανικόν, ὃ ἐνέκρινε καὶ ὁ Κόβητος ἐν Μνημοσ. 1859, σελ. 22.

Ἐν τῷ κώδικι τοῦ Ἡσυχίου φέρεται «Ὀρθαγόρικος: χοιρίδιον μικρόν» ἀντὶ τοῦ ὀρθαγορίΣκος. Πρβ. «ΒορθαγορίΣκια: χοίρεα κρέα. Καὶ μικροὶ χοῖροι βαρθάκεοι. Λάκωνες», ἀνθ' οὗ ὁ Σμιδίτιος ἀκολουθήσας τῷ Σαλμασίῳ ἐξέδωκε «Βορθαγορίσκεα: χοίρεια κρέα. Καὶ μικροὶ χοῖροι βορθαγορίσκοι. Λάκωνες» (Ἴδε Ἄλβερτον εἰς Ἡσύχ. Τόμ. Α', σελ. 742. Πρβ. καὶ Ἀάσιον εἰς Ξενοφ. Λακεδαιμ. Πολιτ. σελ. 255-6 καὶ Ἀρήνσιον ἐν τῷ περὶ Διαλ. Δωρ. σελ. 48 καὶ Τουδεῆρον ἐν τῷ Περὶ Διαλ. Ἑλλ. Δίγ. σελ. 30). Εὔλογον δ' ἡμεῖς νομίζομεν ν' ἀναγνωσθῇ «Καὶ (οἱ) μικροὶ χοῖροι κτέ.».

Βλέπει δέ τις ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου καὶ

Κενταυρίσκος: ἀγροῖκος, ἄγριος.

Κενταυρικῶς: ἀγροίκως, ἀγρίως.

Πιθανώτατον δὲ φαίνεται ὅτι τὰ ἐν τῷ πρώτῳ στίχῳ οὐδὲν ἄλλο εἶνε ἢ ἐπανάληψις πλημμελῶς γενομένη τῶν ἐν τῷ δευτέρῳ, ἃ μόνα ἔγραψεν ὁ Ἡσύχιος ἐξηγούμενος τὸ ἐπίρρημα κενταυρικῶς, οὗ χρῆσιν ἐποιήσατο ὁ Ἀριστοφάνης ἐν τοῖς Βατράχοις στίχ. 38 (Ἴδε Θησ. Στεφ. Τόμ. Δ', σελ. 1436 δ').

Ἐν Ἐπιδημιῶν Δ', 53 εἶνε γεγραμμένον «πρὸς ὃν κυνικὸς εἰσήγαγέ με» ἀντὶ τοῦ Κυνίσκος, ὃ ἔμεινεν ἀδιάφθορον ἐν Ἐπιδημιῶν Ϛ', ζ', 10 «πρὸς ὃν ὁ Κυνίσκος ἤγαγέ με». Ἐπηνωρθώθη δὲ τὸ κυνικός μετατυπωθὲν εἰς τὸ Κυνίσκος ὑπὸ τοῦ Λιτραίου (Ἴδε Ἐρμερίνσιον εἰς Ἱπποκρ. Τόμ. Α', σελ. 551).

Τὸ ἐν ἀποσπάσματι τοῦ κωμικοῦ Πλάτωνος παρ' Ἀθην. σελ. 343 δ' «οἶδ', ᾧ φίλος Μυννίσκος ἔσθ' ὁ Χαλκιδεύς» ἀνεγνώσθη καὶ πλημμελῶς Μύννικος. Σημειωτέον δ' ὅτι ἡ ὑγιῶς ἔχουσα ἐκφορὰ εἶνε ΜυΝΝίσκος οὐχὶ ΜυΝίσκος (Ἴδε Κείλιον ἐν Ἀναλ. Ἐπιγρ. σελ. 210. Πρβ. καὶ Κόκκιον ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Κωμικῶν Τόμ. Α', σελ. 642 καὶ Ἑρουερδῆνα ἐν τοῖς Λίθων περὶ τῆς Ἀττικῆς Διαλέκτου Μαρτυρίοις σελ. 30).

Τὸ κείμενον ἄλλοτε παρὰ τῷ Διοσκορίδῃ περὶ Ὕλ. Ἰατρ. Γ', 134 (144) «οἱ δὲ ἐντατικόν, οἱ δὲ πριαπικὸν ἢ μόριον» μετεβλήθη ἐξ ἀντιγράφου εἰς τὸ πριαπίσκον (Ἴδε Θησ. Στεφ. Τόμ. Ϛ', σελ. 1597 α').

Ἀτόπως εἶνε ἐν τῇ Ξενοφῶντος Λακεδαιμονίων Πολιτείᾳ κεφ. Γ',

5 γεγραμμένον «καὶ τῶν μὲν αὖ παιδικῶν οὕτως ἐπεμελήθη» ἀντὶ τοῦ παιδίσκων. Λέγει δ' ὁ Ξενοφῶν παιδίσκους τοὺς μεταξὺ ὄντας τῶν παίδων καὶ τῶν ἡβώντων, ὡς δηλοῦται ἐκ τῆς ἐν τοῖς Ἑλληνικοῖς βιβλ. Ε', δ', 32 ῥήσεως αὐτοῦ «ὅστις μέντοι παῖς τε ὢν καὶ παιδίσκος καὶ ἡβῶν πάντα τὰ καλὰ ποιῶν διετέλεσε». Πρβ. καὶ Ἡσύχ. «Παιδίσκοι: οἱ ἐκ παίδων εἰς ἄνδρας μεταβαίνοντες» (Ἴδε καὶ Στούρζιον ἐν Λεξ. Ξενοφ. Τόμ. Γ', σελ. 390). Ἀποκατέστησε δὲ τὴν γνησίαν γραφὴν παρὰ τῷ Ξενοφῶντι ὁ Ἀάσιος ἐν τῇ ἐκδόσει τῆς Λακεδαιμονίων Πολιτείας σελ. 102.

Ἐν τῷ Λεξικῷ τοῦ Φωτίου καὶ τῷ τοῦ Σουίδα φέρεται «Ἰσχυρίσκος: ἀντὶ τοῦ ἰσχυρός. Οὕτως Ἄλεξις». Κεῖται δὲ καὶ ἐν τοῖς Βεκκήρου Ἀνεκδότοις σελ. 100, 13 «Ἰσχυρίσκος: ἀντὶ τοῦ ἰσχυρός. Ἄλεξις Προσκεδαννυμένῳ». Ὀρθῶς ὁ Μεινέκιος ἀπεφήνατο ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Κωμικῶν Τόμ. Γ', σελ. 473 ὅτι ἀναγκαίως ἔχει ν' ἀναγνωσθῇ ἰσχυρικός. Ἐλέχθη δὲ καὶ ὑπὸ τοῦ Πλάτωνος ἐν Θεαιτήτῳ σελ. 169 β' «ἰσχυρικώτερος μέντοι ἐγὼ ἐκείνων». Πρβ. Βεκκ. Ἀν. σελ. 100, 14 «Ἰσχυρικώτερον: Πλάτων Θεαιτήτῳ» καὶ Φώτ. Λεξ. σελ. 117, 9 «Ἰσχυρικοί: ἰσχυροί» (Ἴδε Κόβητον ἐν Μνημοσ. 1859, σελ. 22. Ἔτι δὲ Δάμιον ἐν *Observat. in Lex. Seguer* σελ. 36).

Παρὰ τῷ Λόγγῳ Ποιμεν. Α', 10 ἐγένετο πρὸ πολλοῦ ἀποδεκτὸν τὸ «ἡ μὲν ἀνθερίκους ἀνελομένη ποθὲν ἐξ ἕλους ἀκριδοθήραν ἔπλεκε» ἀντὶ τοῦ ἀνθερίσκους. Εὑρέθη δὲ καὶ ἐν ἀντιγράφῳ ἀνθεριας κοὺς, ὡς ἐδήλωσεν ὁ Κόβητος ἐν *Var. Lect.* σελ. 178. Ὁ Σειλῆρος λέγει ἐν τῇ ἐκδόσει τοῦ Λόγγου σελ. 175 «Scripturam ἀνθερίσκος non prorsus esse damnandam demonstrat Grammaticus apud Bekk. Anecdd. p. 403, 15. «Ἀνθερίσκος ὁ καυλὸς τοῦ ἀσφοδελοῦ» (Ἴδε καὶ Ἀρήνσιον ἐν τῇ ἐκδόσει τῶν Βουκολικῶν Ποιητῶν Τόμ. Β', σελ. 470).

Παρὰ τῷ Γαληνῷ Τόμ. ΙΗ', α', σελ. 777 εἶνε γεγραμμένον «αἱ δέ εἰσιν ἐπιδέσεις ἅμα καὶ βρόχοι, ὡς λαγωὸς μετ' ὤτων καὶ βουκολίσκος καὶ οἱ τούτοις ὅμοιοι». Τὸ ἀληθὲς ὄνομα τοῦ βρόχου βλέπομεν παρὰ τῷ Ὀρειβασίῳ Τόμ. Δ', σελ. 257, 10 «ὁ βουκολικὸς βρόχος καλούμενος εἴρηται ὑπό τινων καὶ σανδάλιος» (Ἴδε Θησ.

Στεφ. Τόμ. Β', Προσθ. καὶ Διορθ. λ. βουκολίσκος. Πρβ. καὶ λ. σανδάλιος Τόμ. Ζ', σελ. 57 γ').

Παρατηρητέον δ' ὅτι κατὰ μὲν Ἡρακλείδην τὸν Λέμβον ἐζημιώθη ὁ Ἀρχίδαμος ὑπὸ τῶν ἐφόρων αἰσχρὰν ἤτοι δύσμορφον λαβὼν γυναῖκα, κατὰ δὲ τὸν Θεόφραστον ἐζημίωσαν αὐτὸν οἱ ἔφοροι μικρὰν γυναῖκα γήμαντα. Ὑπὸ τοῦ Πλουτάρχου εἶνε ἡμῖν παραδεδομένα τάδε ἐν τῷ Ἀγησιλάῳ κεφ. Β', 3 «Ὡς δὲ Θεόφραστος ἱστορεῖ, τὸν Ἀρχίδαμον ἐζημίωσαν οἱ ἔφοροι γήμαντα γυναῖκα μικράν· οὐ γὰρ βασιλεῖς, ἔφασαν, ἄμμιν ἀλλὰ βασιλείδια γεννάσει». Ὁ Κόβητος ἐν *Var. Lect.* σελ. 18 μετετύπωσε τὸ ἄμμιν εἰς τὸ ἀμῖν καὶ τὸ γεννάσει εἰς τὸ γεννασεῖ (Πρβ. καὶ *Mnemos.* 1873, σελ. 365 καὶ *Collect. Crit.* σελ. 570).

Κεῖται δ' ἐν τῇ ὑπὸ Πλουτάρχου μνημονευομένῃ ῥήσει τὸ οὐδέτερον ὑποκοριστικὸν βασιλείδιον, ὅπερ παρήχθη ἐκ τοῦ βασιλεύς διὰ τῆς καταλήξεως ΙΔΙΟΝ· βασιλεύς-βασιλέως-βασιλεΐδιον-βασιλείδιον.

Κακῶς ἐν τῷ περὶ Παίδων Ἀγωγῆς συγγράμματι τοῦ Ψευδοπλουτάρχου σελ. 1 δ' ἐξεδόθη ὑπὸ τοῦ Δυβνήρου «Πάνυ δὲ ἄξιον ἐπαινεῖν καὶ Λακεδαιμονίους τῆς μεγαλοφροσύνης· οἵτινες Ἀρχίδαμον τὸν βασιλέα ἑαυτῶν ἐζημίωσαν χρήμασιν, ὅτι μικρὰν τὸ μέγεθος γυναῖκα γάμῳ λαβεῖν ὑπέμεινεν, ὑπειπόντες ὡς οὐ βασιλέας, ἀλλὰ βασιλείδας παρασχεῖν αὐτοῖς διανοοῖτο».

Ὁ Δυβνῆρος οὔτ' ἀσύνετος ἦτο οὔτ' ἀτριβὴς τῶν Ἑλληνικῶν γραμμάτων· ὅθεν λίαν ἡμεῖς θαυμάζομεν πῶς δὲν κατέστη αὐτῷ αἰσθητὴ ἡ πλημμέλεια ἢ ἡ ἀναρμοστία τῆς λέξεως βασιλείδας. Ἡ γνησία γραφὴ εἶνε βασιλείδΙΑ, ἥτις ἐσώθη ἀβλαβὴς ἐν τῇ ῥήσει τῇ ὑπὸ τοῦ Πλουτάρχου ἐν τῷ Ἀγησιλάῳ παρατεθείσῃ.

Ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου γράφει ὁ Λ. Δινδόρφιος Τόμ. Β', σελ. 163 α' «Plut. Mor. p. 1, D: Ἀρχίδαμον τὸν βασιλέα ἑαυτῶν ἐζημίωσαν χρήμασιν, ὅτι μικρὰν τὸ μέγεθος γυναῖκα γάμῳ λαβεῖν ὑπέμεινεν, ὑπειπόντες ὡς οὐ βασιλέας, ἀλλὰ βασιλείδια παρασχεῖν αὐτοῖς διανοοῖτο, aliquot libri praebent βασιλείδας vel βασιλίδας, quod tamen ab eo loco alienum» καὶ σελ. 163 γ' «Re-

petuntur haec in scripti De puer. educ. loco s. βασιλείδης notato, ubi nullius auctoritatis scripturam βασιλίσκους, fortasse ex Athen. 13, p. 566, A ab Stephano illatam, reliquit Wyttenbachius». Σημειωτέον δ' ὅτι ἀνεγνώσθη ὑπό τινος ἘΠειπόντες ἀντὶ τοῦ ὙΠειπόντες.

Τοῦ ὀνόματος βασιλείδης ποιεῖται μνείαν ὁ Σουίδας λέγων «Βασιλείδης: ὁ τοῦ βασιλέως». Ἀποκατέστησαν δ' οἱ ἐκδόται τοῦ Πλάτωνος ἐν τῷ Κριτίᾳ σελ. 116 γ' τὸ «ἐν ᾧ κατ' ἀρχὰς ἐφίτυσαν καὶ ἐγέννησαν τὸ τῶν δέκα βασιλειδῶν γένος» ἀντὶ τοῦ βασιλίδων (Ἴδε Σταλβαύμιον εἰς Πλάτ. Τόμ. Ζ', σελ. 413 καὶ Βερνάρδυν εἰς Σουΐδ. Τόμ. Α', α', σελ. 957). Ὁ Κόβητος ἐν τῇ Μνημοσύνῃ 1875, σελ. 205 ἐξήλειψε τὸ καὶ ἐγέννησαν ὡς παρεμβεβλημένον. Ὑπάρχει ἐν τῇ Ἑλληνικῇ γλώσσῃ καὶ κύριον ὄνομα Βασιλείδης καὶ ἰωνιστὶ Βασιληΐδης. Ὁ Εὐστάθιος γράφει ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 1498, 65 «Προφέρεται δὲ ἡ τούτου (τοῦ Φιλομηλείδης) παραλήγουσα διὰ διφθόγγου, ἴσως ἀπὸ τοῦ Φιλομηλεύς, ὡς καὶ τὸ Ἀριστείδης κύριον καὶ τὸ Βασιλείδης ἐκ τοῦ ἀριστεύς καὶ βασιλεύς». Ὁ Λ. Δινδόρφιος νομίζει ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Β', σελ. 163 β' ὅτι ὀφείλει νὰ γραφῇ παρὰ τῷ Εὐσταθίῳ Ἀριστεύς καὶ Βασιλεύς. Οὐκ ἀγνοητέον δ' ὅτι Βασιλείδης τις ἐγένετο ἀρχηγὸς αἱρέσεως, τῶν ἀπ' αὐτοῦ κληθέντων Βασιλειδιανῶν, περὶ ὧν ποιεῖται λόγον ὁ Ἐπιφάνιος Τόμ. Β', σελ. 22 κἑξ. Δινδ. Ὑπὸ Κλήμεντος τοῦ Ἀλεξανδρέως λέγονται οἱ Βασιλειδιανοὶ καὶ οἱ ἀμφὶ τὸν Βασιλείδην καὶ οἱ ἀπὸ Βασιλείδου (Ἴδε τὰ ὑφ' ἡμῶν γεγραμμένα ἐν τῷ Ἀθηναίῳ Τόμ. Ζ', σελ. 351).

Τὸ ἀρσενικὸν ὑποκοριστικὸν βασιλίσκος ἀπαντᾷ καὶ παρὰ τῷ Πολυβίῳ βιβλ. Γ', μδ', 5 «αὐτὸς δὲ συναγαγὼν τὰς δυνάμεις εἰσήγαγε τοὺς βασιλίσκους τοὺς περὶ Μάγιλον». Ἴδε καὶ Βοίκκιον ἐν τῇ συλλογῇ τῶν Ἑλληνικῶν Ἐπιγραφῶν Τόμ. Β', σελ. 998. Πρβ. καὶ Τόμ. Γ', σελ. 487.

Ἐκαλεῖτο δὲ βασιλίσκος καὶ ὀρνίθιόν τι, ὡς μανθάνομεν ἐκ τῶν Ἠθικῶν τοῦ Πλουτάρχου σελ. 806 ε' «μή, καθάπερ ὁ Αἰσώπου βασιλίσκος ἐπὶ τῶν ὤμων τοῦ ἀετοῦ κομισθεὶς αἰφνίδιον ἐξέπτη καὶ προέφθασεν, οὕτω κτέ.» καὶ ἐκ τῶν Ὀνειροκριτικῶν τοῦ Ἀρτεμιδώρου

σελ. 234, 21 «τὰ δὲ μουσικὰ καὶ ἡδύφωνα φιλολόγους καὶ μουσικοὺς καὶ εὐφώνους, ὡς χελιδὼν καὶ ἀηδὼν καὶ βασιλίσκος καὶ τὰ ὅμοια». Πρβ. καὶ Βλαϋδέσιον εἰς Ἀριστοφ. Ὄρν. σελ. 100.

Εἶχε δὲ καὶ ἰχθὺς τὸ ὄνομα τοῦτο, ὡς δηλοῖ ὁ Ὀππιανὸς λέγων ἐν τοῖς Ἁλιευτικοῖς βιβλ. Α', στίχ. 129 «ἃς κίρρις τε σύαινά τε καὶ βασιλίσκοι, ἐν δὲ μύλοι τρίγλης τε ῥοδόχροα φῦλα νέμονται».

Εἰς ἃ ἐν τοῖς ἡγουμένοις ἐγράψαμεν ποιούμενοι λόγον περὶ ῥημάτων ἐσχηματισμένων ἐξ ὀνομάτων ἐθνικῶν καὶ κυρίων παρέσχον ἀφορμὴν αἱ παρατηρήσεις τοῦ Βαλκεναρίου καὶ τοῦ Βρεδοβίου διαλαμβανόντων περὶ τῶν τύπων ἐκδεδωρίδαται καὶ ἐκδεδωρίωνται· νομίζομεν δ' ὅτι συμβάλλονταί πως τὰ ὑφ' ἡμῶν γεγραμμένα εἰς ἀσφαλεστέραν κρίσιν περὶ τοῦ ὑποκειμένου ἐν τῷ λόγῳ πράγματος. Εἴπομεν πρότερον ὅτι ἀπόβλητον κρίνομεν τὸν τύπον ἐκδεδωρίευνται. Λέγομεν δὲ νῦν ὅτι σφόδρ' ὀκνοῦμεν ἡμεῖς νὰ ἐγκρίνωμεν τὴν γραφὴν τοῦ Βαλκεναρίου ἐκδεδωρίωνται· διότι οὐχὶ ἱκανῶς καθ' ἡμᾶς εὐοδοῦται ὁ τύπος οὗτος οὔτ' ἐκ τοῦ ἐκβαρβαροῦσθαι οὔτ' ἐκ τοῦ αἰγυπτιοῦν. Ῥῆμα δωριοῦν-οῦσθαι καὶ ἐκδωριοῦν-οῦσθαι οὐδέποτ' ἴσως προηνέχθη ὑφ' Ἑλληνικοῦ στόματος. Συνήθης ὑπῆρχε τοῖς Ἕλλησιν

ἡ χρῆσις ῥημάτων παρηγμένων ἐξ ἐθνικῶν ὀνομάτων διὰ τῆς καταλήξεως ΙΖΩ, οἷον μηδίζω, ἑλληνίζω, λακωνίζω, ἀττικίζω, κτλ. Ὅμοιον τούτοις εἶνε τὸ δωρίζω, ἐξ οὗ τὸ ἐπίρρημα δωριστί. Ὡς δ' ἐρρήθη ὑπὸ τοῦ Θουκυδίδου παθητικῶς ἡλληνίσθησαν, ἤτοι Ἕλληνες ἐγένοντο, οὕτως ἠδύνατο κάλλιστα νὰ λεχθῇ καὶ ἐδωρίσθησαν, τουτέστι Δωριεῖς ἐγένοντο, καὶ κατὰ παρακείμενον ἰωνιστὶ προενηνεγμένον δεδωρίδαται, ἤγουν Δωριεῖς γεγόνασιν (ὃ βλέπει τις παρὰ τῷ Παυσανίᾳ Ἀττ. ΛΘ', 5 «Μεγαρεῖς μὲν — ἔθη καὶ φωνὴν μεταβαλόντες Δωριεῖς γεγόνασι») , καὶ μετὰ τῆς προθέσεως ἘΚ τὸ τελέως ἢ ἐντελῶς σημαινούσης ἐκδεδωρίδαται. Φέρεται δ', ὡς ἐδηλώθη, ἐν τοῖς ἀντιγράφοις τοῦ Ἡροδότου καὶ γραφὴ ἐκδεδωριᾶται ἤτοι ἐκδεδωρίαται, ἥτις οὐδὲν ἄλλο πιθανῶς εἶνε ἢ ἐκδεδωρίΔαται. Εὐκολώτατον ἦτο νὰ ἐκρυῇ τὸ Δ πρὸ τοῦ Α. Φαίνεται δ' ὅτι, ἐπειδὴ συγχέονται ὑπὸ τῶν βιβλιογράφων τὸ στοιχεῖον Α καὶ ἡ δίφθογγος ΕΥ, ὡς παρετήρησεν ὁ Κόβητος ἔν τ' ἄλλοις βιβλίοις καὶ ἐν τῷ Λογίῳ Ἑρμῇ Τόμ. Α', σελ. 226 καὶ 452, μετέπεσε τὸ ἐκδεδωρίΑται εἰς τὸ ἐκδεδωρίΕΥται, ὅπερ εἰς πληθυντικὸν ὑποκείμενον ἀναφερόμενον μετεβλήθη, ὡς εἰκός, εἰς τὸ ἐκδεδωρίευΝται.

Ἀπαντᾷ δὲ παρὰ τῷ Ἡροδότῳ καὶ «τούτων βαναυσίης οὐδεὶς δεδάηκε οὐδέν, ἀλλ' ἀνέωνται ἐς τὸ μάχιμον» (βιβλ. Β', 165). Μνημονεύονται δὲ ὑπὸ τοῦ Στεινίου καὶ γραφαὶ ἀλλ' ἀνέονται - ἀλλὰ νέονται καὶ ἀλλ' ἀνεῖνται. Ὁ Βαίριος γράφει ἐν τῇ δευτέρᾳ ἐκδόσει τοῦ Ἡροδότου Τόμ. Α', σελ. 805 «ἀλλ' ἀνεῖνται ἐς τὸ μάχιμον. Vulgo ἀνέονται, quod dictum volunt pro ἀνεῖνται a verbo ἀνίημι, quodque iam H. Stephanus mutatum voluit in ἀνέωνται, probante Wesselingio atque Buttmanno (Gramm. Gr. pag. 541) et Dindorfio (pag. XXXVII), accedente ipsius codicis Florentini auctoriate. Elmslej. ad Euripid. Heracl. 3 scribi voluit ἀνέαται. Equidem cum Bredovio pag. 395 accurate haec tractante et Kuehnero Gr. Gr. §. 211, 2 reposui ἀνεῖνται, ut II, 65». Ἐν τῷ τόπῳ τούτῳ κεῖται τὸ ἑνικὸν ἀνεῖται. Ὁ Μερζιδόρφιος ἰσχυρίζεται ἐν *Stud. Curt.* Τόμ. Η', σελ. 175 ὅτι ἐγράφη ὑπὸ τοῦ Ἡροδότου ἀνέωνται (Πρβ. καὶ Κούρτιον ἐν τῷ *Das Verb.* Τόμ. Β', σελ. 238 ἐκδ. 6 καὶ Σχούλζιον ἐν *Quaest. Epic.* σελ. 228 καὶ Γ.

Μεϋῆρον ἐν Ἑλλην. Γραμματ. σελ. 76-7 καὶ σελ. 639 ἐκδ. γ'. Ἴδε καὶ τὴν ὑπὸ τοῦ Βλασσίου γενομένην ἔκδοσιν τῆς τοῦ Κυννήρου Διεξοδικῆς Γραμματικῆς τῆς Ἑλλην. Γλώσσης Μέρ. Α', Β', σελ. 201 καὶ 209).

Εἴδομεν ὅτι ἐποιήσατο ὁ Ἡρόδοτος χρῆσιν τῶν ῥηματικῶν σχηματισμῶν τετάφαται, κτλ. καὶ ἀγωνίδαται, κτλ. καὶ εἰρέαται, κεκλέαται, κτλ. Ὁ τύπος εἰρέαται καὶ ἕτεροι ὅμοιοι τοῖς μνημονευθεῖσιν ἀπαντῶσι καὶ ἐν τοῖς συγγράμμασι τοῦ Ἱπποκράτους, οἷον

γεγράφαται Τόμ. Γ', σελ. 43 (Γαλην. Τόμ. ΙΗ', Β', σελ. 595).

διακεκόφαται Τόμ. Α', σελ. 378. Φέρεται καὶ γραφὴ διακεκομμέναι εἰσί.

κεκρύφαται Τόμ. Β', σελ. 756 «τὰ ἐπιμήνια κεκρύφαται».

ἀποκεκρύφαται Τόμ. Β', σελ. 870 «τὰ ἐπιμήνια ἀποκεκρύφαται».

εἰθίδαται Τόμ. Α', σελ. 307 «εὐφόρως μὲν φέρουσι τὰ βρώματα ἃ εἰθίδαται—δυσφόρως δὲ φέρουσι τὰ βρώματα ἃ μὴ εἰθίδαται». Ἐν τοῖς ἀντιγράφοις κεῖται καὶ εἰθισμένοι εἰσίν, οὐδὲν ἄλλο ὂν ἢ ἐξήγησις τοῦ Ἰωνικοῦ τύπου (Ἴδε Ἐρμερίνσιον εἰς Ἱπποκράτ. περὶ Διαίτ. Ὀξ. σελ. 167. Πρβ. καὶ Ἰ. Μυλλῆρον ἐν τῇ ἐκδόσει Μικρῶν Συγγραμμάτων τοῦ Γαληνοῦ Τόμ. Β', σελ. XIX). Εἶνε καὶ ἐν ἑτέρῳ τόπῳ εἰρημένον κατὰ περίφρασιν «οὐδὲ προβάλλεσθαι τὰ τοιαῦτα ζητήματα εἰθισμένοι εἰσὶν (εἰσὶ) οἱ ἰητροί», ἀνθ' οὗ ὁ Λιτραῖος ἐξέδωκε κατ' ἀντίγραφον εἴθισται τοῖς ἰητροῖς (Ἴδε Ἐρμερίνσιον εἰς Ἱπποκράτ. Τόμ. Α', σελ. 292). Ἐν τῇ Τευβνηρείῳ τοῦ Ἱπποκράτους ἐκδόσει Τόμ. Α', σελ. 112, 20 κατεχωρίσθη ἡ ἀνάγνωσις τοῦ Ἰλβέργου εἰθίδαται οἱ ἰητροί.

τετεχνέαται Τόμ. Β', 45. Ἴδε Σχαιφῆρον εἰς Γρηγόρ. Κορ. σελ. 485 καὶ Βρεδόβιον ἐν *Quaest. Crit. de Dial. Herod.* σελ. 289.

εἰρέαται Τόμ. Β', σελ. 482 «ταῦτα μὲν ἐς τοῦτό μοι εἰρέαται» καὶ σελ. 485 «ταῦτα μέν μοι εἰρέαται ἐς τοῦτο» καὶ σελ. 490 «ταῦτα δέ μοι ἐς τοῦτο εἰρέαται». Ὁ Ματθίας γράφει ἐν Διεξοδ. Ἑλλην. Γραμματ. σελ. 465 ἐκδ. γ' «εἰρέαται Herod. 7, 81. st. εἴρηνται, welches bei Hippokr. T. I. p. 373. 374. 376. 707. etc st. εἴρηται zu stehen scheint». Ἀλλ' ὁμοίως τῷ ταῦτα εἰρέα-

ται εἶνε λελεγμένον τὰ ἐπιμήνια κεκρύφαται καὶ τὰ ἐπιμήνια ἀποκεκρύφαται. Παρατηρητέον δ' ὅτι ἐν τῷ περὶ Διαίτης Ὀξέων ΞΓ' (Τόμ. Α', σελ. 323) πρὸς τῇ γνησίᾳ γραφῇ «τὰ μέν που πρόσθεν εἴρηται, τὰ δὲ ἐν αὐτοῖσι τοῖσι καιροῖσι ῥηθήσεται» φέρεται καὶ ἡ εἰρέαται.

(εἰρύαται Τόμ. Α', σελ. 13 «ὑποχόνδρια τούτοισι εἴσω εἰρύαται». Ὁ Ἑρμερίνσιος ἐξέδωκεν ἐν σελ. 42 «ὑποχόνδρια τούτοισι εἴσω εἰρύΕται» καὶ ἔγραψε τὴν σημείωσιν τήνδε· «Εἰρύεται ex Erot. dedi et dare debueram in Prorrh.». Ἐν Τόμ. Β', σελ. 761 ἐφέρετο ἄλλοτε κακῶς «καὶ ὁ στόμαχος οὐ πάμπαν εἰρύαται τὴν τροφήν» ἀντὶ τοῦ εἰρύΕται. Σημειωτέον δ' ὅτι ὁ Ἑρμερίνσιος ἐν μὲν σελ. 719 ἐξέδωκε «τὰ σκέλεα εἰρύΕται», ἐν δὲ σελ. 838 «τὰ σκέλεα εἰρύΑται» ἀντὶ τοῦ «τὰ σκέλεα ὕστερον»).

Ὁ Κοίνιος ἐν ταῖς εἰς Γρηγόριον τὸν Κορίνθου σημειώσεσι (σελ. 485 Σχαιφ.) λέγει «ut Ippocratis τεχνέαται p. 17,55. Huic levem mendam deme p. 346,2. qui domos aedificant δίαιταν ἀνθρωπίνην μιμέεται, τὰ μὲν ξηρὰ ὑγραίνοντες —. Scripserat de more Ionico μιμέαται, imitantur». Ὀρθῶς νῦν ἀναγινώσκεται παρὰ τῷ Ἱπποκράτει Τόμ. Γ', σελ. 411 «δίαιταν ἀνθρωπίνην μιμέονται κτέ.». Πρβ. σελ. 410 «φύσιν τε ἀνθρώπου μιμέονται» καὶ σελ. 408 «ὃ μιμέονται».

Ἥκιστα δ' ἀναγκαῖον ὑπολαμβάνομεν νὰ ἐξετασθῇ τίνες τῶν προκαταλεχθέντων παρακειμένων κεῖνται ἐν γνησίοις τοῦ Ἱπποκράτους συγγράμμασι καὶ τίνες ἐν νοθευομένοις. Παρατηροῦμεν δ' ὅτι φέρονται παρὰ τῷ Ἱπποκράτει καὶ οἱ κοινοὶ τύποι, οἷον εἴρηνται, δεδούλωνται (Τόμ. Α', σελ. 302 καὶ σελ. 280), κτλ. (Ἴδε Ῥεννῆρον ἐν *Stud. Curt.* Τόμ. Α', β', σελ. 24 καὶ Μειστῆρον ἐν τῷ *Die Mimiamb. des Herod.* σελ. 243). Σημειωτέον δ' ὅτι ἐν τῇ Τευβνηρείῳ ἐκδόσει τοῦ Ἱπποκράτους Τόμ. Α', σελ. 27, 14 εἶνε γεγραμμένον «πρὸς τοῦτο τετέχνηνται» ἀντὶ τοῦ τετεχνέαται, οὗ ἐμνήσθημεν ἐν τοῖς ἄνω.

Ἔχομεν καὶ ἐξ ἄλλων ἰωνιστὶ συγγραψάντων νὰ μνημονεύσωμεν παραδείγματα τρίτου πληθυντικοῦ προσώπου παθητικῶν παρακειμένων περατουμένου εἰς ΑΤΑΙ, οἷον

γεγράφαται Ἀρεταῖ. σελ. 159 καὶ 221 καὶ 224 καὶ 270 Ἑρμερ. Ἐν πᾶσι τοῖς χωρίοις τούτοις εἶνε συντεταγμένον τὸ γεγράφαται πληθυντικῷ ὑποκειμένῳ οὐδετέρου γένους.

ἀποδεδέχαται Λουκιαν. (ἢ Ψευδολουκ.) περὶ τῆς Συρ. Θεοῦ 10. Ὁ Κόβητος γράφει ἐν *Var. Lect.* σελ. 212 «In §. 2. pro ἀποδέξαι requiro καταδέξαι, et § 10. ὁρταὶ καὶ πανηγύριες καταδεδέχαται pro ἀποδεδέχαται».

λελέχαται Ἀρεταῖ. σελ. 212 καὶ 229. Τοῦ τύπου λελέχαται γίνεται μνεία ὑπὸ Γρηγορίου τοῦ Κορίνθου σελ. 485 καὶ ὑπὸ τοῦ Θεοδοσίου σελ. 57, 12 Ἱλγ. καὶ ὑπὸ τοῦ Χοιροβοσκοῦ σελ. 697, 31 Γαισφ.

ἀπεστερέαται Εὐσέβ. ἐν Στοβ. Ἀνθολ. ΙϚ´, 14. Ἐγράφετο ἄλλοτε ἀπΟστερέαται, ἐπηνώρθωσε δ' αὐτὸ ὁ Σχαιφῆρος ἐν τῇ ἐκδόσει Γρηγορίου τοῦ Κορίνθου σελ. 485. Σημειωτέον δ' ὅτι ἀντὶ τοῦ ἐν ἑτέρῳ τόπῳ τοῦ Εὐσεβίου κειμένου (Στοβ. Ἀνθολ. ΡΖ´, 9) «ὅδε μὲν καὶ ὅδε ἄρχουσι καὶ τετιμέαται» ἓν τῶν ἀντιγράφων ἔχει τετιμέΩΝται, ἕτερον δὲ τιμέονται. Ὁ Ἅλμιος ἀνέγνω τιμέωνται, ὃ ἐνέκρινε καὶ ὁ Μεινέκιος ἐν τῇ ἐκδόσει τοῦ Στοβαίου Ἀνθολογίου Τόμ. Δ´, σελ. 33, 12. Ὁ Κόβητος ἐν τῇ Μνημοσύνῃ 1860, σελ. 107 νομίζει ὀρθὸν τὸ διὰ τοῦ Ο προενηνεγμένον τιμέΟνται.

εἰρέαται Ἀρεταῖ. σελ. 251.

μεμιμέαται Λουκιαν. (ἢ Ψευδολουκ.) περὶ τῆς Ἀστρολογ. 6.

μεμνέαται Δημόκρ. ἐν Στοβ. Ἀνθολ. ΜϚ´, 47 (Δημόκρ. Μουλλ. σελ. 196, 204). Μνημονεύεται τὸ μεμνέαται ὑπὸ τοῦ Σουΐδα λ. ἕαται. Πρβ. καὶ Κραμ. Ἀν. Παρ. Τόμ. Δ´, σελ. 19, 15.

(εἴαται Λουκιαν. ἢ Ψευδολουκ. περὶ τῆς Συρ. Θεοῦ 31 «ἐν δὲ τῷδε εἴαται τὰ ἕδεα». Σημειωτέον δ' ὅτι ἀπᾴδει τοῦτο τῆς Ἡροδοτειου χρήσεως, καθ' ἣν λέγεται κατΕαται-ἀποκατΕαται).

Ὁ Λ. Μεΰηρος λέγει ἐν *Vergl. Grammat.* Τόμ. Α´, σελ. 934-5 ἐκδ. β´ «λελάχαται *sie sind durchs Loss bestimmt* (bei späteren)». Ἐν τοῖς τῆς Πυθαγορείας Περικτιόνης παρὰ Στοβ. Ἀνθολ. ΠΕ´, 19 φέρεται «κἂν ἔῃ δὲ φαῦλα τάπερ λελάχαται». Ἀποφαίνεται δὲ περὶ αὐτοῦ ὁ Μεινέκιος ἐν τῇ ἐκδόσει τοῦ Στοβαίου Ἀνθολογίου Τόμ. Γ´, σελ XXVI «λελάχαται. mira forma pro λέλαχε». Ἀλλ' ὁ Κό-

βητος γράφει ἐν τῇ Μνημοσύνῃ 1874, σελ. 436 «Absurdo errore scribitur λελΑχαται. Meinekius *mira forma pro* λέλαχε. Minime gentium: quod paullo ante in singulari numero dixerat ταῦτα μὲν λελέχθω nunc in plurali Ionice posuit τάπερ λελΕχαται, *quae dicta sunt*».

Ἐν τοῖς τοῦ Δημοκρίτου παρὰ Στοβ. Ἀνθολ. ΜΔ', 18 κεῖται «ὅκωσπερ περὶ κιναδέων τε καὶ ἑρπετέων (ἑρπετῶν) γεγράφαται τῶν πολεμίων, οὕτω καὶ κατὰ ἀνθρώπων δοκέει μοι χρεὼν εἶναι ποιέειν». Τὸ χωρίον τοῦτο εἶνε ὅμοιον τῷ παρὰ τῷ Ἡροδότῳ ἀπαντῶντι «ὡς δὲ ἄρα παρεσκευάδατο τοῖσι Ἕλλησι», περὶ οὗ ἐποιησάμεθα λόγον ἐν τοῖς ἔμπροσθεν. Ὁ Μουλλάχιος λέγει ἐν τῇ ἐκδόσει τῶν Ἀποσπασμάτων τοῦ Δημοκρίτου σελ. 311 «Verbum plurale γεγράφαται singulari *sriptum est* cum Gesnero reddidimus, sed pluralem numerum, in quo haesit Burchardus, a Democrito usurpatum arbitramur, quod varias Abderitarum leges de hujusmodi rebus constitutas respiceret». Ταῦτα σοφώτερα ἡμῖν φαίνονται ἢ ἀληθέστερα. Ἐπειδὴ δυσκόλως ἡμεῖς πειθόμεθα ὅτι παρελήφθη ὑπὸ τοῦ Δημοκρίτου τὸ πληθυντικὸν γεγράφαται ἀντὶ τοῦ ἑνικοῦ γέγραπται, εἰκάζομεν ὅτι ἐρρήθη ὑπ' αὐτοῦ «ὅκωσπερ περὶ κιναδέων καὶ ἑρπετῶν γέγραφα τῶν πολεμίων, οὕτω καὶ κατὰ ἀνθρώπων δοκέει μοι χρεὼν εἶναι ποιέειν· κατὰ νόμους τοὺς πατρίους κτείνειν πολέμιον ἐν παντὶ κόσμῳ». Ἔγραψε δ' ἀληθῶς ἐν τοῖς ἡγουμένοις ὁ Δημόκριτος (Στοβ. Ἀνθολ. ΜΔ', 16) «κατὰ δὲ ζωίων ἔστιν ὧν φόνου καὶ μὴ φόνου ὧδε ἔχει· τὰ ἀδικέοντα καὶ θέλοντα ἀδικέειν ἀθῷος ὁ κτείνων, καὶ πρὸς εὐεστοῦν τοῦτο ἔρδειν μᾶλλον ἢ μή». Παρατηροῦμεν δ' ἐν παρόδῳ ὅτι γελοιότατον εἶνε τὸ ἑρπετέων, ἄτοπον δὲ τὸ γεγραμμένον ὑπὸ τοῦ Μουλλαχίου ἐν τῇ ἐκδόσει τῶν Ἀποσπασμάτων τοῦ Δημοκρίτου σελ. 256 «Jonum more Democritus inseruit ε verbis ξυμφορέων et ἀξυμφορέων, quemadmodum idem κενεά et ἑρπετέων dixit». Ὀρθῶς ὁ Κόβητος ἐν τῇ Μνημοσύνῃ 1860, σελ. 106 ἀνέγνω «οὖρος γὰρ συμφόρων καὶ ἀσυμφόρων τέρψις καὶ ἀτερπίη». Ὁ Κοραῆς ἐν τῇ ἐκδόσει τοῦ Ἐπικτήτου Ἐγχειριδίου καὶ τοῦ Κέβητος Πίνακος σελ. νδ' μνημονεύσας τὴν ῥῆσιν τοῦ Δημοκρίτου ἐπιφέρει «Ὅπου γράφε, κατὰ τὴν διάλεκτον

τοῦ Δημοκρίτου, ΟΥΡΟΣ ΣΥΜΦΕΡΕΩΝ καὶ ΑΣΥΜΦΕΡΕΩΝ κ.τ.λ. Τὸ Συμφερὲς καὶ Ἀσυμφερὲς (Κατὰ τὸ Περιφερὲς καὶ Ἀπεριφερὲς) δὲν ἐθησαυρίσθησαν ἀκόμη εἰς τὰ Λεξικά». Προχείρως ταῦτα καὶ αὐτοσχεδίως εἶνε ὑπὸ τοῦ ἀοιδίμου ἀνδρὸς εἰρημένα.

Σημειωτέον δ' ὅτι καὶ ἐν δωριστὶ γεγραμμένῳ λόγῳ ἐγένετο χρῆσις τοῦ παρακειμένου γεγράφαται. Παρὰ τῷ Ἀρχιμήδει ἀπαντᾷ Τόμ. Β', σελ. 110, 8 καὶ σελ. 114, 4 καὶ σελ. 120, 17 Τευβν. «ἀναγεγραφάται ὁμοίοι τομέες». Ἐν σελ. 124, 6 ὑπάρχει καὶ γραφὴ «ἀναγεγραφΕται—ὁμοίοι τομέες». Ἐν πᾶσι τοῖς χωρίοις τούτοις ἀνέγνω ὁ Τορέλλιος ἀναγεγράφΟΝται, ὡς ἔχουσι τἀντίγραφα ἐν σελ. 104, 17 «ἀναγεγράφονται—ὁμοίοι τομέες» πλὴν ἑνός, ἐν ᾧ κεῖται ὁ εἰς ΑΤΑΙ λήγων τύπος ὁ γνήσιος πάντως ὤν. Εἶνε δὲ καὶ ἐν σελ. 102, 5 ἐκδεδομένον «ἀναγεγραφάται — ὁμοίοι τομέες» ἀντὶ τοῦ πρότερον φερομένου ἀναγέγραπται. Ὁ Κούρτιος γράφει ἐν τῷ *Das Verb.* Τόμ. Β', σελ. 238 ἐκδ. β' «Ein unzweifelhafter Uebergang in die thematische Conjugation ist ferner in ἀναγεγράφονται bei Archimedes (Ahrens dor. 333) anzuerkennen, falls die Form, neben der vereinzelt auch ἀναγεγράφαται überliefert ist, Vertrauen verdient». Ἐκ τῆς Τευβνηρείου τοῦ Ἀρχιμήδους ἐκδόσεως διδασκόμεθα ὅτι ἐν ἑνὶ μόνῳ χωρίῳ ἔχουσι πάντα σχεδὸν τἀντίγραφα τὸν εἰς ΟΝΤΑΙ τελευτῶντα τύπον, ἐν δὲ τρισὶ μόνος ὁ εἰς ΑΤΑΙ περατούμενος φέρεται. Ὅθεν ἀδιστάκτως ἀποφαινόμεθα ὅτι τούτου χρῆσις ἐν πᾶσιν ὑπὸ τοῦ Ἀχιμήδους ἐγένετο.

Ἐν τῷ Μεγάλῳ Ἐτυμολογικῷ κεῖται σελ. 208, 6 «Βουόα: ἀλγεῖ τις τάχα θ' αἱ βουσόαι (τὰ νῶτα)». Φέρεται δ' ἐν τῇ Γαισφορδείῳ αὐτοῦ ἐκδόσει σελ. 597 σημείωσις τοῦ Βεκκήρου ἔχουσα ὧδε· «Hemsterhus. ad Hesych. T. II. p. 1294. not. 19. haec corrupta emendat sic: Βούόα· ἀγέλη.—τετάχαθ' αἱ βούόαι· ἀντὶ τοῦ βούσοαι. Quam emendationem probat Valckenaerius ad Theocrit. Adoniaz. p. 274 (edit. 2. p. 270.) nisi quod scribit Βοῦα—Βοῦαι—βουσόαι, et scribi quoque potuisse ait ἐτετάχαθ'» (Πρβ. καὶ Θησ. Στεφ. Τόμ. Β', σελ. 342 δ' Διδ.). Τὴν ἀνάγνωσιν ταύτην ἀποδοκιμάζει ὁ Ἀρήνσιος ἐν τῷ Περὶ Διαλ. Δωρ. σελ. 77 δοξάζων

ὅτι ἐν τῷ τάχα θ' αἲ λανθάνει τῆς λέξεως βουδα ἐξήγησις ταχεῖα, θοή.

Παράδοξος εἶνε ὁ τύπος γεγράψαται (γεγραψάται) ὁ ἀπαντῶν ἐν τοῖς Ἡρακλεωτικοῖς Πίναξιν Α', στίχ. 121 «ὅσσα ἐν τᾷ συνθήκᾳ γεγραψάται». Παραβάλλεται δὲ πρὸς τὸν μεμισθώσωνται (μεμισθωσώνται) τὸν κείμενον ἐν στίχ. 106 «ἄν κα αὐτοὶ μεμισθωσώνται». Περὶ τῶν τύπων τούτων ἐποιήσατο λόγον ὁ Ἀρήνσιος ἐν τῷ *De Dial. Dor.* σελ. 334 καὶ ὁ Κούρτιος ἐν *Stud.* Τόμ. Α', α', σελ. 244 καὶ ἐν τῷ *Das Verb.* Τόμ. Α', σελ. 96 καὶ Τόμ. Β', 253 ἐκδ. β' καὶ ὁ Μειστῆρος ἐν *Stud. Curt.* Τόμ. Δ', σελ. 431. Πρβ. καὶ τὴν τοῦ Κυννήρου Διεξοδ. Γραμματικὴν τῆς Ἑλλην. Γλώσσης Μέρ. Α', β', σελ. 75 Βλασσ.

Ἐν τέλει παρατηροῦμεν ὅτι ἐν ἐπιγραφῇ τοῦ Ὠρωποῦ, Ἐπιγρ. Μεγαρ. Ὠρωπ. Βοιωτ. 235, 16, σελ. 70 Διττεμβ. φέρεται «τὰ δὲ μέζονα ἠχοῖ ἑκάστοις αἲ δίκαι ἐν τοῖς νόμοις εἴρηται, ἐντοῦθα γινέσθων». Νομίζεται δ' ὑπὸ τοῦ Οὐϊλαμοβιτζίου ἐν τῷ Ἑρμῇ 1886, σελ. 98 ὅτι κατὰ συναλοιφὴν τὸ εἴρηται ἐγένετο ἐκ τοῦ εἰρέαται, ὡς καὶ ὑπὸ τοῦ Βλασσίου ἐν τῇ ἐκδόσει τῆς Κυννηρείου Γραμματικῆς Μέρ. Α', β', σελ. 77· ἐκφέρεται δ' ὑπ' αὐτοῦ προπερισπωμένως εἰρῆται. Πρβ. καὶ Σμύθιον ἐν *Ion.* σελ. 507.

ΜΕΡΟΣ ΙΗ'.

Τρίτα πληθυντικὰ πρόσωπα παθητικῶν παρακειμένων λήγοντα εἰς ΑΤΑΙ καὶ παθητικῶν ὑπερσυντελίκων τελευτῶντα εἰς ΑΤΟ παρ' Ὁμήρῳ καὶ ἄλλοις.

Πολλάκις μὲν εὑρίσκεται ἐν τοῖς Ὁμηρικοῖς ἔπεσι τὸ τρίτον πληθυντικὸν πρόσωπον τοῦ παθητικοῦ παρακειμένου περατούμενον εἰς ΑΤΑΙ, πολλάκις δὲ τὸ τοῦ παθητικοῦ ὑπερσυντελίκου προενηνεγμένον διὰ τῆς καταλήξεως ΑΤΟ, οἷον

ἐπιτετράφαται Ἰλ. Β, 25 καὶ 62. Ἀπολλών. Σοφιστ. Λεξ. Ὁμηρ. σελ. 74, 28 «Ἐπιτετράφαται: ἐπιτετραμμένοι εἰσίν· Ἰακὸν δὲ τὸ σχῆμα». Ἡσύχ. «ἘπιτετράφανΝται: ἐπιτετραμμένοι εἰσίν». Ἴδε καὶ Σουίδ. σελ. 410 β′ Βεκκ. καὶ Κραμ. Ἀν. Ὀξ. Τόμ. Α′, σελ. 127, 13 καὶ σελ. 395, 26 καὶ Ἐτυμ. Μέγ. σελ. 365, 52 καὶ σελ. 366, 8· ἔτι δὲ σελ. 754, 28. Παρὰ τῷ Ψευδοπλουτάρχῳ περὶ τοῦ Βί. καὶ τῆς Ποιήσ. Ὁμήρ. ΙΑ′ κεῖται «Ἰδίως δὲ λέγουσι καὶ τὸ τετράφαται καὶ τὰ τοιαῦτα».

δειδέχαται Ὀδ. Η, 72.

ἔρχαται Ἰλ. Π, 481. Ὀδ. Κ, 283. Ἡσύχ. «Ἔρχαται: πέφρακται, συνέχονται». Ὑπὸ τοῦ Εὐσταθίου σελ. 1071, 48 γίνεται ἐξήγησις τοῦ παρακειμένου ἔρχαται διὰ τοῦ ἐνεστῶτος καθείργνυνται. Ἐν Ἰλ. Π, 481 κεῖται «ἔνθ᾽ ἄρα τε φρένες ἔρχαται ἀμφ᾽ ἁδινὸν κῆρ», ὃ ἐν τοῖς Σχολίοις Τόμ. Β′, σελ. 111, 31 Δινδ. ἑρμηνεύεται διὰ τοῦ «ὅπου αἱ φρένες ἐγκαθειργμέναι εἰσὶ περὶ τὴν ψυχήν». Ἔχει δὲ τὸ ἔρχαται πάντως παθητικὴν σημασίαν, δεινῶς δ᾽ ὁ Εὔνιος σφάλλεται λέγων ἐν τῇ ἐκδόσει τῆς Ἰλιάδος Τόμ. Ζ′, σελ. 224 «Praestat active dictum accipere φρένες ἀμφιειργμέναι εἰσίν, pro περιείργουσι, τὸ κῆρ, sepiunt, circumdant, muniunt».

ὀρωρέχαται Ἰλ. Π, 834. Εὐστάθ. σελ. 1089, 34 «Τὸ δὲ ὀρωρέχαται Ἰωνικῶς φρασθὲν οὐκ ἄλλως ἢ διὰ τοῦ ἐτανύσθησαν ἑρμηνεύεται, ὅπερ οὐ πρὸ πολλῶν ἐφάνη ἐπὶ ἵππων συντόνως τρεχόντων λεγόμενον». Πρβ. Σχολ. Ἰλ. Τόμ. Δ′, σελ. 141, 16 καὶ Κραμ. Ἀν. Ὀξ. Τόμ. Α′, σελ. 451, 14.

τετεύχαται Ἰλ. Ξ, 53 καὶ 220. Ὀδ. Β, 63. Ξ, 138. Τ, 563. Ἐτυμ. Μέγ. σελ. 753, 45 «Τετάχαται καὶ τετεύχαται. Ἀπὸ τοῦ τεύχω τεύξω τέτευχα τέτευκται καὶ Ἰακῶς τετεύχαται. Τὸ δὲ ἀπὸ τοῦ τάσσω τάξω ὁμοίως Ἰακῶς» (Πρβ. καὶ Ζωναρ. Λεξ. σελ. 1725 καὶ Κραμ. Ἀν. Ὀξ. Τόμ. Α′, σελ. 411, 15). Ἄξιον σημειώσεως εἶνε ὅτι λέγεται μὲν τέτΥξαι, τέτυκται, τετύγμην, κτλ., ἀλλὰ τετΕΥχαται καὶ τετΕΥχατο - ἐτετεύχατο. Ἴδε Σχοῦλζιον ἐν *Quaest. Ep.* σελ. 20 - 1. Πρβ. καὶ Κούρτιον ἐν τῷ *Das Verb.* Τόμ. Β′, σελ. 241 ἐκδ. β′ καὶ Λ. Μεϋῆρον ἐν *Vergl. Gramm.* Τόμ. Α′, σελ. 829 - 30 καὶ 920 ἐκδ. β′.

ἀκηχέδαται Ἰλ. Ρ, 637. Σουίδ. «Ἀκηχέδαται: λυποῦνται».

Ἐν τῷ κώδικι τοῦ Ἡσυχίου φέρεται «ἈκΑχεδᾶται: λυπεῖται». Πρβ. Ἑύνιον ἐν τῇ ἐκδόσει τῆς Ἰλιάδος Τόμ. Ζ', σελ. 381.

ἐρηρέδαται Ἰλ. Ψ, 284 καὶ 329. Ἀπολλών. Σοφιστ. Λεξ. Ὁμηρ. σελ. 76, 3 «Ἐρηρέδαται: ἐρηρισμένοι (ἐρηρεισμένοι) εἰσίν· Ἰακὸν δὲ τὸ σχῆμα τοῦ ῥήματος». Ἐτυμ. Μέγ. σελ. 372, 44 «Ἐρηρέδαται. Ἰλιάδος Ψ· λᾶε δὲ τοῦ ἑκάτερθεν ἐρηρέδαται· ἐρηρεισμένοι εἰσὶν ἐν τῇ γῇ, προσπελάζονται. Ἀπὸ τοῦ ἐρείδω ἐρείσω ἤρεικα ἤρεισμαι ἤρεισται καὶ Ἀττικῶς ἐρηρέδαται, τῆς Γ' συλλαβῆς συσταλείσης». Ἐν τῷ κώδικι τοῦ Ἡσυχίου εἶνε γεγραμμένον «ἘρηρεδαΠαί: ἐρηρεισμένοι εἰσίν» καὶ «ἘρηρεΤΛᾶται: ἐρερΙΑσμένοι εἰσίν».

ἐρράδαται Ὀδ. Υ, 354. Ἡσύχ. «Ἐρράδαται: ἐρρασμένοι εἰσίν».

δεδαίαται Ὀδ. Α, 23. Ἐτυμ. Μέγ. σελ. 252, 49 «Δεδαίαται. Δαίω τὸ μερίζω, ὁ παθητικὸς παρακείμενος δέδαιμαι δέδαιται καὶ Ἰακῶς δεδαίαται. Καὶ ὤφειλε συσταλῆναι ἡ (προ)παραλήγουσα, ἀλλὰ διὰ τὸ μέτρον ἔμεινε τὸ Ι· διχθὰ δεδαίαται». Πρβ. Λέντζιον ἐν τῇ συναγωγῇ τῶν τοῦ Ἡρωδιανοῦ Λειψάνων Τόμ. Β', σελ. 226. Ἐν τῷ Λεξικῷ τοῦ Σουίδα εἶνε γεγραμμένον «Δέδασται: μεμέρισται· καὶ δεδαίαται: μεμέρισται».

(ἕαται Ἰλ. Γ, 134. Ι, 628. εἵαται Ἰλ. Β, 137. Κ, 100 καὶ 161 καὶ 422. Ὀδ. Β, 403. Ζ, 307. Ἡσύχ. «ἝαΝται: κάθηνται» καὶ «Ἕανται: καθέζονται, ἦνται» καὶ «Εἵαται: κάθηνται». Φέρεται δ' ἐν τῷ κώδικι αὐτοῦ μετὰ τὴν λέξιν Αἴας καὶ «.ιᾶται: καθῆναι», τουτέστι «Αἰᾶται: κάθηνται», ἀντὶ τοῦ ἕαται. ΑΙ=Ε).

βεβλήαται Ἰλ. Λ, 657. Ὀδ. Λ, 194. Ἀπολλών. Σοφιστ. Λεξ. Ὁμηρ. σελ. 51, 11 «ΒεβλήατΟ: βεβλημένοι εἰσίν· χθαμαλαὶ βεβλημέναι (γρ. βεβλήαται) εὐναί». Ἀπαντᾷ δ' ὁ τύπος βεβλήαται καὶ ἐν τῷ εἰς Ἀπόλλωνα Ὁμηρικῷ Ὕμνῳ στίχ. 20.

πεποτήαται Ἰλ. Β, 90. Ἐν τῷ κώδικι τοῦ Ἡσυχίου κεῖται «Πεποτ αΝται: ἥπτανται», ὃ ἐπηνώρθωσεν ὁ Μουσοῦρος γράψας «Πεποτήαται: ἵπτανται». Πρβ. καὶ Ἐτυμ. Μέγ. σελ. 662, 19.

κεκλίαται Ἰλ. Π, 68. Ὀδ. Δ, 608. Σουίδ. «Κεκλίαται ἐκ

τοῦ κλίνω· καὶ κέκλικα ὁμοίως». Τοῦ τύπου κεκλίαται γίνεται μνεία καὶ ὑπὸ τοῦ Μεερμανν. γραμματικοῦ σελ. 655 Σχαιφ.

εἰλύαται Ὀδ. Υ, 352. Ἐν Ἰλ. Μ, 286 φέρεται «ἄλλα τε πάντα εἴλυται» καὶ εἰλύαται ἢ εἰλῦται. Ἐν τῷ κώδικι τοῦ Ἡσυχίου εἶνε γεγραμμένον «Ἰλίατε: περιιλημένε», ὃ μετεβλήθη ὑπὸ τοῦ Μουσούρου εἰς τὸ «Ἰλύαται: περιειλημένοι εἰσίν».

εἰρύαται Ἰλ. Δ, 248. Ξ, 75. Ὀδ. Ζ, 265. Ἡσύχ. «Εἰρύαται: ἀνε(ι)λκυσμέναι ἢ πεφυλαγμέναι εἰσίν».

τετράφατο Ἰλ. Κ, 189.

δειδέχατο Ἰλ. Δ, 4. Ι, 671. Χ, 435. Ἡσύχ. «Δε.δέχαΝτο: ἐδεξιοῦντο, ἐφιλοφρονοῦντο». Τὸ δειδέχατ' ἀλλήλους (Ἰλ. Δ, 4) μνημονεύεται ὑπὸ τοῦ Σουίδα σελ. 260 β' Βεκκ.

ἐπώχατο Ἰλ. Μ, 340. Ἀπολλών. Σοφιστ. Λεξ. Ὁμηρ. σελ. 75, 14 «Ἐπώχατο: τοῖς ὀχεῦσι λεγομένοις, ὅπερ ἐστὶ μοχλοῖς, ἐπικεκλιμέναι ἦσαν, ἐπωχλισμέναι, ὅ ἐστιν ἠσφαλισμέναι, πᾶσαι· τὸ γὰρ πᾶσαι ἀντὶ τοῦ ὅλαι. Πᾶσαι γὰρ ἐπώχατο». Ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις φέρεται Τόμ. Α', σελ. 429, 14 «Οὕτως Ἀρίσταρχος. πᾶσαι γὰρ ἐπῴχατο — Τὸ δὲ ἐπῴχατο διὰ τοῦ Α καὶ σὺν τῷ Ι, οἷον ἐπικεκλιμέναι ἦσαν, ἐπέκειντο. Ζηνόδοτος ἐπῴχετο» καὶ σελ. 429, 18 «Ἐὰν γράφηται ἐπῴχετο, τὸ πρὸ αὐτοῦ πάσας γραφέσθω. Ἐπῴχετο δὲ ἡ αὐτὴ δηλονότι». Πρβ. καὶ Εὐστάθ. Παρεκβ. εἰς Ὅμηρ. σελ. 909, 14 «Πάσας γὰρ ἐπῴχετο, ὁ κτύπος δηλαδή, ἢ ἐπῴχατο ἤγουν ἐπεπορεύθησαν οἱ Τρῶες ἢ μᾶλλον ἐπῴχατο (γρ. ἐπώχατο), ὅ ἐστι δι' ὀχέων ἤτοι μοχλῶν ἠσφαλίσαντο κλείσαντες οἱ Ἀχαιοί» (Ἴδε Λουδούϊχον ἐν *Arist. Homer. Textkr.* Τόμ. Α', σελ. 344-5. Πρβ. καὶ Λεξ. Ὁμηρικ. Ἐβελιγγ. λ. ἐποίχομαι καὶ λ. ἐπώχατο, Τόμ. Α', σελ. 464 καὶ 467). Ἐν τῷ κώδικι τοῦ Ἡσυχίου κεῖται «Ἐπωροράχαται: ἐπικεκλιΜΜέναι ἨΣΑΝ». Ὁ Μουσοῦρος ἀνέγνω ἐπωρορέχαται, ὁ δὲ Σμιδίτιος ἐπώχατο, ὃ καὶ ἡμῖν ἀρέσκει. Οὐκ ἀγνοητέον δ' ὅμως ὅτι πρὸ τοῦ Σμιδιτίου μετετύπωσε τὸ ἐπωρορέχαται εἰς τὸ ἐπῴχατο ὁ Βαρνέσιος. Περὶ τῆς μεταβολῆς ταύτης ἀποφαίνεται ὁ Κουλεγκάμπιος, ὡς βλέπομεν ἐν τῇ Γαισφορδείῳ ἐκδόσει τοῦ Μεγάλου Ἐτυμολογικοῦ σελ. 368, 37 (σελ. 1057), τὴν γνώμην τήνδε· «Quod vero vir eruditus ibidem Hesychii ἐπωρορέχαται in ἐπῴχατο mutatum velit, id certe ni-

mis violentum videtur». Οὐδαμῶς συμφωνοῦμεν τῷ Κουλεγκαμπίῳ. Πρβ. Κωφὸν λιμένα — Κολοφωνίων λιμένα, Σαμίων ἄνθη — Σαλαμινίων ἄνθη, κτλ. (Ἴδε Ἀθηνᾶν Τόμ. Α', σελ. 335-6).

ἔρχατο Ἰλ. Ρ, 354. Ὀδ. Ι, 221. Ξ, 73. ἐέρχατο Ὀδ. Κ, 241. Ἡσύχ. «Ἔρχα N το: καθειργμένοι ἦσαν». Εἶνε δὲ παρ' αὐτῷ γεγραμμένον καὶ «Ἤρχατο: καθεῖρκτο», περὶ οὗ λέγει ὁ Λοβέκκιος ἐν *Elem*. Τόμ. Α', σελ. 58 «Duo epsila in eta contracta invenit Hesychius ἤρχατο καθεῖρκτο». Δυσπαράδεκτος ἡμῖν ἡ γνώμη τοῦ Λοβεκκίου φαίνεται, δοξάζομεν δὲ μᾶλλον ὅτι τὸ ἤρχατο εἶνε πλημμελὴς ἐκφορὰ τοῦ ἔρχατο. Σημειωτέον δ' ὅτι ἀντὶ τοῦ καθεῖρκτο ἀνεγνώσθη ὑπὸ τοῦ Κουστήρου καθειργμένοι ἦσαν. Ἐν τῇ Ἀλβερτείῳ ἐκδόσει τοῦ Ἡσυχίου φέρεται «Ἠέρχαται: καθειργμένοι ἦσαν», δηλοῦται δ' ἐν ταῖς σημειώσεσιν ὅτι μετέβαλεν αὐτὸ ὁ Κουστῆρος εἰς τὸ ἠέρχατΟ. Ἀλλ' ὁ κῶδιξ ἔχει «Ἠέρχαται: ὡμοίωται», ὃ πιθανῶς εἶνε ἐσφαλμένη ἀνάγνωσις τοῦ ἤκασται. Τὸ ἤΙκασται εὐκόλως ἠδύνατο νὰ μεταπέσῃ εἰς τὸ ἤΡκασται, οὐχὶ δὲ δύσκολον ὑπῆρχε νὰ μεταβληθῇ τοῦτο εἰς τὸ ἠέρχαται. Βλέπει δέ τις ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου τὸ «Ἐρκάζειν: σκώπτειν», ὃ ὀρθῶς μετετυπώθη ὑπὸ τοῦ Κουστήρου εἰς τὸ εἰκάζειν. Ρ=Ι.

ὀρωρέχατο Ἰλ. Λ, 26. Ἀπολλών. Σοφιστ. Λεξ. Ὁμηρ. σελ. 123, 21 «Ὀρωρέχατο: ὡρμημένοι ἦσαν». Ἡσύχ. «Ὀρωρέχα N το: ὡρμημένοι ΕΙΣΙΝ ἢ ἐκτεταμένοι». Κεῖται δ' ἐν τῷ κώδικι αὐτοῦ καὶ «Ὠρωρέ.χατο: ὡρμῶν ἐπιτίθει», ἀνθ' οὗ ἔγραψεν ὁ Μουσοῦρος «Ὠρωρέχατο: ὁρμῶντες ἐπετίθουν»· ἀλλ' ἴσως ἀναγνωστέον ὥρμηντο, ἐπετίθεντο. Παρατιθέμεθα καὶ τὰ ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις γεγραμμένα Τόμ. Α', σελ. 371, 29 «Ὀρωρέχατο: ἐξετέταντο, διεγηγερμένοι ἦσαν. Γέγονε δὲ ἀπὸ τοῦ ὀρέγω, ὤρεχα ὁ παρακείμενος, ὤρεγμαι, τὸ τρίτον ὤρεκται καὶ Ἰακῶς ὠρέχαται καὶ Ἀττικὸς διπλασιασμὸς (γρ. Ἀττικῷ διπλασιασμῷ) ὀρωρέχαται, ὁ ὑπερσυντέλικος ὀρωρέχατο προτὶ δειρήν». Πρβ. καὶ Ἐτυμ. Μέγ. σελ. 633, 22.

τετεύχατο Ἰλ. Ν, 22. Σ, 574. ἐτετεύχατο Ἰλ. Λ, 807. Ἐν Ἰλ. Ν, 22 φέρεται καὶ γραφὴ τετεύχαται. Ἐν τῷ κώδικι τοῦ Ἡσυχίου κεῖται «Ἐτετεύχατο: πεποίηκεν», ἀνθ' οὗ ὁ Κουστῆρος ἀνέγνω πεποιημένοι ἦσαν.

ἀγηγέρατο Ἰλ. Δ, 211. Υ, 13. Ὀδ. Λ, 388. Ω, 21. Γίνεται περὶ τούτου λόγος ἐν τῷ Μεγάλῳ Ἐτυμολογικῷ σελ. 9, 12. Ὁ Σουίδας γράφει «Ἀγηγέρατο: συνηθροίζοντο». Ἀλλὰ τὸ ἀγηγέρατο δηλοῖ συνηθροισμένοι ἦσαν, οὐχὶ συνηθροίζοντο. Ὁ Εὐστάθιος ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 1193, 29 καὶ 67 ἑρμηνεύει τὸν ὑπερσυντέλικον ἀγηγέρατο διὰ τοῦ ἀορίστου ἠθροίσθησαν.

ἐρηρέδατο Ὀδ. Η, 95.

ἐρράδατο Ἰλ. Μ, 431. Ἡσύχ. «Ἐρράδατο: ἔρραντο, πέφυρτο». Πρβ. Εὐστάθ. Μικρ. Συγγρ. σελ. 275, 93 «αἵματι δ' ἐρράδατο τοῖχοι καλαί τε μεσόδμαι».

ἀκαχείατο Ἰλ. Μ, 179. Σουίδ. «Ἀκαχείατο: ἐλυποῦντο». Εὐστάθ. Παρεκβ. εἰς Ὅμηρ. σελ. 898, 60 «Ἰστέον δὲ ὡς οὐ μόνον ἀκάχω ῥῆμα βαρύτονον ἀλλὰ καὶ ἀκαχῶ, οὗ παθητικὸς ὑπερσυντέλικος ἀκαχήμην, πληθυντικὸν δὲ τρίτον ἀκάχηντο καὶ κατὰ διάλυσιν Ἰωνικὴν ἀκαχέατο καὶ ἐνθέσει τοῦ Ι ἀκαχείατο. Εἰ δὲ μὴ φιλεῖ τὴν λέξιν ταύτην πεζογράφος ἀνήρ, οὐδὲν Ὁμήρῳ μέλον ἰάζοντι». Πρβ. καὶ Ἐτυμ. Μέγ. σελ. 46, 9 καὶ Κραμ. Ἀν. Ὀξ. Τόμ. Α', σελ. 97, 5. Φέρεται καὶ γραφὴ ἀκαχΗατο, ἥτις ἐνεκρίθη ὑπὸ τοῦ Βεκκήρου καὶ ἄλλων. Πρβ. καὶ Ἐύνιον εἰς Ἰλιάδ. Τόμ. Ϛ', σελ. 306 καὶ Σμιδίτιον εἰς Ἡσύχ. Τόμ. Α', σελ. 94. Μνημονεύεται καὶ τύπος ἀκηχέδατο ὑπὸ Ἀπολλωνίου τοῦ σοφιστοῦ ἐν Λεξ. Ὁμηρ. σελ. 18, 27 «Ἀκαχίζεο: ἐν ἄχει γίνου — Καὶ ἀκηχέδατο ἐλυποῦντο». Ἀλλ' ἴσως ἐρρήθη ὑπὸ τοῦ Ἀπολλωνίου «Καὶ ἀκηχέδατΑΙ λυποῦνΤΑΙ».

ἐληλάδατο Ὀδ. Η, 86. Παρὰ τῷ Σουίδᾳ φέρεται «ἘληλΕδατο: ἐκ τοῦ ἐλεύθω»· μετέβαλε δ' ὁ Κουστῆρος τὸ ἐλεύθω εἰς τὸ ἐλαύνω. Ἀλλὰ καὶ ἐν τῷ Λεξικῷ τοῦ Ζωναρᾶ σελ. 693 κεῖται «Ἐληλέδατο: ἦλθΕν· ἀπὸ τοῦ ἐλεύθω». Ἐν τοῖς εἰς Ὀδύσσειαν Σχολίοις εἶνε τάδε γεγραμμένα σελ. 328, 23 «ἐληλάδατ': Ἰωνικῶς ἀντὶ τοῦ ἐληλασμένοι ἦσαν καὶ παρατεταμένοι» καὶ «ἐρηρέδατ': γράφεται ἐληλέδατο» καὶ «ἐληλέδατο: παρατεταμένοι ἦσαν· εἰ δὲ ἐρηρέδατο, ἡρμοσμένοι ἦσαν ἢ ἐμπεπηγμένοι». Ὑπάρχει καὶ γραφὴ ἐληλέατ' ἄνευ τοῦ Δ. Ἴδε Λαρόχην ἐν τῇ ἐκδόσει τῆς Ὀδυσσείας Τόμ. Α', σελ. 142. Ὁ Εὐστάθιος λέγει ἐν ταῖς εἰς Ὅμηρον Παρεκ-

βολαῖς σελ. 1764, 47 «Οὐ μόνον δὲ ἡ κωμῳδία ἐκπίπτουσά ποτε τῆς τοῦ ἀμεταβόλου ρῶ κραυγῆς εἰς τὴν κλαγγὴν τοῦ λάμβδα κατολισθαίνει, ἀλλὰ καὶ ὁ ποιητὴς οἶδε τοιοῦτον μεταγραμματισμόν, οὐ παίζων μέντοι ἀλλὰ σπουδάζων. Ἐν γοῦν τοῖς κατὰ Φαίακας εἰπὼν ἐπὶ τοίχων τὸ ἐρηρέδαται ἀπὸ τοῦ ἐρείδω, ἐρήρεισται γὰρ ὁ τοῖχος, ἐρροίζησεν οἷον τῷ ἀμεταβόλῳ. ἐληλέδαται (δὲ) εἰπὼν ἀπὸ τοῦ ἐλῶ ἐλάσω, διττὴ γὰρ φέρεται γραφή, ἔλιγξε μέν πως τῷ ἤχῳ, γελοῖον δὲ εἶπεν οὐδέν». Πρβ. καὶ σελ. 945, 3. Δεινῶς παραδοξολογεῖ ὁ Εὐστάθιος, ὅστις ἰδὼν διττὴν ἐν τῷ Ὁμηρικῷ χωρίῳ γραφήν, «χάλκεοι μὲν τοῖχοι ἐΡηΡέδατ' ἔνθα καὶ ἔνθα» καὶ ἐΛηΛέδατ', ὑπέλαβεν ὅτι ἐγένετο μὲν ὑπὸ τοῦ ποιητοῦ χρῆσις τοῦ τὰ δύο ρῶ ἔχοντος τύπου, προηνέχθη δ' ἅμα ὑπ' αὐτοῦ κατὰ μεταγραμματισμὸν καὶ ὁ ἔχων τὰ δύο λάβδα.

(ἕατο Ἰλ. Η, 414. εἵατο Ἰλ. Γ, 149. Η, 61 καὶ 65. Θ, 554 καὶ 563. Κ, 182. Σ, 504 καὶ 509 καὶ 523. Τ, 255. Ψ, 128. Ω, 799. Ὀδ. Α, 326. Β, 398. Γ, 8. Θ, 503 καὶ 512. Ι, 545. Υ, 106. Ἡσύχ. «Εἵατο: ἐκαθέζοντο». Φέρεται δ' ἐν τῷ κώδικι αὐτοῦ καὶ «Ἤιατο: ἐκάθΕτο», Τόμ. Β', σελ. 262 Σμιδ.).

(καθείατο Ἰλ. Λ, 76. Υ, 153. Ω, 473. Ἀπαντᾷ δὲ καὶ ἐν τῷ εἰς Ἀπόλλωνα Ὁμηρικῷ Ὕμνῳ στίχ. 404. Εἶνε δὲ καὶ διὰ τοῦ Η τὸ ῥῆμα τοῦτο ἐν τοῖς ἀντιγράφοις τῆς Ἰλιάδος προενηνεγμένον, καθήατο).

εἵατο Ἰλ. Σ, 596 «οἱ δὲ χιτῶνας εἵατ' ἐϋννήτους» τουτέστιν ἠμφιεσμένοι ἦσαν.

βεβλήατο Ἰλ. Ξ, 28. Ὀδ. Η, 97.

βεβολήατο Ἰλ. Ι, 3. Σχολ. Τόμ. Α', σελ. 297, 5 «βεβολήατο: Ὅτι ἔνιοι βεβλήατο· καὶ Ζηνόδοτος οὕτως. Ἐπὶ δὲ τῆς κατὰ ψυχὴν τρώσεως καὶ ἀλγηδόνος ἀεὶ τοῦτο τάττει, ἐπὶ δὲ τῆς κατὰ σῶμα πληγῆς οὐκέτι οὕτως. Τὸ βεβολήατο ἔκτασιν ἔχει ποιητικὴν τοῦ Ε εἰς τὸ Η διὰ τὴν ἐπαλληλίαν τῶν βραχέων. Τοιοῦτόν ἐστι καὶ τὸ πεφοβήατο δινήεντα καὶ τὸ ἦ ῥά νύ τοι πολλοὶ δεδμήατο κοῦροι Ἀχαιῶν». Ἐτυμολ. Μέγ. σελ. 193, 44 «Βεβολήατο: Ἰλιάδος Ι· πένθεϊ δ' ἀτλήτῳ βεβολήατο· τὴν ψυχὴν τετρωμένοι ἦσαν, ἐλυποῦντο. Ἐπὶ μὲν σώματος βεβλήατο, ἐπὶ δὲ ψυχῆς βεβολήατο. Τοιοῦτόν ἐστι καὶ τὸ πεφοβήατο καὶ τὸ δεδμήατο. Ἀπὸ τοῦ βάλλω ῥημα-

τικὸν ὄνομα βολή, ἀπὸ τοῦ βολή ῥῆμα βολῶ βολήσω βεβόληκα βεβόλημαι, ὁ ὑπερσυντέλικος ἐβεβολήμην ἐβεβόλησο ἐβεβόλητο καὶ Ἰωνικῶς ἐβεβολήατο. Λέγει γὰρ ὁ τεχνικός· οἱ μέντοι ἀπὸ περισπωμένων, ταυτοσυλλαβοῦντες, πρὸ τοῦ Α ἔχουσι τὸ Ε, οἷον πεποίηνται πεποιέαται. Οὕτως οὖν καὶ βεβολέατο· καὶ διὰ τὸ ἐπάλληλον τῶν βραχέων ἔκτασις γέγονε τοῦ Ε εἰς τὸ Η, βεβολήατο. Οὕτω Ζηνόβιος καὶ ἄλλοι» (Πρβ. καὶ Κραμ.'Αν. 'Οξ. Τόμ. Α', σελ. 96, 26). Εὐστάθ. Παρεκβ. εἰς Ὅμηρ. σελ. 731, 39 «Διό φησι· πενθέϊ δ' ἀτλήτῳ βεβολήατο πάντες ἄριστοι. Γίνεται δὲ τὸ βεβολήατο ἀπὸ ἐνεστῶτος τοῦ βολῶ βολήσω τὸ βάλλω καὶ ἔστι πρωτότυπον αὐτὸ καὶ τοῦ βλῶ βλήσω καὶ τοῦ βεβλήατο ἤγουν βέβληντο, καθὰ καὶ τὸ βεβολημένος τοῦ βεβλημένος» καὶ σελ. 1405, 4 «Καὶ οὐ τὸ βολίζειν μόνον ἐκεῖθεν ἀλλὰ καὶ τὸ βολῶ βολήσω, ἐξ οὗ τὸ πένθεϊ δ' ἀτλήτῳ βεβολήατο, ἤγουν βέβληντο κατὰ συγκοπήν» (Πρβ. καὶ Κραμ. 'Αν. Παρ. Τόμ. Γ', σελ. 47, 13 καὶ σελ. 388, 11). Ὅλως ἀπόβλητος εἶνε ἡ γνώμη καθ' ἣν ἐκ τοῦ βεβολημένος καὶ βεβολήατο ἐγένετο τὸ βεβλημένος καὶ βεβλήατο. Ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου κεῖται «Βεβόληντο: τέτρωντο», ἀνθ' οὗ ἀνεγνώσθη ὑπὸ τοῦ Κουστήρου καὶ τοῦ Ἀλβέρτου βεβολήατο. Περὶ τῆς διαφορᾶς τοῦ βεβλῆσθαι καὶ βεβολῆσθαι ἴδε Λέρσιον ἐν τῷ *De Arist. Stud. Homer.* σελ. 64 ἐκδ. β'. Πρβ. καὶ Λεξ. Ὁμηρ. Ἐβελιγγ. Τόμ. Α', σελ. 223. Σημειωτέον δ' ὅτι ὁ Ναύκιος ἀπεδέξατο ἐν τῇ ἐκδόσει τῆς Ἰλιάδος τὴν Ζηνοδότειον γραφὴν βεβλήατο.

δεδμήατο Ἰλ. Γ, 183. Σχολ. Τόμ. Α', σελ. 149, 1 «δεδμήατο — Τοῦτο δὲ ἔκτασιν ἔχει ποιητικὴν τοῦ Ε εἰς τὸ Η διὰ τὴν ἐπαλληλίαν τῶν βραχέων. Τοιοῦτόν ἐστι καὶ τὸ πεφοβήατο. Ἔστι δὲ συγκεκομμένον· παρὰ γὰρ τὸ δαμῶ δεδαμέατο ἦν τὸ ἐντελές. Δύο οὖν πάθη ὑπέμεινε, συγκοπὴν τοῦ Α καὶ ἔκτασιν τοῦ Ε». Ἐτυμ. Μέγ. σελ. 252, 53 «Δεδμήατο: Δαμῶ δμῶ δευτέρας συζυγίας, δέδμηκα δέδμημαι ἐδέδμηντο καὶ Ἰακῶς δεδμέατο — καὶ ἐκτάσει τοῦ Ε εἰς Η δεδμήατο, χρόνου ὑπερσυντελίκου» (Πρβ. Κραμ. 'Αν. 'Οξ. Τόμ. Α', σελ. 96, 31). Ἀπολλών. Σοφιστ. Λεξ. Ὁμηρ. σελ. 57, 1 «Δεδμήατο: δεδμημένοι ἦσαν ἀντὶ τοῦ ὑποτεταγμένοι. Ἔστι δὲ καὶ ἀντὶ τοῦ κατεσκεύαστο» καὶ σελ. 57, 18 «Δεδμήατο: δεδαμασμένοι ἦσαν ἢ κατεσκευασμένοι». Ἡσύχ. «Δεδμήατο: ὑποτε-

ταγμένοι ΕΙΣΙ». Φέρεται δ' ἐν τῷ κώδικι αὐτοῦ καὶ «Δεδήμνατο: δεδαμΝασμένοι (ἦσαν ἢ) κατΑσκευασμένοι» ἀντὶ τοῦ δεδμήατο. Γίνεται δὲ ὑπὸ τοῦ Ἡσυχίου μνεία καὶ τοῦ παρακειμένου «Δεδμήαται: κρατοῦνται». Ἐκ τῆς ῥίζης ΔΑΜ (δαμῆναι)-ΔΜΑ ἐσχηματίσθη παρὰ τῷ Ὁμήρῳ παθητικὸς ἀόριστος δμηθήτω-δμηθέντα καὶ παθητικὸς παρακείμενος δεδμήμεθα, κτλ. καὶ ὑπερσυντέλικος δεδμήμην-δέδμητο-δεδμήατο. Ἐν Ὀδ. Γ, 304 ἀντὶ τοῦ «δέδμητο δὲ λαὸς ὑπ' αὐτῷ» ἔγραφεν ὁ Ἀρίσταρχος «δέδμηΝτο δὲ λαὸς ὑπ' αὐτῷ», ὁμοίως τῷ «ἡ πληθὺς ἀπονέοντο» (Ἰλ. Ο, 305). Ἐγένετο δὲ καὶ ἐκ τῆς ῥίζης ΔΕΜ-ΔΜΕ ὑπερσυντέλικος ἐ-δέδμητο, ἀλλὰ τοῦ τρίτου πληθυντικοῦ προσώπου δεδμήατο οὐδὲν μαρτύριον γινώσκομεν.

κεκλήατο Ἰλ. Κ, 195. Σουίδ. «Κεκλήατο: ἐκ τοῦ καλῶ καλέσω». Ἡσύχ. «Κεκλήατο: συγκεκλημένοι ἦσαν». Ἐν τῷ κώδικι εἶνε κακῶς γεγραμμένον «ΚεκλΕΙατο: συγκεκλΕΙμένοι ἦσαν».

πεφοβήατο Ἰλ. Φ, 206.

ἐφθίατο Ἰλ. Α, 251. Σχολ. Ἰλ. σελ. 300, 22 Βεκκ. «Τὸ δὲ ἑτοιμασαίατο ἀντὶ τοῦ ἑτοιμάσαιντο, ὡς ἐφθίατο». Ἡσύχ. «Ἐφθίατο: ἐφθάρησαν». Κραμ. Ἀν. Παρ. Τόμ. Γ', σελ. 129, 32 καὶ σελ. 276, 7 «Ἐφθίαθ': ἐφθαρμένοι ἦσαν» καὶ σελ. 343, 16 «Ἐφθίατο: Ἔστι τὸ θέμα φθίω — Τοῦ ὑπερσυντελίκου παθητικοῦ τὸ τρίτον πρόσωπον ἔφθιντο καὶ Ἰωνικῶς καθ' ὑποστολὴν τοῦ Ν καὶ πλεονασμῷ τοῦ Α ἐφθίατο». Ἐτυμ. Μέγ. σελ. 403, 36 «Ἐφθίατο. Ἐκ τοῦ φθίνω κατὰ ἀποβολὴν τοῦ Ν γίνεται φθίω, ὁ παθητικὸς παρακείμενος ἔφθιμαι, ὁ ὑπερσυντέλικος ἐφθίμην ἔφθισο ἔφθιτο καὶ πλεονασμῷ τοῦ Α, ἢ τὸ πληθυντικὸν ἐφθίμεθα, ἐφθίατο. Δύο μὲν γενεαὶ μερόπων ἀνθρώπων ἐφθίατο· ἀντὶ τοῦ διεφθάρησαν». Πρβ. καὶ Ζωναρ. Λεξ. σελ. 934 καὶ Κραμ. Ἀν. Ὀξ. Τόμ. Α', σελ. 124, 31. Γελοῖον εἶνε τὸ «ἐκ τοῦ φθίνω κατὰ ἀποβολὴν τοῦ Ν γίνεται φθίω». Τοῦ παθητικοῦ παρακειμένου ἓν μόνον μαρτύριον ἐκ τῶν Ὁμηρικῶν ἐπῶν ἔχομεν, τὸ ἐν Ὀδυσσείας Υ', 340 ἔφθιται. Οὐκ ἀγνοητέον δ' ὅτι τῶν νέων φιλολόγων τινὲς ὑπολαμβάνουσι τὸ ἐφθίατο δεύτερον ἀόριστον, ὡς καὶ τὸ ἔφθιτο-ἀπέφθιτο-ἐξέφθιτο-κατέφθιτο. Πρβ. φθίσθαι-καταφθίσθαι, φθίμενος-ἀποφθίμενος, -καταφθίμενος, εὐκτ. φθῖτο-ἀποφθίμην (ὑποτ.

φθίεται - φθιόμεσθα), προστ. ἀποφθίσθω ("Ἴδε καὶ Λεξ. Ὁμηρ. Ἐβελιγγ. Τόμ. Β', σελ. 426). Ὁ Λεουβὴν γράφει ἐν Ἐγχειρ. Λέξ. Ἐπικ. σελ. 410 « Perfectum passivi ἔφθιται legitur uno loco υ 340, formae autem ἔφθιτο et ἐφθίατο sunt qui ad plusquamperfectum referant, nos aoristo adscribere maluimus. Aoristus passivus denique ἔφθιθεν ε 110, 133 η 251 ψ 331 in ἐφθίατ(ο) mutari potest et collato A 251 fortasse debet». Ἴδε καὶ σελ. 301 καὶ 382. Περὶ τοῦ ἀπέφθιθεν γίνεται λόγος ἐν τῷ Μεγάλῳ Ἐτυμολογικῷ σελ. 532, 42 καὶ ἐν Κραμ. Ἀν. Ὀξ. Τόμ. Α', σελ. 428, 4. Πρβ. καὶ Λεξ. Ὁμηρ. Ἐβελιγγ. Τόμ. Α', σελ. 158. Ἴδε Λαρόχην ἐν *Homer. Untersuch.* σελ. 288 - 9. Ὁ Βλάσσιος ἀποφαίνεται ἐν τῇ ὑπ' αὐτοῦ φιλοπονηθείσῃ ἐκδόσει τῆς τοῦ Κυννήρου Διεξοδικῆς Γραμματικῆς τῆς Ἑλλην. Γλώσσης Μέρ. Α', β', σελ. 563 ὅτι τὸ ἐφθίατο εἶνε σαφῶς ὑπερσυντέλικος. Πρβ. καὶ Μεϋῆρον ἐν *Vergl. Grammat.* Τόμ. Α', σελ. 525 ἐκδ. β'.

εἰρύατο Ἰλ. Ξ, 30. Ο, 654. Ἡσύχ. « Εἰρύατο: εἰλκυσμέναι ἦσαν». Εὐστάθ. Παρεκβ. εἰς Ὅμηρ. σελ. 965, 22 « πολλὸν γάρ ῥ' ἀπάνευθεν μάχης εἰρύατο, τουτέστιν εἰλκυσμέναι ἦσαν, νῆες θῖν' ἐφ' ἁλὸς πολιῆς» καὶ ἐν τοῖς ἑξῆς « καὶ ἦσαν λοιπὸν αἱ μὲν τῶν νηῶν νενεωλκημέναι μακρὰν τῆς μάχης θῖν' ἐφ' ἁλὸς πολιῆς». Ἡ μετοχὴ τοῦ παρακειμένου εἶνε εἰρυμένος. Ἰλ. Ν, 682 « ἔνθ' ἔσαν Αἴαντός τε νέες καὶ Πρωτεσιλάου θῖν' ἐφ' ἁλὸς πολιῆς εἰρυμέναι». Πρβ. Ὀδ. Χ, 90 « εἴρυτο δὲ φάσγανον ὀξύ », περὶ οὗ ἴδε Σχούλζιον ἐν *Quaest. Epic.* σελ. 327, σημ. 2. Ὁ Ἑύνιος ἐν τῇ ἐκδόσει τῆς Ἰλιάδος Τόμ. Δ', σελ. 177 καὶ Τόμ. ς', σελ. 487 μετέβαλε τὸ εἰρυμέναι εἰς τὸ εἰρυΜΜέναι, ὅπερ ἀνελλήνιστον. Σημειωτέον δ' ὅμως ὅτι φέρεται καὶ τύπος κατείρυΣται ἐν Ὀδ. Θ, 151 « νηῦς τε κατείρυσται» (Ἴδε Σχούλζιον ἐν *Quaest. Epic.* σελ. 402). Ὁ Λ. Μεϋῆρος γράφει ἐν *Vergl. Grammat.* Τόμ. Α', σελ. 671 ἐκδ. β' « Passivperfect Fε-Fρῡ-αται (Ilias 14,75) oder Fε-Fρυ-αται (Ilias 4, 248; Od. 6, 265) (in den Ausgaben εἰρύαται) *sie sind gezogen*, Fε-Fρῡ-μέναι *gezogen* (Ilias 18, 682; in den Ausgaben εἰρ-), Fέ-F-ρῡτο *er hatte gezogen* (Od. 22, 90; in den Ausgaben εἰρ-). Fε-Fρῡ-ατο *sie waren gezogen* (Ilias 14, 30; 15, 654; in den Ausgaben εἰρ-), Fέ-

Fρυ-ντο *sie waren gezogen* (Ilias 18, 69; in den Ausgaben εἴρ-); κατ-είρυσται *es ist herabgezogen* (Odyssee 8, 151; vielleicht zu lesen νηῦς κατα-Fέ-Fρυ-σ-ται oder κατα-Fέ-Fρῦ-ται?), κατ-ειρύσθαι *herabgezogen sein* (Odyssee 14, 332; vielleicht zu lesen κατα-Fε-Fρύ-σθαι)».

κεχολώατο Ὀδ. Ξ, 282. Π, 425.

Ὁ Μαυροφρύδης λέγει ἐν Δοκιμ. Ἱστορ. τῆς Ἑλλην. Γλώσσ. σελ. 308 «Συνέβη δὲ καὶ ἐνταῦθα τὸ αὐτὸ πάθος, ὅπερ καὶ ἐν τοῖς δασυντοῖς ἐνεργητ. παρακειμ. τ. ἔ. πρὸ τοῦ α τῶν αται καὶ ατο ἐδασύνθησαν οἱ ψιλοὶ καὶ μέσοι χαρακτῆρες τῶν θεμάτων, ἤδη ἐν τοῖς ὁμηρικοῖς: ἔρχ-αται καὶ ἐέρχ-αται (εἴργω), ὀρωρέχ-αται (ὀρέγομαι), δειδέχαται (δείκνυμι), τετράφαται (τρέπω), τετρίφατο (τρίβω)». Ἐν τοῖς Ὁμηρικοῖς ἔπεσιν ἀπαντᾷ τὸ ἔρχαται καὶ ἔρχατο-ἐέρχατο καὶ τὸ ἐπιτετράφαται καὶ τετράφατο, οὐχὶ δὲ καὶ τὸ τετρίφατο.

Ἐν Ὀδυσσείας Χ, 56 κεῖται «ὅσσα τοι ἐκπέποται καὶ ἐδήδοται ἐν μεγάροισιν» (Πρβ. Λ. Μεϋῆρον ἐν *Vergl. Grammat.* Τόμ. Α', σελ. 1029 ἐκδ. β'). Ὁ Ἀρίσταρχος ἔγραφεν ἐδήδΑται, ὡς μανθάνομεν ἐκ τοῦ Μεγάλου Ἐτυμολογικοῦ, ἐν ᾧ λέγεται σελ. 316, 25 «Ἐδήδαται: Εἰ μὲν διὰ τοῦ Α, ὡς Ἀρίσταρχος καὶ ἄλλοι, ἔστι πληθυντικόν, οἷον ὅσσα τοι ἐκπέποται καὶ ἐδήδαται. Εἰ δὲ διὰ τοῦ Ε, ἔστιν ἑνικόν· ἀπὸ γὰρ τοῦ ἐδῶ ὁ παρακείμενος ἦδεκα, διπλασιασμῷ ἐδήδεκα, ὁ παθητικὸς ἐδήδεσται καὶ ἀποβολῇ (τοῦ Σ) ἐδήδεται καὶ Ἰακῶς ἐδήδαται. Ἡρωδιανός». Πρβ. Ζωναρ. Λεξ. σελ. 615.

Ἐν τῷ Βοσσιανῷ κώδικι τοῦ Μεγάλου Ἐτυμολογικοῦ φέρεται «Ἐδήδαται καὶ ἐδήδατο. Ἀπὸ τοῦ ἔδω ἔσω, ἦκα, ἦσμαι ἦσαι ἦσται, ἐξ οὗ τὸ ἠστὴς καὶ ὠμηστής, ἤσμεθα ἦσθε, τὸ τρίτον Ἰακῶς ἤδαται καὶ ἐδήδαται καὶ ἐπὶ τοῦ ὑπερσυντελίκου ἤδατο καὶ ἐδήδατο· λέγεται (Γρ. ἴσ. λέγει) γὰρ ὁ κανών· εἰ μέντοι εἴη τὸ κοινὸν διὰ τοῦ ΣΤ βαρυτόνως, τότε τὸ Ἰωνικὸν ἔχει πρὸ τοῦ ΑΤΑΙ τὸ χαρακτηριστικὸν σύμφωνον τοῦ μέσου παρακειμένου· ἤλευσται ἠλεύθαται, πέφρασται πεφράδαται. Οἱ δὲ ἀπὸ τοῦ ἐδῶ ἐδέσω, ἤδεκα καὶ Ἀττικῶς ἐδήδεκα, ἐδήδεσμαι ἐδήδεσαι ἐδήδεσται, ὅθεν τὸ ἐδεστόν, ἀπο-

βολῇ τοῦ Σ ἐδήδεται καὶ Ἰακῶς ἐδήδαται, οἷον ὅσσα τοι ἐκπέποται καὶ ἐδήδαται ἐν μεγάροισιν, ἐκ δὲ (γρ. ἴσ. ἐπὶ δὲ) τοῦ ὑπερσυντελίκου ἐδήδατο». Ἂν ὁ ταῦτα γράψας εἶχε πρὸ ὀφθαλμῶν τὸν ἐνεργητικὸν παρακείμενον ἔδηδα (Ἰλ. Ρ, 542 «κατὰ ταῦρον ἐδηδώς» καὶ Ὁμηρ. Ὕμν. εἰς Ἑρμ. 560 «ἐδηδυῖαι μέλι χλωρόν»), θ' ἀπεφαίνετο κατὰ τρόπον ἁπλούστερον καὶ προσφυέστερον περὶ τοῦ σχηματισμοῦ τοῦ τύπου ἐδήδαται. Ἔδηδα -ἘΔΗΔΜΑΙ (-ἘΔΗΣΜΑΙ)-ἐδήδαται. Πρβ. ἘΡΗΡΕΙΔΜΑΙ (-ἐρήρεισμαι)-ἐρηρέδαται. Ἐσφάλλοντο δ' οἱ νομίζοντες ὅτι ἐκ τοῦ ἐδήδεται ἐγένετο τρίτον πληθυντικὸν Ἰωνικῶς ἐδήδαται· διότι, ὄντος τοῦ ἑνικοῦ ἐδήδεμαι-ἐδήδεται, δὲν δύναται τὸ τρίτον πληθυντικὸν νὰ ἔχῃ ἄλλον τύπον ἢ τὸν ἐδηδέαται. Ὁ Συλβούργιος ποιεῖται ἐν τῇ ἐκδόσει τοῦ Μεγάλου Ἐτυμολογικοῦ τὴν παρατήρησιν τήνδε· «ἐκπέποται καὶ ἐδήδαται. Congruentius ἐκπέποται καὶ ἐδήδεται, utrumque singulari numero. Nam ἐδήδαται pluralis numeri est, more Ionico».

Περὶ τοῦ ἐδήδοται, ὃ ἔχουσι τἀντίγραφα τοῦ Ὁμήρου πάντα, λέγει ὁ Εὐστάθιος ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 1918, 61 «Τὸ δὲ ἐδήδοται τὰ παλαιὰ ὑπομνήματα Ἀττικὸν εἶναί φασι παρακείμενον ἐκ τοῦ ἐδῶ ἐδοῖς, ὡς ὀμῶ ὀμοῖς, ἵνα γίνοιτο οὕτως· ἐδῶ ἐδόσω ἦδοκα καὶ Ἀττικῶς ἐδήδοκα, ἐξ οὗ τὸ ἐδήδομαι ἐδήδοται. Ἄλλως μέντοι ἔγνωσται εἶναι παρακείμενος τοῦ ἔδω βαρυτόνου ἦκα καὶ Ἀττικῶς ἔδηκα· εἶτα πλεονασμῷ τῆς ΔΟ συλλαβῆς, ὡς ἂν ἔχοι τρίτον τόπον συλλαβικὸν συστελλόμενον ἐδήδοκα, ἐξ οὗ παθητικὸς παρακείμενος ἐδήδομαι. Καὶ ἔστιν ὅμοιον τὸ ἐδήδοκα πρὸς τὸ ἄγω ἄξω ἦχα ἄγηχα καὶ πλεονασμῷ ἀγήοχα Ὁ δέ γε κανονίσας τὸ ἐδήδοκα ἐκ τοῦ ἐδῶ ἐδήσω, ὅθεν ἡ ἐδητύς, ἤδηκα καὶ πλεονασμῷ τῆς ΔΟ συλλαβῆς καὶ συστολῇ τῆς ἀρχούσης ἐδήδοκα, ὅθεν τὸ ἐδήδομαι, εὐανάτρεπτον μὲν οὐδέν τι γράφει, οὐκ ἀφίησι δὲ καθαρῶς ἠττικίσθαι τὴν λέξιν» καὶ σελ. 137, 2 «Θέμα δὲ τῆς ἐδητύος οὐ τὸ ἐδῶ ἐδέσω, ἐξ οὗ τὸ ἐδεστόν, ἀλλὰ τὸ ἐδῶ ἐδήσω ἄχρηστον, ὅθεν ἴσως καὶ ἡ ἐδηδοκὼς μετοχὴ ἐπενθέσει τῆς ΔΟ συλλαβῆς, ὡς ὑπεμφαίνει καὶ τὸ λέων κατὰ ταῦρον ἐδηδώς· ἐκεῖνο δὲ μέσος Ἀττικός ἐστι παρακείμενος τοῦ ἔδω». Πρβ. καὶ Ἐτυμ. Μέγ. σελ. 9, 33 καὶ σελ. 316, 23.

Ἐν τῇ Ἀττικῇ διαλέκτῳ ὁ μὲν ἐνεργητικὸς παρακείμενος εἶνε ἐδήδΟκα (ἀπεδήδοκα, ἐξεδήδοκα, κατεδήδοκα), ὁ δὲ παθητικὸς ἐδήδΕΣμαι (κατεδήδεσμαι, ἀπεδηδεσμένας παρ' Ἀριστοτέλει περὶ τὰ Ζῷ. Ἱστορ. Η', ϐ', 7, Τόμ. Γ', σελ. 148, 46 μετὰ διαφόρου γραφῆς περιεδηδεσμένας) καὶ ὁ ἀόριστος ὁ παθητικὸς ἠδέσθην (ἀπηδέσθην, κατηδέσθην, ὧν μνημονεύει μαρτύρια ἐκ τοῦ κωμικοῦ Πλάτωνος ὁ Παυσανίας παρ' Εὐσταθ. Παρεκϐ. εἰς Ὅμηρ. σελ. 1403, 33). Ἐλέχθη δὲ καὶ ἔδεσμα, ἐδεστής, ἐδεστός-ἐδεστόν, θριπήδεστος, ἐδεστέον. Πρϐ. καὶ Κραμ. Ἀν. Ὀξ. Τόμ. Α', σελ. 235, 10 «τὸ τρίτον ἔδεσται καὶ ἐξ αὐτοῦ ἐδεστὸν καὶ ἀνέδεστον τὸ μὴ ἐσθιόμενον». Ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου φέρεται «Καταδέδασται: καταϐέϐρωται, καταμεμέρισται». Γράφει δὲ περὶ αὐτοῦ ὁ Κόϐητος ἐν *Var. Lect.* σελ. 363 «Corrupta Hesychii glossa est καταδέδασται: καταϐέϐρωται, καταμεμέρισται. Confundit enim κατεδήδεσται et καταδέδασται. Κατεδήδεσμαι et κατηδέσθην respondent apud veteres formis activis κατεδήδοκα et κατέφαγον: sequiores καταϐέϐρωμαι et κατεϐρώθην dicebant et καταϐέϐρωκα, et formas antiquas corrumpebant. Θριπήδεστος iidem stolide in θριπηδέστατος depravare solent, quia unde formatum esset nesciebant» (Πρϐ. καὶ Μνημοσ. 1875, σελ. 297). Παρατηρητέον δ' ὅτι κεῖται παρὰ τῷ Ἡσυχίῳ καὶ «Κατεδηδεσμένον: καταϐεϐρωμένον» καὶ ὀρθῶς μὲν «Κατεδήδοκε: καταϐέϐρωκε, κατέφαγεν» καὶ «Κατεδηδοκώς: καταϐεϐρωκώς», πλημμελῶς δὲ «ΚατΑδήδΩκε: καταϐέϐρωκεν».

Ἀνελλήνιστον νομίζει ὁ Κόϐητος ἐν τῇ Μνημοσύνῃ 1874, σελ. 368 τὴν ἐκφορὰν ἐδήδοται λέγων «Odyss. χ. 56. ὅσσα τοι ἐκπέποτε καὶ ἐδήδΟται. Neque Homerica forma neque omnino Graeca est ἐδήδοται. Athenienses ἐδήδοκα dicebant et κατεδήδοκα, et passive κατεδήδΕΣμαι et κατηδέσθην. Vitiose Hesychius Καταδέδασται: καταϐέϐρωται pro κατεδήδεσται. Qua forma Poëta usus sit colligendum ex docta annotatatione apud Etymologum pag. 316, 25. Ἐδήδαται: εἰ μὲν διὰ τοῦ Α ὡς Ἀρίσταρχος καὶ ἄλλοι ἔστι πληθυντικόν, οἷον ὅσσα τοι ἐκπέποται καὶ ἐδήδαται· ἐὰν δὲ διὰ τοῦ Ε ἑνικόν. Ingrata admodum et molesta singularis numeri et pluralis in eadem re copulatio. Potior est igitur forma

ἐδήδεται, ut ἐλήλαται, ἀρήροται, ἀλήλεται (ex ἀλεῖν), ὀμώμοται et sim. ». Καὶ ὁ Κούρτιος δοξάζει ἐν τῷ *Das Verb*. Τόμ. Β', σελ. 235 ἐκδ. β' ὅτι ἔκειτο κατ' ἀρχὰς παρ' Ὁμήρῳ ὁ τύπος ἐδήδΕται. Ἴδε καὶ Βλάσσιον ἐν τῇ ὑπ' αὐτοῦ γενομένῃ ἐκδόσει τῆς τοῦ Κυνήρου Διεξοδ. Γραμματικῆς τῆς Ἑλλην. Γλώσσης Μέρ. Α', β', σελ. 28 καὶ 431 καὶ Λεουβῆνα ἐν τῷ Ἐγχειριδίῳ τῆς Ἐπικῆς Λέξεως σελ. 526. Πρβ. καὶ Μόρρον ἐν Ὁμηρ. Γραμματ. σελ. 30 ἐκδ. β'.

Ὅμοιον τῷ ἐν τοῖς ἀντιγράφοις τοῦ Ὁμήρου φερομένῳ ἐδήδΟται εἶνε τὸ παρὰ τῷ Λιβανίῳ ἁπάντων κατεδήδΟτο, ὃ βάρβαρον ἀποκαλεῖ ὁ Κόβητος ἐν *Collect. Crit.* σελ. 292 γράφων « Libanius IV. 372. 9. ἅπαντα ἤδη κατεδήδΟΤΟ, pro forma barbara repone Graecam κατεδήδΕΣτο. Graeculi neque ἐδήδοκα noverant neque ἐδήδεσμαι, ἔδεσμα, ἐδεστής, ἐδεστός, sed βέβρωκα dicebant et βέβρωμαι, βρῶμα ».

Ὁ Μαυροφρύδης μνημονεύει ἐν Δοκιμ. Ἱστορ. τῆς Ἑλλην. Γλώσσ. σελ. 305 ἐνεργητικὸν παρακείμενον ἐδήδοϜα. « Τὸ Ϝ ἐντεῦθεν καὶ ἐπ' ἄλλους παρακειμένους εἶχεν ἐκταθεὶ κατά τινας διαλέκτους, ὡς εἶνε νὰ συμπεράνωμεν ἐκ τῶν ἐδήδοϜα καὶ ἐδέδοϜε τῆς ἐπιγ. 15 τοῦ C. I ». Ὁ Βοίκκιος λέγει ἐν τῇ Συλλογῇ τῶν Ἑλληνικῶν Ἐπιγραφῶν Τόμ. Α', σελ. 34 « Ἐδήδοα p. ἐδήδοκα s. ἔδηδα (unde Homericum passivum est ἐδήδομαι); accedit digamma ἐδήδοϜα, ut vs. 4 ». Πρβ. καὶ σελ. 882. Ἀλλ' ἀπιθανώτατον φαίνεται ὅτι ὑπῆρξέ ποτε παρακείμενος ἐδήδοϜα, νομίζομεν δ' αὐτὸν ἡμεῖς πλάσμα τοῦ Βοικκίου. Ἡ ἐπιγραφή, ἐν ᾗ κατὰ τὴν γνώμην τοῦ ὀνομαστοῦ τούτου φιλολόγου κεῖται ὁ μετὰ τοῦ δίγαμμα προενηνεγμένος τύπος, ἔχει οὕτως, ὥστε πάντα σχεδὸν τὰ ἐν αὐτῇ ἀποβαίνουσι δυστέκμαρτα. Κατὰ τὴν ὑπὸ τοῦ Ἑρμαννοῦ ἐπιφανοῦς καὶ τούτου φιλολόγου γενομένην αὐτῆς ἀνάγνωσιν ἐν *Opusc.* Τόμ. Ζ', σελ. 189 δὲν φαίνεται τὸ ῥῆμα ἐδήδοϜα - ἐδήδοϜε. Ὁ Κούρτιος γράφει ἐν τῷ *Das Verb*. Τόμ. Β', σελ. 235 ἐκδ. β' « Aber hier drang nun eben jenes o ein, dem wir auch im kappalosen S. 215 besprochenen ἐδήδοϜα begegnen (C. I. Gr. No. 15). Das vorauszusetzende ἐδήδοα verhält sich zu ἐδήδοκα wie ἀκήκοα zum dorischen ἄκουκα (Ahrens dor. 337) » (Πρβ. καὶ Βλάσσιον ἐν τῇ ὑπ' αὐτοῦ φιλοπονηθείσῃ ἐκδόσει τῆς τοῦ Κυννήρου Διεξοδ. Γραμ-

ματικῆς τῆς Ἑλλην. Γλώσσης Μέρ. Α', 6', σελ. 431). Μάτην καθ' ἡμᾶς ὁ λόγος γίνεται οὗτος.

Ἐνίους τῶν παρὰ τῷ Ὁμήρῳ ἀπαντώντων Ἰωνικῶν σχηματισμῶν τρίτων πληθυντικῶν προσώπων παθητικῶν παρακειμένων καὶ ὑπερσυντελίκων καὶ ἑτέρους ὁμοίους πλὴν τινων τοῖς ἐκ τῆς Ὁμηρικῆς ποιήσεως ἐν τοῖς ἔμπροσθεν καταλεχθεῖσιν εὑρίσκομεν καὶ παρ' ἄλλοις ποιηταῖς παλαιοῖς τε καὶ μεταγενεστέροις, οἷον

γεγράφαται Ὀππιαν. Κυνηγ. Α', 322.

ἐρρίφαται Ναυμάχ. παρὰ Στοβ. Ἀνθολ. ϞΓ', 23 (Τόμ. Γ', σελ. 185, 10 Τευβν.).

κεκρύφαται Ἡσίοδ. Θεογον. 730. Ἔργ. 386.

τετράφαται Θέογν. 42.

τετεύχαται Ἀπολλών. Ῥόδ. Γ', 137. Ἀνθολ. Παλατ. Ζ', 338, 3.

ἐρηρέδαται Διονύσ. Περιηγ. 395.

βεβλέαται Ἄρατ. 174 καὶ 371.

ἐκκεκωφέαται Ἀνακρ. ἐν Κραμ. Ἀν. Ὀξ. Τόμ. Α', σελ. 287, 28 «Μεμετρέαται: Τοῦτο Ἰωνικόν ἐστιν· ὡς γὰρ νενόηνται νενοέαται καὶ περιποίηνται περιποιέαται (γρ. πεποίηνται πεποιέαται), οὕτως καὶ μεμέτρηνται μεμετρέαται παρὰ τῷ Ἑκαταίῳ· ὁ μὲν οὖν Βόσπορος καὶ ὁ Πόντος οὕτω καὶ ὁ Ἑλλήσποντος κατὰ ταὐτά μοι μεμετρέαται· καὶ παρ' Ἱππώνακτι· οἱ δέ μευ ὀδόντες ἐν τΟΙσι γνάθοισι κεκινέαται· καὶ Ἀνακρέων· αἱ δέ μευ φρένες ἐκκεκωφέαται· καὶ τὸ περιβεβλέαται». Πρβ. Ἐτυμ. Μέγ. σελ. 322, 20 «Ἐκκεκωφέαται: Ἀπὸ τοῦ κωφῶ κωφήσω κεκώφηκα κεκώφημαι κεκώφηται καὶ Ἰακῶς κεκωφέαται καὶ ἐν συνθέσει ἐκκεκωφέαται. αἱ δ' ἐμαὶ φρένες ἐκκεκωφέαται καὶ παραβέβλαπται (παραβεβλαμμέναι εἰσίν)». Ὁ Βέργκιος ἐν τῇ συλλογῇ τῶν Λυρικῶν Ποιητῶν Τόμ. Γ', σελ. 277 ἐκδ. δ' προέκρινε τὴν γραφὴν «αἱ δέ μευ φρένες ἐκκεκωφέαται». Τὸ ἐκ τοῦ Ἑκαταίου παρατεθὲν ἐν τοῖς Ἀνεκδότοις τοῦ Κραμήρου χωρίον εἶνε ἐμφερὲς τῷ κειμένῳ παρ' Ἡροδότῳ βιβλ. Δ', 86 «ὁ μέν νυν Πόντος οὗτος καὶ Βόσπορός τε καὶ Ἑλλήσποντος οὕτω τέ μοι μεμετρέαται κτέ.». Καὶ ὑπελήφθη μὲν ὑπό τινων ὅτι ὁ Ἡρόδοτος μετήνεγκεν εἰς τὸν λόγον αὑτοῦ τὴν ῥῆσιν τοῦ Ἑκαταίου,

ἀλλὰ καὶ ἐκεῖνο δύναται νὰ δοξάζῃ τις, ὅτι ἀντὶ τοῦ ὀνόματος τοῦ Ἡροδότου ἐτέθη κατὰ πλάνην τὸ τοῦ Ἑκαταίου (Πρβ. Λέντζιον ἐν τῇ συναγωγῇ τῶν τοῦ Ἡρῳδιανοῦ Λειψάνων Τόμ. Β', σελ. 225 καὶ Ῥεννῆρον ἐν τοῖς ὑπὸ τοῦ Κουρτίου ἐκδεδομένοις Μελετήμασι Τόμ. Α', β', σελ. 25). Πολλάκις δὲ παρὰ τοῖς γραμματικοῖς γίνεται μνεία κυρίου ὀνόματος ἄλλου ἀντ' ἄλλου, ὡς παρὰ τῷ Σουίδᾳ σελ. 227 α' Βεκκ. «Ἀριστοφάνης· βούλομαι δ', ἄναξ, καλῶς δρῶν ἐξαμαρτεῖν μᾶλλον ἢ νικᾶν κακῶς» καὶ παρὰ τῷ Χοιροβοσκῷ σελ. 554, 8 «ᾤχωκα κατὰ τροπὴν τοῦ Η εἰς Ω, ὡς παρ' Εὐριπίδῃ· ᾤχωκ', ὄλωλα, διαπεπόρθημαι, φίλοι» καὶ παρ' ἑτέροις. Ἀμφότερα τὰ χωρία, ὧν μνεία ἐγένετο ὑπὸ τοῦ Σουίδα καὶ τοῦ Χοιροβοσκοῦ, εἶνε τοῦ Σοφοκλέους (Φιλοκτ. 94 καὶ Αἴ. 896. Πρβ. καὶ Λοβέκκιον ἐν τῷ εἰς Αἴαντα Ὑπομνήματι σελ. 396 ἐκδ. β'). Καὶ ἐν Κραμ. Ἀν. Ὀξ. Τόμ. Α', σελ. 255, 22 χωρίον τοῦ Ἀριστοφάνους Πλ. 382 μνημονεύεται ὡς ὂν τοῦ Μενάνδρου. «Καθεδοῦμαι: ὁρῶ τινα ἐπὶ τοῦ βήματος καθεδούμενον· παρὰ Μενάνδρῳ, καὶ παρὰ τοῖς λοιποῖς Ἀθηναίοις». Ἀλλ' ἴσως εἶνε ὁ λόγος πεπηρωμένος, ἀποκαθίσταται δὲ πλήρης ὧδε ἐκφερόμενος· «Καθεδοῦμαι: ὁρῶ τινα ἐπὶ τοῦ βήματος καθεδούμενον (ΠΑΡΑ Ἀριστοφάνει· καθεδοῦμαι δ' ἐνθαδὶ τὸν Λοξίαν αὐτὸν καταλαβών) ΠΑΡΑ Μενάνδρῳ· καὶ παρὰ τοῖς λοιποῖς Ἀθηναίοις». Τὴν ῥῆσιν τοῦ Μενάνδρου βλέπει τις ἐν τῷ Λεξικῷ τοῦ Ζωναρᾶ σελ. 1170. Ἴδε καὶ Μεινέκιον ἐν τῇ συλλογῇ τῶν Ἀποσπασμάτων τῶν Κωμικῶν Τόμ. Δ', σελ. 280, 207.

κεκινέαται Ἱππῶν. ἐν Κραμ. Ἀν. Ὀξ. Τόμ. Α', σελ. 288, 1. Πρβ. καὶ Ἀν. Παρισ. Τόμ. Δ', σελ. 69, 33 (Ἐτυμ. Μέγ. σελ. 499, 41 κατὰ κώδ. Παρισ.) «Κεκινέαται: οἷον οἱ δέ μευ ὀδόντες ἐν τΟΙσι γνάθοισι ΠΑΝΤΕΣ κεκινέαται». Πολλαχῶς δ' οἱ κριτικοὶ μετέγραψαν τὴν ῥῆσιν ταύτην (Ἴδε Βέργκιον ἐν τῇ συλλογῇ τῶν Λυρικῶν Ποιητῶν Τόμ. Β', σελ. 483 ἐκδ. δ'). Ἐν τῷ Μεγάλῳ Ἐτυμολογικῷ φέρεται σελ. 578, 41 «Μεμετρέαται: Μετρῶ μετρήσω μεμέτρηκα μεμέτρημαι μεμέτρηται καὶ Ἰακῶς μεμετρέαται παρὰ Ἱππώνακτι· ὁ μὲν οὖν Βόσπορος καὶ ὁ Πόντος κατὰ πάντα μοι μεμετρέαται» (Πρβ. καὶ Ζωναρ. Λεξ. σελ. 1351). Εἶνε δ' ὑπὸ τοῦ Γαισφόρδου ἐν ταῖς Σημειώσεσι τάδε γεγραμμένα εἰς τὸ παρ' Ἱππώνακτι· «Sequens locus Herodoti est IV. 86. quem Hecatæo

tribuit Grammaticus in Cram. Anecd. I. I. p. 287, 30 unde patebit Hipponactis versiculum Etymologo excidisse». Ὁ Βέργκιος λέγει ἐν τῇ συλλογῇ τῶν Λυρικῶν Ποιητῶν Τόμ. Β', σελ. 483 ἐκδ. δ' «Hecatæi locus cum Hipponactis versibus confusus est».

κεκλήαται Ἀπολλών. Ῥόδ. Α', 1128.

πεπλήαται Σιμωνίδ. ἐν Ἐτυμ. Μεγ. σελ. 367, 37 «Ἔπλητ' ἀλλήλῃσι: Ἐκ τοῦ πλῶ τὸ πλησιάζω ὁ παρακείμενος πέπληκα — ὁ παθητικὸς πέπλημαι πέπληται καὶ παρὰ Σιμωνίδῃ πεπλήαται». Ὁ Βέργκιος γράφει ἐν τῇ συλλογῇ τῶν Λυρικῶν Ποιητῶν Τόμ. Β', σελ. 458 ἐκδ. δ' «Cod. Flor. Miller Misc. 124 poetæ verba adiicit: τὰ δ' ἄλλα πεπλήαται ξύλα, scripsi πεπλέαται, quod etiam Renner commendavit». Πρβ. καὶ Κυννήρου Διεξ. Γραμματικὴν τῆς Ἑλλην. Γλώσσης Μέρ. Α', β', σελ. 77 Βλασσ. Σημειωτέον δ' ὅτι ὑπὸ μὲν τοῦ Σνειδεβίνου κατελέχθη τὸ πεπλήαται ἐν τοῖς Σιμωνίδου τοῦ Κείου Λειψάνοις (σελ. 125, 36), ὑπὸ δὲ τοῦ Βεργκίου κατεχωρίσθη τὸ τὰ δ' ἄλλα πεπλήαται (πεπλέαται) ξύλα ἐν τοῖς τοῦ Ἀμοργίνου Σιμωνίδου (Ποιητ. Λυρ. Τόμ. Β', σελ. 458 ἐκδ. β'). Παρατηροῦμεν δ' ἐν παρόδῳ ὅτι τὸ ὄνομα τοῦ Ἀμοργίνου ποιητοῦ ἐγράφετο διὰ τοῦ Η, Σημωνίδης, κατὰ τὴν τοῦ Χοιροβοσκοῦ μαρτυρίαν, ἣν οὐχὶ ἀπόβλητον νομίζει ὁ Φίκκιος ἐν *Beitr. Bezzenb.* 1897, σελ. 184. Ἴδε καὶ Βέργκιον ἐν τῇ συλλογῇ τῶν Λυρικῶν Ποιητῶν Τόμ. Β', σελ. 441 ἐκδ. δ'.

πεπονήαται Ἄρατ. 82. Κακῶς ὁ Βεκκῆρος ἐξέδωκε κατ' ἀντίγραφα πεπονΕΙαται.

δειδέχατο Ἀπολλών. Ῥόδ. Α', 319. 1180. Δ', 996.

τετεύχατο Ἡσίοδ. Θεογ. 581. Μόσχ. Β', 43. Νόνν. Διονυσ. Ε', 181.

ἐστάλατο Ἡσίοδ. Ἀσπ. 288. Σχολ. σελ. 641, 36 Λιψ. «Τὸ δὲ ἐστάλατ', ἤγουν ἐστάλατΑΙ, ἀντὶ τοῦ ἀνεζωσμένοι ἦσαν — Ἰωνικὸν δὲ τὸ ἐστάλαται, ὡς τὸ τετύφαται, ἀπὸ τοῦ στέλλω τὸ κοσμῶ, οὗ τὸ τρίτον πρόσωπον τοῦ παθητικοῦ παρακειμένου ἔσταλται καὶ πλεονασμῷ τοῦ Α ἐστάλαται τὸ τρίτον τῶν πληθυντικῶν». Ἴδε Ῥιζάχιον ἐν τῷ *Der Dial. d. Hesiod.* σελ. 440 καὶ Γοιτλίγγιον εἰς Ἡσίοδ. σελ. 153 ἐκδ. γ'.

(εἴατο Ἡσίοδ. Θεογ. 622).

πεπονήατο. Ἀντίμαχ. παρ' Ἡρωδ. περὶ Μον. Λέξ. σελ. 4,10. Ἀπολλών. Ῥόδ. Α', 752. Β', 263. Ὁ Βρούγκιος ποιεῖται ἐν τῇ ἐκδόσει τοῦ Ἀπολλωνίου τὴν παρατήρησιν τήνδε βιβλ. Α', 752 (Τόμ. Α', σελ. 223 Σχ.) «πεπονήατο. Male Medic. ut primariae editiones, πεπονείατο». Γράφει δὲ καὶ ὁ Στούρζιος ἐν τῇ ἐκδόσει τοῦ Μεγάλου Ἐτυμολογικοῦ σελ. 261, 54 «Neutiquam vero cum Peyrono damnaverim formam πεπονήατο, utpote quae adeo proba est, ut Brunckius ad Apoll. Rhod. I. 752. ubi Mediceus Codex πεπονείατο exhibet, hac forma rejecta servaverit πεπονήατο, quod H. Stephanus jam ediderat. Etiam πεπονείαται in Arati Phaenomm. v. 82. quod pro sua opinione Peyronus attulit, haud dubie in πεπονήαται mutandum est, quod in tribus Codd. Mss. invenit Buhlius». Ὁ Κυννῆρος ἐν Διεξοδ. Γραμματ. τῆς Ἑλλην. Γλώσσ. Μέρ. Α', σελ. 898 ἐκδ. β' μνημονεύει τύπον μὲν πεπονΕΙαται ἐκ τοῦ Ἀράτου, τύπον δὲ πεπονΗατο ἐξ Ἀπολλωνίου τοῦ Ῥοδίου. «πεπόνημαι (-έαται Hdt. 2, 63, -είαται Arat. 82)—πεπόνητο O, 447, 3 pl. -ήατο Ap. Rh. 2, 263. -είατο Orph. Arg. 770. 1160» (Πρβ. καὶ Σχοῦλζιον ἐν *Quaest. Ep.* σελ. 248). Ἐν τοῖς Ἀργοναυτικοῖς τοῦ Ψευδορφέως δὲν κεῖται ὁ τύπος ΠΕπονείατο ἀλλ' ὁ πονήατο ἢ πονείατο. Παρατιθέμεθα καὶ τὰ ὑπὸ τοῦ Γ. Δινδορφίου γεγραμμένα ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. ϛ', σελ. 1467 β' «Pluralis personae tertiae forma Ionica soluta est πεπονέαται et plusquamperfecti πεπονέατο, quam Epici inserto ι metro accommodarunt. Aratus 82: Ἀμφότεραι δ' Ὄφιος πεπονείαται· ubi alii libri πεπονήαται, ut in versu Antimachi apud Herodian. Περὶ μ. λέξ. p. 4, 10, scriptum est: Τὼ δ' αὖτ' ἀμφὶ κονισάλεον πεπονήατο δίφρον, ut ἀκαχήατο in libris plurimis scriptum ap. Hom. Il. M, 179, pro ἀκαχείατο, in quo diphthongum diserte agnoscunt Etym. M. 46, 10 et Eustath. p. 898, 60. Omissa reduplicatione et cum hiatu πονείατο dixit Orph. Arg. 765: Ὣς οἱ μὲν τὰ ἕκαστα πονείατο· αὐτὰρ. . . . et sequente ἐκ 1153, ubi vulgo utrobique πονήατο, sed codex Voss. πονείατον». Ὁ Ἑρμαννὸς ἐν τῇ ἐκδόσει τῶν Ὀρφικῶν σελ. 148 ἀναγινώσκει πονείαθον λέγων «Caeterum vulgata lectio πονήατο, quae vereor ut alio huius formae exemplo defendi

possit, etiam hiatu laborat, et hic et infra v. 1160. Quem quum utroque in loco optimus codex Vossianus tollat, restituendum putavi unius litterae mutatione formam in aliis certe verbis usitatissimam, cuius exempla, praeter Piersonum ad Moer. p. 118. congessit Fischerus ad Well. Gramm. III. 1. p. 11 seq.». Ὁ διαπρεπὴς φιλόλογος τὸ μὲν ἀσύστατον ὑπολαμβάνων τὸν τύπον πονήατο, τὸ δὲ τῇ χασμωδίᾳ προσκρούων, τρέψας τὸ Τ τοῦ ἐν τῷ Βοσσιανῷ κώδικι φερομένου πονείατον εἰς Θ, ἔγραψε πονείαθον ἐξ ἐνεστῶτος πονειάθω, ὅστις οὔτε ὑπῆρξέ ποτε ἐν τῇ Ἑλληνικῇ γλώσσῃ οὔτ' ἦτο δυνατὸν νὰ ὑπάρξῃ. Θαυμάζομεν δ' ὅτι ἐνεκρίθη ἡ γραφὴ τοῦ Ἑρμαννοῦ καὶ ὑπὸ τοῦ Ἀβέλου ἐν τῇ ἐκδόσει τῶν Ὀρφικῶν. Οὐκ ὀλίγοι δὲ δακτυλικοὶ ἑξάμετροι εὑρίσκονται παρὰ τῷ Ὁμήρῳ ὅμοιοι ὄντες τοῖς παρὰ τῷ Ψευδορφεῖ μετὰ χασμωδίας προενηνεγμένοις, οἷον Ἰλ. Β, 218:

κυρτώ, ἐπὶ στῆθος συνοκωχότε· αὐτὰρ ὕπερθεν.

κτλ. Πρβ. Θεόκρ. Β', 154:

ταῦτά μοι ἁ ξείνα μυθήσατο· ἔστι δ' ἀλαθής.

Κεῖται δὲ καὶ παρὰ τῷ Ψευδορφεῖ Ἀργοναυτ. 233:

καί ῥά οἱ ἄλλοθεν ἄλλος ἐκέκλετο ἠδ' ἀγόρευεν.

λεσται». Τὸ τετρασύλλαβον κεκράανται φέρεται ἐν τοῖς Ὁμηρικοῖς ἔπεσιν, ὡς καὶ τὸ κεκράαντο, οἷον Ὀδυσσ. Δ, 132 «χρυσῷ δ' ἐπὶ χείλεα κεκράαντο» καὶ Δ, 616 καὶ Ο, 116 «χρυσῷ δ' ἐπὶ χείλεα κεκράανται». Ὁ Κόβητος νομίζει (ἐν *Var. Lect.* σελ. 227) ὅτι οἱ περὶ ὧν ὁ λόγος τύποι εἶνε πληθυντικοῦ ἀριθμοῦ παρηγμένοι ἐκ τοῦ κεράννυμι. Πρβ. καὶ Σχολ. Ὀδυσσ. σελ. 187, 3 «ἐπὶ χείλεα κεκράαντο: ἀντὶ τοῦ ἀπήρτιστο ἢ κεκέραστο» καὶ Εὐστάθ. σελ. 1487, 60 «χρυσῷ δ' ἐπὶ χείλεα κεκράαντο ἤτοι ἐπὶ χρυσῷ τὰ χείλη ἀπήρτιστο καὶ τετελείωτο ἐκ τοῦ κραιαίνω ἢ τὰ χείλη χρυσῷ ἐκέκρατο» (Ἴδε καὶ Ἀμείσιον εἰς Ὀδυσσ. Δ, 132). Τοῦ κεκράανται ἐγένετο χρῆσις καὶ ὑπ' Ἀπολλωνίου τοῦ Ῥοδίου Δ, 193 «ἤδη γὰρ χρειὼ —εὐπαλέως κούρης ὑπὸ δήνεσι κεκράανται», ὅπερ προφανέστατα εἶνε ἑνικοῦ ἀριθμοῦ ἐκ τοῦ κραίνω ἐσχηματισμένον. Σχολ. «Ἡ γὰρ χρεία, φησίν, ἧς χάριν τοῦτον τὸν πλοῦν ὑπέστημεν τὸν χαλεπόν, εὐκόλως ταῖς βουλαῖς τῆς κόρης τετέλεσται». Ἐν τῷ Ὁμηρικῷ Λεξικῷ τοῦ Ἐβελιγγίου Τόμ. Α', σελ. 881 λέγεται «Plurimi pass. perf. κεκράανται δ 616 ο 116 et plusqu. κεκράαντο δ 132 ducunt a verbo κραίνω, sed rectius videntur hae formae cum Thiersch, Damm, Cobet, Am. a κεράννυμι ducendae esse» (Πρβ. καὶ σελ. 764). Ὁ ἐν *Var. Lect.* σελ. 227 λόγος τοῦ Κοβήτου ἔχει ὧδε· «Sed neque κραίνειν de huismodi opificio dici potuit, neque haec significatio locis Poëtae apta est. Requiritur ἥρμοσται, ἥρμοστο. Glossa Hesychii κέκρηται, ἥρμοσται facit ut credam κεκράανται idem esse atque κέκρανται a κεράννυμι». Τὸ κέκρΑνται εἶνε κατὰ τὴν Ἀττικὴν διάλεκτον προενηνεγμένον, ἀπᾴδει δὲ τῆς Ὁμηρικῆς χρήσεως (Πρβ. ἄκρΗτος, μελίκρΗτος, κρΗτήρ καὶ ἐπικρΗσαι, ὃ ὕποπτον φαίνεται τῷ Ναυκίῳ). Πῶς δ' ἐκ τοῦ κέκρΗνται (ἢ καὶ ἐκ τοῦ κέκρανται) ἐσχηματίσθη τὸ κεκράανται ἀδυνατοῦμεν ἡμεῖς νὰ νοήσωμεν. Πρὸς τῷ τύπῳ κραίνω ὑπῆρχε καὶ ὁ τρισύλλαβος κραιαίνω ἀπαντῶν παρ' Ὁμήρῳ κατὰ παρατατικὸν ἐκραίαινεν καὶ μετὰ τῆς προθέσεως ἐπί ἐπεκραίαινεν· φέρεται δὲ παρ' αὐτῷ καὶ ὁ ἀόριστος κρήηνον-ἐπικρήηνον καὶ κρηήνατε καὶ κρηῆναι καὶ τὸ ἐπί-

θετον ἀκράαντος. Ὡς δ' ἐλέχθη ἀκράαντος, οὕτω καὶ κεκράανται καὶ κεκράαντο. Πρβ. καὶ φαάνθη-φάανθεν καὶ ἐξεφαάνθη -ἐξεφάανθεν.

Περὶ τῆς χρήσεως τῆς δοτικῆς χρυσῷ ἐν τῷ «χρυσῷ δ' ἐπὶ χείλεα κεκράανται» γράφει ὁ Κυννῆρος ἐν τῇ Διεξοδικῇ Γραμματικῇ τῆς Ἑλλην. Γλώσσης Μέρ. Β', σελ. 380 ἐκδ. β' «Auch der *Stoff*, *aus dem* Etwas gemacht, und der *Preis*, durch den Etwas gewonnen wird, werden zuweilen als blosses *Mittel* betrachtet. ο, 116 χρυσῷ δ' ἐπὶ χείλεα κεκράανται. τ, 563 αἱ μὲν (πύλαι) κεράεσσι τετεύχαται, αἱ δ' ἐλέφαντι. Theocr. 1, 52 ἀνθερίκεσσι καλὴν πλέκει ἀκριδοθήραν— Η, 473 ἔνθεν ἄρ' οἰνίζοντο . . . ἄλλοι μὲν χαλκῷ, ἄλλοι δ' αἴθωνι σιδήρῳ». Πρβ. καὶ Ματθίαν ἐν Διεξοδ. Ἑλλην. Γραμματ. σελ. 854 καὶ 891 ἐκδ. γ'. Λέγει δὲ καὶ ὁ Ἀσώπιος ἐν τῇ Δευτέρᾳ Περιόδῳ τοῦ Συντακτικοῦ σελ. 221, § 60 ἐκδ. β' «Ἐκφέρεται προσέτι (τὸ ὑλικὸν αἴτιον) καὶ διὰ δοτικῆς· ἀγορὰ καὶ τὸ πρυτανεῖον παρίῳ λίθῳ ἠσκημένα (Ἡρ. Γ', 57).—αἱ μὲν κεράεσσι τετεύχαται, αἱ δ' ἐλέφαντι (Ὀδ. Τ, 463), ἔνθα ἡ ὕλη ἐξ ἧς τὸ πρᾶγμα θεωρεῖται ὡς ὄργανον». Ὑπὸ τοῦ Ἡροδότου ἐρρήθη «ἡ ἀγορΗ καὶ τὸ πρυτανΗΙον». Περὶ τῆς προκειμένης χρήσεως ἐποιήσατο λόγον καὶ ὁ Σχαιφῆρος ἐν τῇ ἐκδόσει τῶν Βοσίου Ἑλληνικῶν Ἐλλείψεων σελ. 693 καὶ ἐν τῇ τῶν Ποιμενικῶν τοῦ Λόγγου σελ. 331 καὶ 455 καὶ ὁ Βάστιος ἐν τῇ Κριτικῇ Ἐπιστολῇ σελ. 67-8 (Ἴδε καὶ Σειλῆρον εἰς Λόγγ. σελ. 167). Ἐμνημόνευσαν δ' οὗτοι καὶ ἐκ τοῦ μεταγενεστέρου ἑλληνισμοῦ παραδείγματα, τὸ τοῦ Παυσανίου βιβλ. Ε', ια', 10 «τοῦτο οὐ λευκῷ, μέλανι δὲ κατεσκεύασται τῷ λίθῳ» καὶ ἄλλα. Ἐλέχθη δὲ καὶ ὑπὸ τοῦ Θουκυδίδου βιβλ. Γ', 68, 3 «καὶ τοῖς ἄλλοις ἃ ἦν ἐν τῷ τείχει ἔπιπλα, χαλκὸς καὶ σίδηρος, κλίνας κατασκευάσαντες ἀνέθεσαν τῇ Ἥρᾳ». Πρβ. καὶ Πτολεμ. Βασιλ. παρ' Ἀθην. σελ. 229 δ' «τὰ δὲ κανίσκια ἦν ἅπαντα χρυσᾶ, γεγονότα πρὸς τὰ πλεκόμενα ταῖς σχοίνοις». Ὅμοιον τούτῳ ὑπάρχει τὸ ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου «Φορμός: ἀγγεῖόν τι πλεκτὸν ψιάθοις ὡς κόφινος» κατὰ τὴν τοῦ Μουσούρου ἀνάγνωσιν ἀντὶ τοῦ ἐν τῷ κώδικι γεγραμμένου «ἀγγεῖόν τι πλεκτὸν ψιάθους», ὃ δύναταί τις νὰ ὑπολάβῃ ἡμαρτημένην γραφὴν τοῦ «ἀγγεῖόν τι πλεκτὸν ψιάθου». Ὁ Φισχῆρος λέγει ἐν ταῖς εἰς τὴν

Οὐελλήρου Γραμματικὴν Παρατηρήσεσι Τόμ. Γ', α', σελ. 375 «Caeterum pro genitivo, quem praepositio ἐκ comitatur, sic ponitur simpliciter ablativus: ut, Alcphr. 3. ep. 37. p 352. εἰρεσιώνην ἐξ ἀνθῶν πλέξασα· sed Anacr. odar. 39, 13. στεφάνους ἄνθεσι πλέξας».

Ἄξιον μνείας νομίζομεν καὶ τὸ παρ' Ἁρποκρατίωνι κείμενον σελ. 80, 5 «γήπεδον τὸ χωρίον, ὥσπερ καὶ οἰκόπεδον τὸ γῇ καὶ οἰκήμασιν ἀπαρτιζόμενον». Παρὰ τῷ Στράβωνι ἀπαντᾷ σελ. 379 «ἱεροῦ τινος ἢ βασιλείου λευκῷ λίθῳ πεποιημένου». Φέρεται δὲ καὶ γραφὴ λευκολίθῳ (καὶ λευκολίθου). Ὁ Κοραῆς γράφει ἐν τῇ ἐκδόσει τοῦ Στράβωνος Τόμ. Δ', σελ. 166 «Ἱεροῦ τινος ἢ βασιλείου, ΛΕΥΚΟΛΙΘΟΥ πεποιημένου κ.τ.λ. Ἐκ ΔΓ, ΑΤ, ΛΕΥΚΩ ΛΙΘΩ». Ὁ Μεινέκιος ἐν τῇ ἐκδόσει τοῦ Στράβωνος Τόμ. Β', σελ. VI εἰκάζει λευκοῦ λίθου ἀντὶ τοῦ λευκῷ λίθῳ. Ὑπὸ τοῦ Βαστίου εἶνε εἰρημένον ἐν τῇ Κριτικῇ Ἐπιστολῇ σελ. 68 «Pausanias, V. 11. Τοῦτο οὐ λευκῷ, μέλανι δὲ κατεσκεύασται τῷ λίθῳ. Pro casu tertio usus est *Luciani* Scholiastes praepositione διὰ (Vol. I. p. 162), μήπω δὲ τοῦ θεάτρου διὰ λίθων κατεσκευασμένου» καὶ σελ. 278 «Etym. M. Κανδύλη, βρῶμά ἐστι διὰ γάλακτος καὶ μέλιτος κατασκευαζόμενον. V. inprimis Schaeferus *ad Dionys*. p. 167». Πρβ. Διοσκορίδ. Τόμ. Α', σελ. 623 «καὶ σκηναὶ δι' αὐτῆς γίνονται τοῦ θέρους». Ἴδε καὶ Μεινέκιον ἐν τῇ ἐκδόσει τῶν Μενάνδρου καὶ Φιλήμονος Λειψάνων σελ. 307 καὶ Πασσόβιον ἐν τῷ Ἑλληνικῷ Λεξικῷ Τόμ. Α', σελ. 628. Ἐμφερῆ παραδείγματα τῷ ἐκ τοῦ Μεγάλου Ἐτυμολογικοῦ παρατεθέντι ὑπὸ τοῦ Βαστίου κατελέξαμεν ἡμεῖς πολλὰ ἐν τῇ Ἀθηνᾷ Τόμ. Δ', σελ. 285-6.

Ἐν τέλει μνημονεύομεν τὰ ὑπὸ τοῦ Λεουβῆνος «Περὶ τοῦ χρυσῷ δ' ἐπὶ χείλεα κεκράανται (-αντο)» γεγραμμένα ἐν Ἐγχειρίδ. Λέξ. Ἐπικ. σελ. 495 «Mihi vero *miscendi* verbum multo minus quam *perficiendi* sive *elaborandi* huc quadrare videtur neque κέκρᾶνται sed κεκρᾶᾶται potius dicendum fuisset vetustis cantoribus». Βλέπει δέ τις ἐν σελ. 300-1 τίνα γνώμην ἔχει ὁ ἐλλογιμώτατος ἀνὴρ περὶ τῶν παρὰ τῷ Ὁμήρῳ ἀπαντώντων κοινῶν τύπων τρίτων πληθυντικῶν προσώπων παθητικῶν παρακειμένων καὶ ὑπερσυντελίκων.

ΜΕΡΟΣ ΙΘ΄.

Παλαιῶν γραμματικῶν διδάγματα περὶ τοῦ σχηματισμοῦ τοῦ τρίτου πληθυντικοῦ προσώπου παθητικῶν παρακειμένων διὰ τῆς καταλήξεως ΑΤΑΙ καὶ παθητικῶν ὑπερσυντελίκων διὰ τῆς καταλήξεως ΑΤΟ

Πολλάκις ὑπὸ τοῦ Εὐσταθίου γίνεται παρατήρησις ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς περὶ τῆς Ἰωνικῆς ἐκφορᾶς τοῦ τρίτου πληθυντικοῦ προσώπου τοῦ παθητικοῦ παρακειμένου καὶ ὑπερσυντελίκου, οἷον

σελ. 234, 8 «Σημείωσαι δὲ ὅτι τὸ γενοίατο, ὡς καὶ ἐν τῇ Α ῥαψῳδίᾳ τὸ ἐφθίατο, ἀντὶ τοῦ γένοιντο καὶ ἔφθιντο, Ἰωνικά ἐστι πλεονασμὸν ἔχοντα τοῦ Α μετὰ τὴν τοῦ Ν ἀπέλευσιν. Μυρία δὲ καὶ ἕτερα τοιαῦτά εἰσιν. Ὅλως γὰρ τὰ διὰ τοῦ ΑΤΑΙ καὶ ΑΤΟ τρίτα παθητικὰ πληθυντικὰ Ἰωνικοῦ εἰσι σχηματισμοῦ, ὁποῖον καὶ τὸ λελέχαται καὶ τετύφαται καὶ ἐσπάραται καὶ παρ' Ἡροδότῳ τὸ ἐσεσάχατο ἀντὶ τοῦ ὡπλισμένοι ἦσαν καὶ τὰς κνήμας ῥάκεσι κατειλίχατο καὶ τὰς κεφαλὰς εἰλίχατο μίτραις. Ὡσαύτως καὶ τὰ κατὰ πλεονασμὸν τῆς ΔΑ συλλαβῆς, οἷον τὸ ὠνομάδαται καὶ ἐρηρέδαται καὶ ἐσταλάδατο κατὰ Ἡρόδοτον καὶ τὰ κατὰ ἀποβολὴν τοῦ Ν καὶ διάλυσιν τοῦ παραλήγοντος Η εἰς Ε καὶ Α· οὕτω γὰρ Ἡρόδοτος δίχα πολλῶν ἑτέρων καὶ ἀποκαθέαται φησὶ καὶ εἰρέαται ἀντὶ τοῦ εἴρηνται καὶ ὑμνέαται καὶ ἐκτέατο ἀντὶ τοῦ ἐκέκτηντο καὶ ἐτιμέατο· οἷς ὅμοια καὶ ἐν ὀνόμασι παρ' αὐτῷ τὸ Ἀρισταγόρην Ἀρισταγόρεα καὶ Καμβύσεα καὶ Μιλτιάδεα· καὶ ἐν τούτοις γὰρ τὸ Η μὲν διαλύεται, ἀπέρχεται δὲ τὸ ἐπαγόμενον Ν. Καὶ τὸ πεποτήαται δὲ μέλισσαι ἀντὶ τοῦ πέτονται Ἰωνικόν ἐστιν. Ἡρόδοτος δὲ καὶ στρατεύεσθαι ὁρμέαται φησὶ καὶ ἀγωνίδαται καὶ παρεσκευάδατο» καὶ σελ. 828, 22 «Τὸ δὲ ὀρωρέχατο Ἰωνικὸν μέν ἐστιν ὅμοιον τῷ ἐπεπλέχατο καὶ τοῖς ὁμοίοις, δηλοῖ δὲ τὸ ἐτέταντο» καὶ σελ. 909, 16 «Ἰστέον δὲ ὅτι τὸ ἐπῴχατο σημαίνει ποτὲ ἐν ἄλλοις καὶ τὸ ἀνεῳγμέναι ἦσαν ἀπὸ τοῦ ᾦκτο, ὡς τέτευκτο τετεύχατο Ἰωνικῶς, φασί, καὶ Ἀττικῶς. Τοιαύτης δὲ σκευωρίας καὶ ὁ τούτου πα-

ρακείμενος τὸ ἐπῴχαται ἀπὸ τοῦ ᾦκται» καὶ σελ. 912, 24 «Καὶ γίνεται (τὸ ἐρράδατο) ἐκ τοῦ ἔρραστο ἑνικοῦ τρίτου προσώπου παθητικοῦ ὑπερσυντελίκου ἀποβολῇ τοῦ Σ καὶ πλεονασμῷ τῆς ΔΑ συλλαβῆς ὁμοίως τῷ ὠνόμασται ὠνομάδαται, ἐρήρειστα ἐρηρέδαται» καὶ σελ. 1300 τέλ. «Τὸ δὲ ἐρηρέδαται Ἰωνικὸν μέν ἐστι, γίνεται δὲ συνήθως ἀπὸ τοῦ ἐρήρεισται τρίτου προσώπου τῶν Ἰωνικῶν (γρ. ἑνικῶν) ἀποβολῇ δύο στοιχείων καὶ προσθέσει τῆς ΔΑ συλλαβῆς, ὃ γίνεται καὶ ἐπὶ τοῦ ὠνόμασται ὠνομάδαται καὶ τῶν ὁμοίων. Ἰστέον γὰρ ὅτι οἱ Ἴωνες οἰκεῖα τρίτα πληθυντικὰ ῥήματα ἐκ τρίτων κοινῶν ἑνικῶν ποιοῦσι ποτὲ μὲν μόνην ποιούμενοι προσθήκην τοῦ Α, ὡς καὶ προπαραδέδοται, οἷον ἔσταλται ἐστάλαται, ἔσπαρται ἐσπάραται, πολλαχοῦ δὲ καὶ τὸ ψιλὸν τοῦ τρίτου ἑνικοῦ σύμφωνον εἰς δασὺ τρέποντες· τέτυπται τετύφαται, εἶρκται ἔρχαται. Ἐνίοτε δὲ τῷ συνήθως πλεονάζοντι Α καὶ τὸ Δ προσελάμβανον ἀποβαλόντες τι τοῦ πρωτοτύπου τρίτου ἑνικοῦ· ἐν γοῦν τῷ ἐρήρεισται καὶ ὠνόμασται ἐξεβλήθη μὲν τὸ Σ, ἀντεισήχθη δὲ μετὰ τοῦ συνήθους τοῖς Ἴωσιν Α καὶ τὸ Δ καὶ γέγονεν ἡ ΔΑ συλλαβὴ συντελοῦσα εἰς τὸ ἐρηρέδαται καὶ ὠνομάδαται, ὡς καὶ ἐν τῷ πεφράδαται» καὶ σελ. 1569, 59 «Τὸ δὲ ἐρηρέδαται ἐστὶ μὲν Ἰωνικόν, γίνεται δὲ ἀπὸ τρίτου ἑνικοῦ τοῦ ἐρήρεισται ἀποβολῇ τοῦ σίγμα τῆς ληγούσης καὶ πλεονασμῷ τῆς ΔΑ συλλαβῆς ὁμοίως τῷ ὠνόμασται ὠνομάδαται καὶ συστολῇ τῆς προπαραληγούσης. Τοιαῦτα δὲ καὶ τὸ πέφρασται πεφράδαται καὶ ἐσκεύασται ἐσκευάδαται παρὰ Ἡροδότῳ, οἷον τὰ προπύλαια ἐσκευάδαται. Εἰ δὲ γράφεται ἐληλέδαται· οὕτω γὰρ ἔχουσι τῶν ἀντιγράφων τινὰ καὶ λέγεται καὶ ἐπὶ τοιούτου σημαινομένου ἡ λέξις, ὡς τὸ καὶ ἕρκος ἐλήλαται καὶ ἀμφὶ δὲ τεῖχος ἤλασε (ἔλασσε) πόλει· ἐκ τοῦ ἐλήλαται τηνικαῦτα γίνεται παθητικοῦ παρακειμένου τὸ ἐληλέδαται, ἐπεντεθέντων πρὸ τοῦ Α τῆς παραληγούσης τοῦ Ε καὶ τοῦ Δ ὁμοίως τῷ ἀκηχέδαται ἤγουν λελύπηνται καὶ τοῖς τοιούτοις, περὶ ὧν καὶ ἐν τῇ Ἰλιάδι γέγραπται. Ἐνταῦθα δὲ σημειωτέον κείμενον παρὰ τῷ Ἀθηναίῳ τὸ τὰ σώματα ἐκέχριντο μίλτῳ καὶ χρώμασιν ἑτέροις· δοκεῖ γὰρ αὐτὸ καινότερον διὰ τοῦ Ν προφέρεσθαι, ὡς ἀναλογώτερον ὂν ἢ ἐκέχριστο εἶναι ἢ κεχρίδατο Ἰωνικῶς — Ἐν δὲ τούτοις ἰστέον καὶ ὅτι τὸ μὲν ἐρηρέδαται θεματικὸν ἔχει τὸ δέλτα ἐκ τοῦ ἐρείδω. Ἑξῆς δὲ τὸ ὠνομάδαται, πεφράδαται, ἐσκευάδαται ἀπὸ συγγενείας

ὥρμηνται τῆς τοῦ ζῆτα πρὸς τὸ δέλτα, ὡς ἀπὸ τοῦ ὀνομάζω φράζω σκευάζω. Τῆς δὲ τοῦ ζῆτα καὶ δέλτα πρὸς ἄλληλα μεταχωρήσεως παραδείγματα μυρία, ὧν κατὰ τοὺς παλαιοὺς καὶ τὸ ὀζμή ὀδμή, ἴζμεν ἴδμεν Δωρικῶς, κτέ.» καὶ σελ. 1625, 53 «Το δὲ ἔρχατο Ἰωνικὸν καὶ αὐτὸ ἐκ τοῦ εἶρκτο τρίτου προσώπου Ἰωνικοῦ (γρ. ἑνικοῦ), καθὰ καὶ τὸ εἰλίχατο ἐκ τοῦ εἴλικτο, οἷον εἰλίχατο μίτραις τὰς κεφαλάς» καὶ σελ. 1659, 8 «Ἰωνικὸν δὲ τὸ ἔρχαται, καθὰ καὶ πρὸ ὀλίγου τὸ ἔρχατο, τοῦτο μὲν ἀπὸ τοῦ εἶρκται παθητικοῦ παρακειμένου, ἐκεῖνο δὲ ἀπὸ τοῦ εἶρκτο ὑπερσυντελίκου· πρὸς ὅπερ ὅμοιον καὶ τὸ εἴλικτο εἰλίχατο, ὡς Ἡρόδοτος εἰλίχατο, τουτέστι εἰλιγμένοι ἦσαν, μίτραις». Ἐπισυνάπτομεν τούτοις ἃ γράφει ὁ Εὐστάθιος ἐν ταῖς εἰς Διονύσιον τὸν Περιηγητὴν Παρεκβολαῖς σελ. 290,7 Διδ. «Τὸ δὲ ἐρηρέδαται δηλοῖ μὲν τὸ ἐρηρεισμένοι εἰσὶ καὶ ἑδραίως ἐρρίζωνται, ἔστι δὲ Ἰωνικὸν καὶ γίνεται ἀπὸ τοῦ τρίτου ἑνικοῦ τοῦ ἐρήρεισται ἀποβολῇ τοῦ Σ καὶ προσθέσει τῆς ΔΑ συλλαβῆς· ὁποῖον καὶ τὸ ὠνόμασται ὠνομάδαται, πέφρασται πεφράδαται καὶ ὅσα τοιαῦτα».

Καὶ ἄλλοι παλαιοὶ γραμματικοὶ ποιοῦνται λόγον περὶ τοῦ Ἰωνικοῦ σχηματισμοῦ τοῦ τρίτου πληθυντικοῦ προσώπου ἢ μόνου τοῦ παθητικοῦ παρακειμένου, ὡς Γρηγόριος ὁ Κορίνθου, ἢ τοῦ τε παρακειμένου τοῦ παθητικοῦ καὶ τοῦ ὑπερσυντελίκου, ὡς Γεώργιος ὁ Χοιροβοσκὸς καὶ ἀνώνυμος ἐν Ἀνεκδότοις Κραμήρου.

Γρηγόρ. Κορίνθ. σελ. 483 Σχαιφ. «Ἔτι οἱ Ἴωνες τὰ τρίτα πρόσωπα τῶν πληθυντικῶν παθητικῶν παρακειμένων οὕτω ποιοῦσιν. Ἐν τοῖς τρίτοις προσώποις τῶν ἑνικῶν τοῖς ἔχουσι πρὸ τοῦ Τ ψιλὸν τρέπουσι τὸ ψιλὸν εἰς τὸ ἀντιστοιχοῦν δασὺ καὶ ποιοῦσι προσθήκην τοῦ Α· νένιπται νενίφαται, λέλεκται λελέχαται, γέγραπται γεγράφαται· πᾶν γὰρ τρίτον τῶν ἑνικῶν ἔχον πρὸ τοῦ Τ ψιλὸν τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ καὶ προσθέσει τοῦ Α ποιοῦσιν οἱ Ἴωνες [τὸ] τρίτον τῶν πληθυντικῶν. Εἰ δέ τοι εἴη τὸ κοινὸν διὰ ΣΤ βαρύτονον, τότε καὶ τὸ Ἰωνικὸν ἔχει πρὸ τοῦ ΑΤΑΙ τὸ χαρακτηριστικὸν σύμφωνον τοῦ μέσου παρακειμένου· πέφρασται πεφράδαται, ὅτι πέφραδα, ἤλευσται ἠλεύθαται, ὅτι ἤλευθα. Εἰ μέντοι ἀπὸ περισπωμένων φύσει μακρᾷ

παραληγούμενον, ταύτην συστέλλουσι (Γρ. «Οἱ μέντοι — παραληγόμενοι ταύτην συστέλλουσι») πρὸ τοῦ ΑΤΑΙ εἰς τὴν ὀφειλομένην συστολήν· πεποίηται πεποιέαται, βεβόηται βεβοέαται». Πρβ. καὶ Γραμματ. Μεερμ. σελ. 655 «Καὶ τοὺς σχηματισμοὺς δὲ τῆς ἑρμηνείας τοιούτους· τετραμμένοι εἰσί τετράφαται, τεταγμένοι εἰσί τετάχαται, κεκλίαται». Παρατιθέμεθα καὶ τὰ ὑπὸ Θεοδοσίου τοῦ Γραμματικοῦ εἰρημένα Εἰσαγ. Καν. σελ. 57, 7 Ἱλγ. «Τετυμμένοι εἰσί. Πᾶν τρίτον ἑνικὸν ἔχον πρὸ τοῦ Τ σύμφωνον διὰ τὸ μὴ δύνασθαι δέξασθαι πρὸ τοῦ Τ τὸ Ν οὐ ποιεῖ τρίτον πληθυντικόν, ἀλλὰ διὰ μετοχῆς αὐτὸ καὶ τοῦ εἰσί ῥήματος ἀναπληροῖ ἡ χρῆσις. Καὶ ἰακῶς τετύφαται. Πᾶν τρίτον ἑνικὸν ἔχον πρὸ τοῦ Τ ψιλὸν τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ καὶ προσθήκῃ τοῦ Α ποιοῦσιν Ἴωνες τρίτον πληθυντικόν· νένιπται νενίφαται, λέλεκται λελέχαται· εἰ μέντοι εἴη τὸ κοινὸν διὰ τοῦ ΣΤ ἀπὸ βαρυτόνων, τότε τὸ Ἰωνικὸν ἔχει πρὸ τοῦ ΑΤΑΙ τὸ χαρακτηριστικὸν τοῦ μέσου παρακειμένου σύμφωνον· πέφρασται πεφράδαται, ὅτι πέφραδα. Οἱ μέντοι ἀπὸ περισπωμένων φύσει μακρᾷ παραληγόμενοι ταύτην συστέλλουσι πρὸ τοῦ ΑΤΑΙ εἰς τὴν ὀφειλομένην συστολήν· πεποίηται πεποιέαται».

Γεώργ. Χοιροβοσκ. σελ. 696, 29 Γαισφ., Τόμ. Β΄, σελ. 196, 25 Ἱλγ. «Καὶ Ἰακῶς τετύφαται. Λέγουσί τινες ὅτι, ἐπειδὴ τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν τοῦ παθητικοῦ παρακειμένου καὶ τοῦ ὑπερσυντελίκου πολλάκις ἐπιλιμπάνει καὶ διὰ μετοχῆς ἀναπληροῦται καὶ ὑπαρκτικοῦ ῥήματος, οἷον τετυμμένοι εἰσίν, τετυμμένοι ἦσαν, τούτου χάριν, ἵνα καὶ διὰ μιᾶς λέξεως ἀναπληρωθῇ, ἐπενόησαν οἱ Ἴωνες ἴδιον τρίτον πρόσωπον τῶν πληθυντικῶν, οἷον τετύφαται, τετύφατο. Οὐκ ἔστι δὲ καταναγκαστικόν· εἰ γάρ, ὡς λέγουσι, διὰ τοῦτο ἐπενόησαν οἱ Ἴωνες (ἴδιον) τρίτον προσωπον τῶν πληθυντικῶν, διὰ τὸ πολλάκις ἐπιλιμπάνειν τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν τοῦ παθητικοῦ παρακειμένου καὶ ὑπερσυντελίκου καὶ διὰ μετοχῆς ἀναπληροῦσθαι καὶ ὑπαρκτικοῦ ῥήματος, οὐκ ὤφειλον ποιεῖν τὸ τρίτον πρόσωπον πληθυντικὸν ἐφ' οὗ (γρ. ἴσ. ἐφ' ὧν) μὴ ἐπιλιμπάνει τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν τοῦ παθητικοῦ παρακειμένου· νῦν δὲ καὶ ἐπὶ αὐτῶν ποιοῦσιν, ἤγουν καὶ ἐπὶ τῶν μὴ ἐπιλιμπανόντων· ἰδοὺ γὰρ ἐστὶ νενόηται καὶ πεποίηται, ἐπὶ τούτων οὐκ ἐπιλιμπάνουσι τὰ τρία πρόσωπα τῶν πληθυντικῶν· νενόηνται γὰρ καὶ πεποίηνται· καὶ ὅμως οἱ Ἴωνες

ἐποίησαν νενοέαται (καὶ πεποιέαται). Ἄλλως τε δὲ οὐ μόνον ἐπὶ παρακειμένου τοῦτο ποιοῦσιν ἀλλὰ καὶ ἐπὶ ἐνεστῶτος· ἀπὸ γὰρ τοῦ κεῖται γίνεται κέαται Ἰωνικῶς, ὡς παρὰ τῷ ποιητῇ· κέαται ψυχὰς ὀλέσαντες· ἀντὶ τοῦ κεῖνται· καὶ ἀπὸ τοῦ ἧται τοῦ σημαίνοντος τὸ κάθηται γίνεται ἕαται, ὡς παρὰ τῷ αὐτῷ· οἱ δὴ νῦν ἕαται σιγῇ, πόλεμος δὲ πέπαυται· ἀντὶ τοῦ κάθηνται. Ὥστε οὖν οὐ διὰ τὴν προλεχθεῖσαν αἰτίαν ἐποίησαν οἱ Ἴωνες τρίτον πρόσωπον πληθυντικὸν ἐπὶ τοῦ παθητικοῦ παρακειμένου καὶ ὑπερσυντελίκου, ἀλλ' ἰδίωμά ἐστι διαλέκτου. Κανονίζεται δὲ οὕτως. Πᾶς παθητικὸς παρακείμενος κατὰ τὸ τρίτον πρόσωπον τῶν ἑνικῶν πρὸ τοῦ Τ λαμβάνων τὸ Α Ἰωνικὸς παρακείμενος γίνεται, τρίτου προσώπου δηλονότι πληθυντικοῦ· καὶ εἰ μὲν εὑρεθῇ πρὸ τοῦ Τ ψιλόν, τρέπεται εἰς τὸ ἀντίστοιχον τὸ δασύ, οἷον τέτυπται τετύφαται, νένιπται νενίφαται, νένυκται νενύχαται, λέλεκται λελέχαται· ἐὰν δὲ εὑρεθῇ πρὸ τοῦ Τ τὸ Σ ἀπὸ βαρυτόνων, τρέπεται τὸ Σ εἰς τὸ σύμφωνον τοῦ μέσου παρακειμένου, οἷον πέφρασται πεφράδαται, ὅτι πέφραδα ὁ μέσος παρακείμενος, ἐρείδω ἐρήρεισται ἐρηρέδαται, ὅτι ἤρειδα ὁ μέσος παρακείμενος, ῥάζω τὸ ῥαίνω ἔρρασται καὶ ἐρράδαται, οἷον αἵματι δ' ἐρράδαται τοῖχοι, ἀντὶ τοῦ ἐρραντισμένοι εἰσίν, ὅτι ἔρραδα ὁ μέσος παρακείμενος. Καλῶς δὲ πρόσκειται ἀπὸ βαρυτόνων διὰ τὸ τετέλεσται καὶ γεγέλασται· ταῦτα γὰρ εἰ καὶ ἔχουσι τὸ Σ πρὸ τοῦ Τ, ἀλλ' οὖν ἐπειδὴ οὐκ εἰσὶν ἀπὸ βαρυτόνων θεμάτων ἀλλ' ἀπὸ περισπωμένων, ἀπὸ γὰρ τοῦ τελῶ καὶ γελῶ εἰσίν, οὐ τρέπουσιν οἱ Ἴωνες τὸ Σ πρὸ τοῦ Τ εἰς τὸ σύμφωνον τοῦ μέσου παρακειμένου, λέγω δὲ εἰς τὸ Λ τοῦ γέγελα καὶ τέτελα· οὐδὲ γὰρ λέγουσι γεγέλαται καὶ τετέλαται· ἀλλ' οὐδὲ ποιοῦσιν ἐπὶ τῶν τοιούτων οἱ Ἴωνες ἴδιον τρίτον πληθυντικόν, ἀλλὰ γεγελασμένοι εἰσὶν καὶ τετελεσμένοι εἰσὶν ὁμοίως τῇ κοινῇ διαλέκτῳ. Ἐὰν δὲ ἄλλο σύμφωνον εὑρεθῇ πρὸ τοῦ Τ, εἰ ὅλως καὶ γίνεται Ἰωνικὸς παρακείμενος, δηλονότι τρίτου προσώπου πληθυντικοῦ, φυλάττεται τὸ σύμφωνον, οἷον κέκαρται κεκάραται, τέτιλται τετίλαται. Πρόσκειται δὲ εἰ ὅλως καὶ γίνεται Ἰωνικὸς παρακείμενος, ἐπειδὴ ἐπὶ τούτων οὐκ ἐφάνησαν ποιήσαντες οἱ Ἴωνες ἴδια τρίτα πληθυντικά· οὐδὲ γὰρ ἐφάνησαν εἰπόντες κεκάραται καὶ τετίλαται. Τὰ δὲ ἀπὸ περισπωμένων, ἐὰν φύσει μακρᾷ παραλήγωνται, συστέλλουσι τὴν παραλήγουσαν εἰς τὴν ὀφειλομένην συστολὴν μετὰ τοῦ Τ καὶ προσλαμβάνουσι τὸ Α πρὸ

τοῦ Τ, οἷον ποιῶ πεποίηται πεποιέαται, νοῶ νενόηται νενοέαται, χρυσῶ κεχρύσωται κεχρυσόαται, βολῶ βεβόληται βεβολέαται. Ἰστέον δὲ ὅτι οὐ μόνον ἐπὶ παρακειμένου τοῦτο ποιοῦσι καὶ ὑπερσυντελίκου οἱ Ἴωνες, ἀλλ' ἔστιν ὅτε καὶ ἐπὶ ἐνεστῶτος. οἷον κεῖται κέαται, ὡς παρὰ τῷ ποιητῇ· κέαται ψυχὰς ὀλέσαντες· ἀντὶ τοῦ κεῖνται· καὶ πάλιν ἧται ἕαται, ὡς παρὰ τῷ αὐτῷ· οἱ δὴ νῦν ἕαται σιγῇ, πόλεμος δὲ πέπαυται· ἀντὶ τοῦ κάθηνται» καὶ σελ. 701, 10 Γαισφ., Τόμ. Β′ σελ. 200, 14 Ἰλγ. «Καὶ Ἰακῶς τετύφατο. Ἰστέον ὅτι ὥσπερ ἐκ τοῦ τρίτου προσώπου τῶν ἑνικῶν τοῦ παθητικοῦ παρακειμένου ἐποίησαν οἱ Ἴωνες τρίτον πρόσωπον τῶν πληθυντικῶν, οὕτω καὶ ἐκ τοῦ τρίτου προσώπου τῶν ἑνικῶν τοῦ παθητικοῦ ὑπερσυντελίκου ἐποίησαν οἱ Ἴωνες τρίτον πρόσωπον πληθυντικόν. Ἀπὸ οὖν τοῦ ἐτέτυπτο γέγονεν ἐτετύφατο καὶ κατὰ ἀποβολὴν τοῦ Ε τετύφατο, ἵνα συνάρχηται τῇ τετυμμένος μετοχῇ· ἐμάθομεν γὰρ ἐν τοῖς προλαβοῦσιν ὅτι οἱ Ἴωνες ἔθος ἔχουσι ποιεῖν τοὺς παρῳχημένους συναρχομένους ταῖς ἰδίαις μετοχαῖς, οἷον τύπτε δ' ἐπιστροφάδην, ὅτι τύπτων ἡ μετοχή, καὶ ἅψατο δ' ἡμιόνων, ὅτι ἁψάμενος ἡ μετοχή».

Ἀνώνυμ. ἐν Κραμ. Ὀξ. Ἀνεκδ. Τόμ. Α′, σελ. 395, 22 «Τετράφαται. Ἐπὶ τοῦ παθητικοῦ παρακειμένου καὶ ὑπερσυντελίκου τοῖς τρίτοις προσώποις τῶν πληθυντικῶν πρὸ τοῦ Τ προτίθεται (γρ.: προΣτίθεται) τὸ Α. Καὶ εἰ μὲν ψιλὸν ᾖ σύμφωνον πρὸ τοῦ Τ, τρέπεται εἰς τὸ δασύ, οἷον ἀπὸ τοῦ τέτραμμαι τέτραπται τετράμμεθα τέτραφθε καὶ Ἰωνικῶς τετράφαται· πεδίονδε γὰρ αἰεὶ τετράφαθ' ὁππότ' ἐπὶ Τρώων αἴοιεν ἰόντων· καὶ· ᾧ λαοί τ' ἐπιτετράφαται· τοιοῦτον καὶ τὸ τεύχω τέτευχα, τέτυγμαι τέτευκται τετεύχαται. Εἰ δὲ τὸ Σ ᾖ, τρέπεται εἰς τὸ σύμφωνον τοῦ μέσου παρακειμένου καὶ τοῦ δευτέρου ἀορίστου, ὡς ἀπὸ τοῦ ἔρρασμαι ἔρρασται καὶ ἐρράδαται· αἵματι δ' ἐρράδαται τοῖχοι· καὶ ἐρείδω ἤρεισται ἠρείδαται καὶ Ἀττικῶς ἐρηρέδαται· λᾶε δὲ τοῦ ἑκάτερθεν ἐρηρέδαται δύο λευκώ· παρὰ τὸ πείθω πέπεισται πεπείθαται. Εἰ δὲ ἀμετάβολον ᾖ πρὸ τοῦ Τ, τοῦτο φυλάττεται ἐξ ἀνάγκης, ὡς παρὰ τὸ ἀγείρω ἤγερκα, Ἀττικῶς ἀγήγερται καὶ Ἰακῇ παραγωγῇ ἀγηγέραται καὶ ὁ ὑπερσυντέλικος ἀγηγέρατο καὶ στέλλω ἔσταλκα ἔσταλται ἐστάλαται καὶ παρὰ τὸ κλίνω κέκλιται παρὰ τῷ Δημοκρίτῳ χωρὶς τοῦ Ν κατὰ πλάνην τοῦ Ὁμηρικοῦ, ὥς φησιν Ἡρῳδιανός, κεκλίαται χώρης ὀλίγην ἔτι μοῖραν ἔχοντες,

ὅπερ φημὶ οὐκ ἀπὸ τοῦ κλίνω ἀλλ' ἀπὸ τοῦ κλείω. Ἐγὼ δὲ νομίζω τὸ παρὰ Δημοκρίτῳ μὴ κατὰ πλάνην γεγονέναι, ἀλλ' ἐπειδήπερ ἀπὸ τῶν εἰς ΝΩ δισυλλάβων ἑνὶ φωνήεντι παραληγομένων οἱ παρακείμενοι ἀποβολὴν τοῦ Ν πεπόνθασιν, ἀναλόγως ἐκ τοῦ κέκλιται γέγονε τὸ κεκλίαται· οἱ γὰρ καθαρεύοντες παρακείμενοι τὸ Α μόνον πρὸ τοῦ Ι λαμβάνουσι· καὶ εἰ μακρᾷ παραλήγοιντο, ταύτην συστέλλουσι καὶ οὕτως τὸ Ἰωνικὸν ποιοῦσι· παρὰ γοῦν τὸ κλείω κέκλειται· οὐδέποτε γὰρ μετὰ τοῦ Σ τοῦτο λέγουσιν οἱ Ἕλληνες· συνεσταλμένη οὖν ἡ ΕΙ δίφθογγος τῇ ἀποβολῇ τοῦ Ε καὶ προσελθὸν τὸ Α ἐποίησε τὸ κεκλίαται. Τοιοῦτόν ἐστι καὶ ἀπὸ τοῦ ἐρύω ἔρρυται τὸ ἐρρύαται». Σημειωτέον δ' ὅτι ἐν τῷ Μεγάλῳ Ἐτυμολογικῷ σχηματίζεται ἐκ τοῦ ἐρύω παθητικὸς παρακείμενος ἔρυμαι, δι' ἑνὸς Ρ, καὶ τρίτον πληθυντικὸν αὐτοῦ πρόσωπον ἐρύαται σελ. 378, 7 «Ἢ παρὰ τῷ ἐρῶ, τὸ λέγω, ἐρύω, ὁ μέλλων ἐρύσω — ὁ παθητικὸς παρακείμενος ἔρυμαι ἔρυσαι ἔρυται καὶ Ἰακῶς ἐρύαται». Πρβ. καὶ Κραμ. Ἀν. Παρ. Τόμ. Δ', σελ. 70, 9.

Ἄξιον παρατηρήσεως εἶνε ὅτι ἐν οἷς παρεθέμεθα ἐκ τοῦ Εὐσταθίου καὶ ἄλλων παλαιῶν γραμματικῶν μνημονεύονται Ἰωνικοί τινες πληθυντικῶν τρίτων προσώπων παθητικῶν παρακειμένων καὶ ὑπερσυντελίκων τύποι, ὧν οὐδὲν μαρτύριον γινώσκεται, οἷον

ἐπεπλέχατο,

ἐπῴχαται (=ἀνεῳγμένοι-έναι εἰσί) - ἐπῴχατο (=ἀνεῳγμένοι-έναι ἦσαν),

νενύχαται,

νενίφαται,

τετύφαται-τετύφατο. Πρβ. Εὐστάθ. Παρεκβ. σελ. 168, 6 «Τὸ δ' ἐπιτετράφαται ἐστὶ μὲν Ἰωνικὸν ὅμοιον τῷ τετύφαται, δηλοῖ δὲ κτέ.» καὶ Μάξ. Πλανούδ. ἐν Βαχμ. Ἀν. Τόμ. Β', σελ. 53, 1 καὶ Σχολ. Ἡσ. σελ. 642, 2 Λιψ.

πεφράδαται. Πρβ. καὶ Ἐτυμ. Μέγ. σελ. 48, 9 κατὰ τὸν Βοσσ. κώδ. καὶ Κραμ. Ἀν. Ὀξ. Τόμ. Α', σελ. 74, 2 καὶ Τόμ. Δ', σελ. 197, 27.

ἐσπάραται. Πρβ. καὶ Ἐτυμ. Μέγ. σελ. 9, 27.

βεβοέαται, ὃ μεταβλητέον ἴσως εἰς τὸ βεβολέαται,

βεβολέαται,

νενοέαται. Πρβ. καὶ Εὐστάθ. Παρεκβ. εἰς Ὅμηρ. σελ. 1885, 48 καὶ Ἐτυμ. Μέγ. σελ. 601, 21.

πεποιέαται. Κακῶς ἐν Κραμ. Ἀν. Ὀξ. Τόμ. Α΄, σελ. 287, 28 εἶνε γεγραμμένον «Τοῦτο Ἰωνικόν ἐστιν· ὡς γὰρ νενόηνται νενο(έ)αται καὶ περιποίηνται περιποιέαται, οὕτως κτέ.» ἀντὶ τοῦ πεποίηνται πεποιέαται.

κεχρυσόαται. Ἐν Κραμ. Ἀν. Ὀξ. Τόμ. Δ΄, σελ. 197, 28 φέρεται «Τὰ δὲ ἀπὸ περισπωμένων, ἐὰν φύσει μακρᾷ παραλήγωνται, τρέπουσι τὴν παραλήγουσαν εἰς τὴν ὀφειλομένην συλλαβὴν μετὰ τοῦ Τ καὶ προσλαμβάνΕΙ τὸ Α πρὸ τοῦ Τ, οἷον πεποίηται πεποιέαται, νενόηται νενοέαται, κεχρύσωΚΑ κεχρυσΩαται, βεβόληται βεβολέαται». Παρατηρητέον δ' ὅτι κεῖται ἐνταῦθα «τρέπουσι—εἰς τὴν ὀφειλομένην συλλαβήν» ἀντὶ τοῦ παρ' ἄλλοις γεγραμμένου «συστέλλουσι—εἰς τὴν ὀφειλομένην συστολήν».

Καὶ τὸ ὠνομάδαται δέ, οὗ μνεία οὐχὶ ἅπαξ ὑπὸ τοῦ Εὐσταθίου ἐγένετο, παρ' οὐδενὶ τῶν παλαιῶν ἀπαντᾷ, εὑρέθη δὲ παρὰ Δίωνι τῷ Κασσίῳ καὶ παρὰ τῷ Εὐσταθίῳ (Ἴδε ἃ ἐγράψαμεν ἐν σελ. 249 καὶ 298). Πρβ. καὶ Σουίδ. «Ὠνομάδατο: ὠνομάζοντο. Ἰωνικῶς».

Ἰωνικὸς τύπος τρίτου πληθυντικοῦ προσώπου παθητικοῦ παρακειμένου ἔχων Θ πρὸ τῆς καταλήξεως ΑΤΑΙ, ὅπερ εἶνε χαρακτὴρ τοῦ ἐνεστῶτος, μνημονεύεται, ὡς εἴδομεν, ἐν Κραμ. Ἀνεκδ. Ὀξ. Τόμ. Α΄, σελ. 396, 7 ὁ πεπείθαται. Βλέπει δέ τις αὐτὸν καὶ ἐν Ἐτυμ. Μεγ. σελ. 661, 25. Ἀλλ' εἶνε πιθανώτατα πεπλασμένος καὶ οὐδαμῶς ἐπαινετὸν ἡμῖν φαίνεται ὅτι ἐνεκρίθη ὑπὸ τοῦ Βουτμαννοῦ ἐν Διεξοδ. Ἑλλην. Γραμματ. Τόμ. Α΄, σελ. 425 ἐκδ. β΄. Ὁ Παμπούκης γράφει ἐν τῇ Γραμματικῇ τῆς Ἀρχαίας Ἑλλην. Γλώσσης σελ. 145 ἐκδ. β΄ «οἱ Ἴωνες οὕτω σχηματίζουσι μονολεξεὶ τὸ γ΄ πληθυντικὸν πρόσωπον τοῦ μὲν Παρακειμένου εἰς αται, τοῦ δὲ Ὑπερσυντελικοῦ εἰς ατο· οἷον τετύφαται, τετάχαται, πεφράδαται, πεπΟΙθατΕ, ἐρράδαται, ἐψάλαται, ἐψάλατο, κτλ., ἀντὶ τέτυπνται, τέταγνται, ἐλέλεγντο, πέφρασνται ἐκ τοῦ φράζω, πέποισνται (πείθω), ἔψαλνται, ἔψαλντο, κτλ.». Τὸ πεποίθατΕ εἶνε πάντως ἀβλέπτημα ἢ τυπογραφικὸν σφάλμα ἀντὶ τοῦ πεποίθατΑΙ. Ἀλλ' ἀτοπώτατ' ἔχει ἡ

διὰ τῆς διφθόγγου ΟΙ ἐκφορὰ τοῦ παρακειμένου τούτου· διότι λέγεται μὲν πέπΟΙθα, ἀλλὰ πέπΕΙσμαι.

Ὅλως ἔκφυλος ὑπάρχει ὁ τύπος ἠλεύθαται, οὗ ποιεῖται μνείαν Γρηγόριος ὁ Κορίνθου λέγων σελ. 486 «ἤλευσται ἠλεύθαται, ὅτι ἤλευθα». Ἀλλοτριώτατα τῆς Ἑλληνικῆς γλώσσης εἶνε τό τε ἤλευθα καὶ τὸ ἤλευσται-ἠλεύθαται. Βλέπομεν δὲ καὶ παρὰ Θεοδοσίῳ (ἢ Ψευδοθεοδοσίῳ) τῷ γραμματικῷ σελ. 160, 6 Γοιτλ. παρακείμενον ἤλευσμαι.

Ἐν Κραμ. Ἀν. Ὀξ. Τόμ. Α, σελ. 268, 24 λέγεται «τὸ παθητικὸν λέλημμαι. Σοφοκλῆς· οἴμοι λέλημμαι· τὸ τρίτον λέληπται, τὸ πληθυντικὸν Ἰακῶς λελήφαται». Οὐδὲν ἡμεῖς γινώσκομεν μαρτύριον τοῦ παρακειμένου λελήφαται.

Κεῖται παρὰ τῷ Εὐσταθίῳ «οὕτω γὰρ Ἡρόδοτος δίχα πολλῶν ἑτέρων καὶ ἀποκαθέαται φησὶ καὶ εἰρέαται ἀντὶ τοῦ εἴρηνται καὶ ὑμνέαται καὶ ἐκτέατο ἀντὶ τοῦ ἐκέκτηντο καὶ ἐτιμέατο». Ἡ Ἡροδότειος ἐκφορὰ εἶνε ἀποκαΤέαται, οὐχὶ ἀποκαΘέαται. Κάλλιον δ' ἦτο νὰ ῥηθῇ «καὶ ἐκτέατο ἀντὶ τοῦ ἔκτηντο»· διότι τοῦ τύπου ἔκτημαι-ἐκτήμην ποιεῖται ἀεὶ χρῆσιν ὁ Ἡρόδοτος, οὐδέποτε δὲ τοῦ κέκτημαι-ἐκεκτήμην (Ἴδε Βρεδόβιον ἐν *Quaest. Crit. de Dial. Herod.* σελ. 287). Σημειωτέον δ' ὅτι φέρεται μὲν ἐν τοῖς ἀντιγράφοις τοῦ Ἡροδότου ὁ παρακείμενος ἐκτέαται, οὐχὶ δὲ καὶ ὁ Ἰωνικὸς ὑπερσυντέλικος ἐκτέατο ἀλλ' ὁ κοινὸς ἔκτηντο (βιβλ. Β', 108 καὶ βιβλ. Ε', 90), ὃν μετετύπωσεν ὁ Δινδόρφιος ἐν τῇ ἐκδόσει τοῦ Ἡροδότου εἰς τὸν ἐκτέατο. Τὸ ἐτιμέατο φαίνεται ὅτι εἶνε γραφικὸν σφάλμα ἀντὶ τοῦ ἐΤΕτιμέατο. Συχνάκις δὲ παραλείπεται ὁ ἀναδιπλασιασμὸς ὑπὸ τῶν βιβλιογράφων ἀνεπιστάτως μεταγραφόντων, οἷον ἔτακτο ἀντὶ τοῦ ἐΤΕτακτο, ἐπαλιλλόγητο ἀντὶ τοῦ ἐΠΕπαλιλλόγητο, προύπεμπτο, ἀντὶ τοῦ προυΠΕπεμπτο, κτλ. Εἶνε δ' ἐν τοῖς τοῦ Εὐσταθίου γεγραμμένον καὶ «ὡς ἀπὸ τοῦ ὀνομάΖω φράΖω σκευάΖω», πλημμελῶς ἴσως ἀντὶ τοῦ «ὡς ἀπὸ τοῦ ὀνομάΔω φράΔω σκευάΔω», καὶ «πεποτήαται δὲ μέλισσαι ἀντὶ τοῦ πέτονται», ὃ ἐτέθη ὑπ' αὐτοῦ τοῦ Εὐσταθίου ὀφείλοντος νὰ παραλάβῃ τὸ ὑπὸ τῆς ἀκριβείας ὑπαγορευόμενον «πεποτήαται δὲ μέλισσαι ἀντὶ τοῦ πεπότηνται».

Γελοιότατα εἶνε τὰ περὶ τοῦ ἐκέχριντο ὑπὸ τοῦ Εὐσταθίου εἰρημένα. Ἐν τοῖς Καλλιξένου τοῦ Ῥοδίου παρ' Ἀθην. σελ. 197 ϛ' δὲν κεῖται «τὰ σώματα ἐκέχριντο μίλτῳ καὶ χρώμασιν ἑτέροις», ἀλλὰ «τὰ δὲ σώματα ΟΙ μὲν ἐκέχριντο ὀστρείῳ, ΤΙΝΕΣ δὲ μίλτῳ καὶ χρώμασιν ἑτέροις». Ἔχει δὲ κάλλιστα τὸ ἐκέχριντο· διότι τοῦ ῥήματος χρίομαι ὁ παρακείμενος ἐξεφέρετο ὑπὸ τῶν ἀμέμπτως ἑλληνιζόντων ἄνευ τοῦ Σ, κέχριμαι, οὗ ὁ ὑπερσυντέλικος ἐκεχρίμην καὶ τὸ τρίτον πληθυντικὸν πρόσωπον ἐκέχριντο ἤτοι κεχριμένοι ἦσαν. Ἀγνοῶν δὲ τὴν τῶν παλαιῶν συνήθειαν ὁ Εὐστάθιος ἀπεφήνατο ὅτι ἀναλογώτερον τοῦ ἐκέχριντο ὑπάρχει τὸ ἐκέχριστο ἢ τὸ Ἰωνικὸν κεχρίδατο, ὅπερ τελέως ἀσύστατον· διότι ἀδύνατον εἶνε νὰ συνυπάρχωσιν οἱ τύποι ἐκέχριστο καὶ ἐκεχρίδατο ἢ ἄνευ αὐξήσεως κεχρίδατο. Ὅτι δ' ἡ δόκιμος ἐκφορὰ εἶνε κέχριμαι (χρῖμα), οὐχὶ κέχριΣμαι (χρῖΣμα, χρίσμα) ἐδίδαξε μάλιστα ὁ Κόβητος ἐν *Var. Lect.* σελ. 126 κἑξ. καὶ ἐν *Nov. Lect.* σελ. 175-6 καὶ σελ. 608 (Πρβ. καὶ σελ. 455). Ἴδε καὶ Βαίριον εἰς Ἡρόδ. Τόμ. Β', σελ. 642 ἐκδ. β' καὶ Γ. Δινδόρφιον ἐν Θησ. Στεφ. Τόμ. Η', σελ. 1690-1. Πρβ. καὶ Ὄθ. Σνειδῆρον ἐν τῇ ἐκδόσει τῶν Καλλιμαχείων Τόμ. Α', σελ. 50.

Δὲν ἔχει ὀρθῶς νὰ νομίζηται ὅτι τὸ ἔρχαται καὶ ἔρχατο ἐγένοντο ἀπὸ τοῦ εἶρκται καὶ εἶρκτο· διότι ταῦτα εἶνε νεώτερα ἐκείνων. Ὁμοίως τῷ Εὐσταθίῳ λέγει καὶ ὁ συγγραφεὺς τοῦ Μεγάλου Ἐτυμολογικοῦ σελ. 377, 49 «Ἔρχαται: Ἀπὸ τοῦ εἴργω ὁ παθητικὸς παρακείμενος εἶργμαι, τὸ τρίτον εἶρκται καὶ Ἰωνικῶς εἴρχαται καὶ ἔρχαται· ὡσαύτως καὶ ὁ ὑπερσυντέλικος εἶρκτο καὶ Ἰωνικῶς ἔρχατο». Ὁ Εὐστάθιος γράφει ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 1071, 64 «Ἀπὸ τοῦ εἶρκται δὲ παρῆκται Ἰωνικῶς τὸ ἔρχαται τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ καὶ προσθήκῃ τοῦ Α μετὰ καὶ ἀναυξησίας Ἰωνικῆς τῆς ἀπὸ τοῦ ἜΡΓΩ». Τὸ ἔρχαται καὶ ἔρχατο ἐσχηματίσθησαν ἐκ τῆς ῥίζης ἘΡΓ-FΕΡΓ. Ἐρρήθη δὲ καὶ ἐέρχατο. Τὸ ῥῆμα παρ' Ὁμήρῳ εἶνε ἔργω-Fέργω καὶ ἐν συνθέσει ἀποέργω. Πρβ. καὶ ἐργάθω (ἔργαθον)-ἀποεργάθω (ἀποέργαθον). Ἐν Ἰλιάδος Ρ, 571 ἔχουσι τἀντίγραφα «ἥ τε καὶ ἐργομένη» καὶ «ἥ τε καὶ εἰργομένη»· ἔτι δὲ ἐεργομένη. Ὅθεν ὁ Ναύκιος καὶ ὁ

Λαρόχης εἴκασαν «ἢ καὶ ἐεργομένη» ἤτοι ἐϜεργομένη, ὃ πρὸ αὐτῶν ἀποκατέστησεν ὁ Βεκκῆρος ἐν τῇ ἐκδόσει τῆς Ἰλιάδος (Ἴδε καὶ Χρίστιον ἐν τῇ ἐκδόσει τῆς Ἰλιάδος σελ. 160. Πρβ. καὶ Ἐύνιον εἰς Ἰλιάδ. Τόμ. Δ', σελ. 466 καὶ Ὀφμαννὸν ἐν *Quaest. Homer.* Τόμ. Β', σελ. 86). Τὸ ἐν Ἰλιάδος Ψ, 72 κείμενον «τῆλέ με εἴργουσι» μετετυπώθη ὑπὸ τοῦ Βεντληΐου εἰς τὸ «τῆλέ μ' ἐέργουσι» ἤγουν ἐϜέργουσι, ὃ ἐνεκρίθη μὲν ὑπὸ τοῦ Βεκκήρου καὶ ἄλλων, οὐχὶ δ' ὑπὸ τοῦ Σμυθίου ἐν *Ion.* σελ. 148 (Πρβ. καὶ Λεξ. Ὁμηρ. Ἐβελιγγ. Τόμ. Α', σελ. 343). Δὲν εἶνε ἀληθὲς τὸ ὑπὸ τοῦ Λαρόχου εἰρημένον ἐν τῇ κριτικῇ τῆς Ἰλιάδος ἐκδόσει Τόμ. Β', σελ. 314 ὅτι τὴν μεταβολὴν τοῦ με εἴργουσι εἰς τὸ μ' ἐέργουσι ἐποιήσατο ὁ Δινδόρφιος. Ἀπαντᾷ δ' ἐν τοῖς Ὁμηρικοῖς ἔπεσιν ἐντὸς ἐέργει (Ἰλ. Β, 617 καὶ 845. Ι, 404. Χ, 121. Ω, 544), ἀμφὶς ἐέργει (Ἰλ. Ν, 706), παιδὸς ἐέργει (ἐέργῃ) μυῖαν (Ἰλ. Δ, 131), οἳ κεῖνον βιόωνται ἐέργουσίν τ' ἀπὸ τιμῆς (Ὀδ. Λ, 503), λαὸν ἐέργων (Ἰλ. Μ, 201 καὶ 219), ἔνθα—θεοὶ ἦσαν ἐεργόμενοι πολέμοιο (Ἰλ. Ν, 525). Ἐν τῷ Γουδιανῷ Ἐτυμολογικῷ σελ. 182, 44 φέρεται «Σεσημείωται τὸ εἴργω, ὅπερ οἱ παλαιοὶ ἀναλόγως κεχρημένοι κατὰ διάλυσιν εἶπον ἐέργω». Ἴδε Λοβέκκιον ἐν Στοιχ. Μέρ Α', σελ. 58 καὶ Μέρ, Β', σελ. 55, ἔνθα λέγεται «Εἴργω nunc Homero exemtum est supposito trisyllabo, cuius prima vocalis prostheticis adnumeratur».

Ὁ Χοιροβοσκὸς λέγει ἐν τῇ Ὀρθογραφίᾳ σελ. 205, 15 «Εἴργω: δίφθογγος· ἀπὸ γὰρ τοῦ ἐέργω γίνεται κατὰ κρᾶσιν τῶν δύο ΕΕ εἰς τὴν ΕΙ δίφθογγον· καὶ ἄλλως ὅτι ἀνεφάνη τὸ Ε ἐν τῷ ἔργαθεν» (Πρβ. καὶ Λ. Μεϋῆρον ἐν *Vergl. Grammat.* Τόμ. Α', σελ. 908 ἐκδ. β'). Ἄτοπος εἶνε ἡ γνώμη, καθ' ἣν τὸ ἐέργω σχηματίζεται ἐκ τοῦ εἴργω, διισταμένης τῆς ΕΙ δίφθογγον εἰς δύο ΕΕ. Κραμ. Ἀν. Ὀξ. Τόμ. Α', σελ 169, 10 «Ἡ δὲ ΕΙ δίφθογγος, ἐὰν διιστῆται, ἢ εἰς δύο ΕΕ διίσταται, οἷον εἶρτο, ἀτὰρ ἠλέκτροισιν ἔερτο, εἰργείη, παῖδος ἐέργη νῆα (γρ. εἴργει, παιδὸς ἐέργει μυῖαν), ἢ εἰς Ε καὶ ἰῶτα, κτέ.». Πρβ. καὶ Σχολ. Ἰλ. Τόμ. Β', σελ. 24, 7 «Ἡ ΕΙ δίφθογγος ἐν τοῖς παρῳχημένοις ἄρχουσα, εἰ διαιροῖτο, εἰς δύο ΕΕ διαιρεῖται· εἶρτο ἔερτο, (ἀτὰρ ἠλεκτροισιν ἔερτο Ὀδ. Ο, 460) εἶργνυ ἐέργνυ (κατὰ συφεοῖσιν ἐέργνυ Ὀδ. Κ, 238)».

Οὐδαμῶς τὸ τρισύλλαβον ἐέργνυ ἐγένετο ἐκ τοῦ δισυλλάβου εἶργνυ κατὰ διάλυσιν τῆς ΕΙ διφθόγγου εἰς δύο ΕΕ, ἀλλ' εἶνε ὁμοίως ἐσχηματισμένον τῷ ἔεργε(ν) ἤτοι ἔϜεργε(ν) ('Ιλ. Δ, 130. Θ, 213. Ξ, 349. Π, 395. Σ, 512. 'Οδ. Μ, 219), ἔεργον ('Οδ. Η, 88). Πρβ. καὶ ἀνέεργε ('Ιλ. Γ, 77. Η, 55), ἀνέεργον ('Ιλ. Ρ, 752), ἀπέεργε ('Ιλ. Ω, 238), διέεργον ('Ιλ. Μ, 424), προέεργε ('Ιλ. Λ, 569), συνέεργε ('Οδ. Ξ, 72), συνέεργον ('Οδ. Ι, 427. Μ, 424), ἐέργαθεν ('Ιλ. Ε, 147), συνεέργαθον ('Ιλ. Ξ, 36). Σημειωτέον δ' ὅτι ἐν Ἰλιάδος Σ, 512 διττὴ φέρεται γραφή, «δίχα δέ σφισιν ἥνδανε (δέ σφισι Ϝάνδανε) ἠὲ διαπραθέειν ἢ ἄνδιχα πάντα δάσασθαι, κτῆσιν ὅσην πτολίεθρον ἐπήρατον ἐντὸς ἐέργΕΙ» καὶ «ἐντὸς ἔεργΕΝ», ὃ ἐνεκρίθη ὑπό τ' ἄλλων καὶ τοῦ Ναυκίου. Ὁ Βεκκῆρος ἔγραψεν «ἐντὸς ἐϜέργΟΙ». Ἐν Ἰλιάδος Δ, 299 ἔχουσι πάντα τἀντίγραφα «κακοὺς δ' ἐς μέσσον ἔλασσεν», ἀνθ' οὗ ἀνεγινώσκετο ὑπό τινων ἔεργεν, ὡς μανθάνομεν ἐκ τῶν εἰς Ἰλιάδα Σχολίων Τόμ. Α', σελ. 184, 11 «Οὕτως Ἀρίσταρχος, ἔλασσεν· ἄλλοι δὲ ἔεργεν». Παρατηροῦμεν προσέτι ὅτι ὁ Λ. Μεϋῆρος ἐν *Vergl. Grammat.* Τόμ. Α', σελ. 908 ἐκδ. β' μετέβαλε τὸ ἀπΟΕργαθε(ν) τὸ κείμενον ἐν Ἰλιάδ. Φ, 599 καὶ ἐν Ὀδυσσ. Φ, 221 εἰς τὸ ἀπΕΕργαθε(ν).

Περὶ τοῦ ἐέργνυ γράφει ὁ Κούρτιος ἐν τῷ *Das Verb.* Τόμ. Α', σελ. 164 ἐκδ. β' «Εἴργ-νυ-μι neben εἴργω, bei Homer liegt das Impf. ἐέργνυ vor κ 238 κατὰ συμφεοῖσιν ἐέργνυ, dem man es nicht ansehn kann, ob das erste ε Augment oder prothetischer Vocal vor ursprünglichem Digamma ist». Ἐπιφέρει δὲ «Auf jeden Fall setzt aber εἴργνυμι, das bei Herodot und in attischer Prosa vorkommt (Plato Tim. 45), ἐ-Ϝέργ-νυ-μι voraus». Πρβ. καὶ σελ. 119 «ἔεργον und ähnliches führe ich nicht mit auf, weil das Praesens ἐέργω (ἐεργόμενοι Ν 525) das erste ε als prothetischen Vocal erweist» (Ἴδε καὶ Ὀφμαννὸν ἐν *Quaest. Homer.* Τόμ. Β', σελ. 46· ἔτι δὲ τὸ Ὁμηρικὸν Λεξικὸν τοῦ Ἐβελιγγίου Τόμ. Α', σελ. 343 καὶ 469).

Λέγεται ἐν τοῖς Ὁμηρικοῖς ἔπεσιν ἔργω-Ϝέργω καὶ προστιθεμένου τοῦ Ε ἐν ἀρχῇ ἐέργω-ἐϜέργω, καθάπερ

ἔλπομαι-Ϝέλπομαι καὶ ἐέλπομαι-ἐϜέλπομαι,
ἔλδομαι καὶ ἐέλδομαι, ἔλδωρ καὶ ἐέλδωρ,

ἔλσαι καὶ ἐέλσαι,

ἔδνα καὶ ἔεδνα, ἐεδνώσαιτο, ἐεδνωταί,

εἴκοσι, εἰκοστός-εἰκοστόν, εἰκοσάκις, κτλ. καὶ ἐείκοσι, ἐεικοστός-ἐεικοστόν, ἐεικοσάβοιον, κτλ.,

ἕρση-ἑρσήεις καὶ ἐέρση-ἐερσήεις.

Ἴδε Ὀφμαννὸν ἐν *Quaest. Homer*. Τόμ. Β', σελ. 43 καὶ Λ. Μεϋῆρον ἐν *Vergl. Grammat*. Τόμ. Α', σελ. 182 ἐκδ. β'. Ὁ Κόβητος γράφει ἐν τῇ Μνημοσύνῃ 1874, σελ. 290 «Pro Fέλσαι linguae Homericae consuetudine qua τῷ δίγαμμα saepissime E praefigitur, ἐFέλσαι legitur Φ. 295. πρὶν κατὰ Fιλιόφιν κλυτὰ τείχεα λαὸν ἐFέλσαι. ut ἐFείκοσιν, ἔFεδνα, ἐFέλδωρ caet. Obiter N exemta scribe FιλιόφΙ κλυτά, Homerico more». Δοξάζει δ' ὁ Κόβητος ὅτι δὲν ἐρρήθη ὑπὸ τοῦ Ὁμήρου ἐν Ἰλιάδος Ξ, 472 «οὐ μέν μοι κακὸς εἴδεται (κακὸς Fείδεται) οὐδὲ κακῶν ἔξ», ἀλλὰ «οὔ τι κακός μοι ἐFείδεται». Λέγει ὁ μέγας κριτικὸς ἐν Μνημοσ. 1876, σελ. 265 «misere laborat metrum, nam de forma Fείδεται, non εἴδεται, nulla esse potest dubitatio. Suspicor olim fuisse: οὔ τι κακός μοι ἐFείδεται. ut in ἐFέλδεται, ἐFεισάμενος, sim.». Ὁ Ναύκιος εἰκάζει ἐν τῇ ἐκδόσει τῆς Ἰλιάδος «οὔ τι κακός μοι εἴδεται» ἤτοι Fείδεται. Οὐκ ἀγνοητέον δ' ὅτι ὁ ἐπιφανὴς οὗτος φιλόλογος μετετύπωσε τὸ ἐεισάμενος, τῷ μιν ἐεισάμενος (Ἰλ. Β, 22. Π, 720. Ρ, 326 καὶ 585. Υ, 82), εἰς τὸ εἰσάμενος καὶ τὸ ἐεισαμένη, τῷ μιν ἐεισαμένη (Ἰλ. Β, 795), τῇ μιν ἐεισαμένη (Ἰλ. Γ, 389. Ὀδ. Ζ, 24), εἰς τὸ εἰσαμένη.

Νομίζουσι δέ τινες ὅτι ἐκ τοῦ τύπου ἔεδνα συνετέθη τὸ ἐπίθετον ἀνέεδνος ἀποδοκιμάζοντες τὴν ἐκφορὰν ἀνΑεδνος (Ἴδε τὸ Ὁμηρικὸν Λεξικὸν τοῦ Ἐβελιγγίου Τόμ. Α', σελ. 116). Ὑπὸ τοῦ Κοβήτου εἶνε γεγραμμένον ἐν Μνημοσ. 1881, σελ. 365 «Ἀνάεδνον: — χωρὶς ἕδνων. Genuina forma olim vitiata est ἀνέεδνον (ἀνέFεδνον). Una tantum forma in poësi epica usitata est ἔFεδνον (non Fέδνον) ut ἐFείκοσι (non Fείκοσι)». Πρβ. καὶ 1874, σελ. 179 καὶ Σύμμ. Κριτ. σελ. 372 σημ. Ἴδε καὶ Λεουβῆνα ἐν Ἐγχειριδ. Λέξ. Ἐπικ. σελ. 94 καὶ 162 καὶ 248 καὶ περὶ τοῦ ἐFείκοσι σελ. 166.

Σημειωτέον δ' ὅτι ἀλλοτρίους τοῦ Ὁμήρου ὑπολαμβάνει τοὺς τύπους ἕρση καὶ ἑρσήεις ὁ Λεουβὴν γράφων ἐν Μνημοσ. 1885, σελ.

193 «Non Ϝέρση, Ϝερσήεις Homerica sunt, sed ἐϜέρση, ἐϜερσήεις. Forma trisyllaba ἐϜέρσα etiam Pindaro in usu est: Nem. 3, 135; 7, 116; 8, 68. Theocr. II 107. Pro λωτόν θ' ἑρσήεντο Ξ 348 lege λῶτον ἐϜερσήεντα, deleta particula τε quae prorsus est supervacanea et mero scribarum errori deberi videtur (ΘΕΡ-ΕΕΡ)». Ἴδε καὶ Ἐγχειρ. Λέξ. Ἐπικ. σελ. 171. Εἴκασε δὲ καὶ ὁ Ναύκιος ἐν τῇ ἐκδόσει τῆς Ἰλιάδος «λωτὸν ἐερσήεντα» ἀντὶ τοῦ «λωτόν θ' ἑρσήεντα».

Ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς τοῦ Εὐσταθίου φέρεται σελ. 829, 4 «Ἐν τῇ προκειμένῃ τῶν βασιλικῶν ὅπλων διασκευῇ καὶ εἴκοσι τρισυλλάβως ἔφη ὁ ποιητὴς καὶ τετρασυλλάβως ἐείκοσι» καὶ σελ. 937, 58 «Δῆλον δ' ὅτι ἕδνον μὲν ἁπλοῦν ἐστιν, ἔεδνον δέ, ἀφ' οὗ καὶ οἱ ἐεδνωταί, πρόσθεσιν ἔχει κατὰ τὸ ἔρση ἐέρση» καὶ σελ. 1116, 1 «Ἔνθα ὅρα τὸ ἔλπετο ἐκ τοῦ ἔλπω δισυλλάβου, εἰ καὶ ἀνωτέρω ἄλλως ἔκειτο ἐν τῷ ἐελποίμην αἱρησέμεν» καὶ σελ. 1410, 59 «Μέμφεται δὲ (ὁ Ἡρακλείδης) καὶ τὸν Σιδώνιον Διονύσιον εἰπόντα διαλέκτῳ Ἀτθίδι πεποιῆσθαι ὅσα πλεονάζει τὸ Ε κατ' ἀρχάς, ὧν ἐστι καὶ τὸ ἐῳνοχόει καὶ τὸ ἑών· ἀγνοεῖ δέ, φησίν, ἐκεῖνος τὸ ἔργων ἐέργων καὶ τὸ ἔλπων ἐέλπων καὶ τὸ ἀλλὰ σύ πέρ μοι ἔειπε ἀντὶ τοῦ εἰπέ, ὃ καὶ σεσημείωται ὡς καινόν· τὰ πλείω γὰρ τῶν Ὁμηρικῶν ἀντιγράφων ἀλλὰ σύ πέρ μοι εἰπέ γράφουσιν». Πρβ. καὶ σελ. 1499, 49 «Ἰστέον δὲ ὅτι τὸ ἀλλὰ σύ πέρ μοι εἰπέ ἔειπε γράφεσθαι Ἡρακλείδης φησίν, ὡς καὶ προγέγραπται ἐν τῇ Α ῥαψῳδίᾳ καὶ ὅτι κτέ.». Ἐν τοῖς εἰς Ὀδύσσειαν Σχολίοις εἶνε γεγραμμένον σελ. 208, 26 «εἰπέ: Ζηνόδοτος ἔειπε, κακῶς· τὴν διαφορὰν γὰρ ἠγνόησεν». Ἴδε καὶ Λαρόχην ἐν τῇ ἐκδόσει τῆς Ὀδυσσείας Τόμ. Α', σελ. 79 καὶ 83. Τὸ τρισύλλαβον εἴκοσι τὸ κείμενον ἐν Ἰλιάδος Λ, 25 «δώδεκα δὲ χρυσοῖο καὶ εἴκοσι κασσιτέροιο» μετέβαλεν ὁ Βεντλήϊος εἰς τὸ τετρασύλλαβον ἐείκοσι ἀναγνοὺς τὸν στίχον ὧδε· «δώδεκα δὲ χρυσοῦ καὶ ἐείκοσι (ἐϜείκοσι) κασσιτέροιο» (Ἴδε Ἑύνιον εἰς Ἰλιάδ. Τόμ. Ϛ', σελ. 120). Οὕτω δ' ἔγραψε καὶ ὁ Βεκκῆρος καὶ ὁ Ναύκιος καὶ ὁ Χρίστιος.

Λέγει δὲ ὁ Εὐστάθιος ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς καὶ τάδε σελ. 219, 22 «Τὸ δὲ ἔοργε — μέσος παρακείμενός ἐστιν ἀπὸ τοῦ ἔργω βαρυτόνου ῥήματος ἢ ἐργῶ περισπωμένου, ὡς ἀπὸ τοῦ ἔλπω

τὸ ἔολπεν. Εἰ δέ ἐστιν ὑποδύσκολον ἐκ τοῦ ἔργω δισυλλάβου γίνεσθαι τὸ ἔοργα, ἐξ οὗ τὸ ἔοργε, νοητέον ὡς πλεονασμῷ τοῦ Ε γενόμενον ἐκεῖνο ἐέργω ἀπετέλεσε μέσον παρακείμενον ἤοργα καὶ Ἰωνικῶς ἔοργα» καὶ σελ. 1068, 38 «Τὸ δὲ ἔοργεν ἢ ἐκ τοῦ ἐέργω, οὗ μέσος παρακείμενος ἔοργα, ἢ ἀπὸ τοῦ ῥέζω ῥέξω ἔοργα καὶ μεταθέσει ἔοργα, οὗ τὸ τρίτον ἔοργεν» καὶ σελ. 1472, 59 «Τὸ δὲ ἔολπα γίνεται ἀπὸ τοῦ ἔλπω ἔλψω, μέσος παρακείμενος ὄλπα κατὰ κανόνα τὸν τρέποντα τὸ Ε τοῦ δισυλλάβου μέλλοντος εἰς Ο ἐν τῷ μέσῳ παρακειμένῳ, εἶτα κατὰ Ἀττικὸν πλεονασμὸν ἔολπα, ἵνα σχῇ ὁ παρακείμενος αὔξησίν τινα. Τὸ δ' ὅμοιον καὶ ἐπὶ τοῦ ἔοργα ὡς ἀπὸ τοῦ ἔργω ἐνεστῶτος. Αὐτὸ μέντοι καὶ ἄλλως κανονίζουσιν οἱ παλαιοί· ῥέζω γάρ φασι, ῥέξω, μέσος παρακείμενος ἔρογα καὶ μεταθέσει ἔοργα — Ὅτι δὲ τὸ ἔοργα καὶ ἐκ τοῦ ἐέργω κανονίζουσί τινες ἀλλαχοῦ ἐδηλώθη· καὶ εἰκὸς οὕτω παρῆχθαι καὶ τὸ ἔολπα ὡς ἀπὸ τρισυλλάβου ἐνεστῶτος τοῦ ἐέλπω» καὶ σελ. 1765, 27 «Ὅτι ἤθεα συῶν λέγει τὰς συνήθεις κοίτας, οἷον σύας ἕρξαν κατὰ ἤθεα κοιμηθῆναι. Γίνεται δὲ τὸ ἔρξαν ἀπὸ τοῦ ἔργω, οὐ τοῦ δηλοῦντος τὸ πράττω, ὃ καὶ τρισυλλάβως ἐέργω λέγεται, ὡς δῆλον ἐκ τοῦ ἔοργα, ἀλλὰ τοῦ σημαίνοντος τὸ ἐγκλείω, ἀφ' οὗ τὸ εἵργω τὸ παρ' Ἀττικοῖς δασυνόμενον, ὡς ἡ εἱρκτὴ δηλοῖ καὶ ἡ κάθειρξις». Πρβ. καὶ σελ. 753, 34 «Τὸ δὲ ἔοργα καὶ ἐοργώς ἀπὸ τοῦ ἔργω ῥήματος γίνεται, ὡς ἀπὸ τοῦ ἔλπω τὸ ἔολπα» καὶ σελ. 441, 35 «Ὅρα δὲ τὸ ἔρδε καὶ τὸ ἔρξον διαφόρως ἐξ ἑνὸς θέματος προφερόμενα· προϋποκειμένου γὰρ τοῦ ῥέζω, ῥέξω εἶτα μεταθέσεως γενομένης, τὸ ἔρζω τροπῇ μὲν συνήθει τοῦ Ζ εἰς Δ ἔρδω γεγονὸς μένει ἄκλιτον, καθ' αὑτὸ δὲ ὂν διὰ τοῦ Ξ ἔχει τὸν μέλλοντα Δωρικώτερον, ἐξ οὗ τὸ ἔρξον. Καὶ ἄλλως δὲ τὸ ἔρξον δύναται ἀπὸ τοῦ ἔργω εἶναι, ἀφ' οὗ τὸ ἔοργα» καὶ σελ. 1434, 47 «Τὸ δὲ κάκ' ἔρεζε δι' ἑνὸς Ρ κοινόν ἐστιν, Ἀττικὸν μέντοι τὸ ἔρρεζε. Τούτου δὲ πάντως καὶ μέσος κοινὸς παρακείμενος ἔρογα, ἀφ' οὗ ἐν μεταθέσει τὸ ἔοργα». Σημειωτέον δ' ὅτι εἶνε παρὰ τῷ Εὐσταθίῳ γεγραμμένον μετὰ δασέος πνεύματος «σύας ἕρξαν κατὰ ἤθεα κοιμηθῆναι» καὶ μετὰ ψιλοῦ ἔργω καὶ ἔρξον. Ἐν τοῖς εἰς Ὀδύσσειαν Σχολίοις λέγεται σελ. 596, 10 «Ψιλωτέον δὲ τὸ ἔρξαν ἀντὶ τοῦ κατέκλεισαν· τὸ γὰρ δασυνόμενον ἀντὶ τοῦ ἔθυσαν. Ἐτυμολογεῖται δὲ τὸ ἔρξαν ἀντὶ τοῦ ἔκλεισαν

ἀπὸ τοῦ εἴργω τὸ κωλύω, τὸ δὲ ἔρξαν ἀντὶ τοῦ ἔθυσαν ἀπὸ τοῦ ἔρδω τὸ θύω» (Ἴδε Λαρόχην ἐν τῷ *Die Homer. Textkr.* σελ. 258-9). Περὶ τοῦ εἶρξαι, κτλ. καὶ τοῦ εἷρξαι, κτλ. οὐδὲν νῦν λέγομεν.

Οὔτε δισύλλαβος ἐνεστὼς ἔργω (= ῥέζω) εὑρέθη οὔτε τρισύλλαβος ἐέργω. Παρὰ τῷ Ὁμήρῳ ἀπαντᾷ μέλλων ἔρξω, ἀόριστος ἔρξα, παρακείμενος ἔοργα καὶ ὑπερσυντέλικος ἐώργει. Τῶν παλαιῶν τινες, ὡς λέγει ὁ Εὐστάθιος, ὑπελάμβανον ὅτι ὁ παρακείμενος ἔοργα ἐγένετο ἐκ τοῦ ἐνεστῶτος ἔργω κατὰ πλεονασμὸν τοῦ Ε, ἔργω-ὄργα-ἔοργα. Πρβ. καὶ Ἀπολλών. περὶ Ἀντωνυμ. σελ. 74 β' «Τὸ Ε πλεονάζον ἐν δισυλλάβοις ἀναβιβάζει τὸν τόνον· ἔειπεν, ἔοργεν, ἔεδνα, ἔαδεν, εἰ πλεονασμός» (Ἴδε Λοβέκκιον ἐν Στοιχ. Μέρ. Α', σελ. 55-6). Οὐδαμῶς εὔλογος φαίνεται ἡ ὑπόληψις αὕτη οὖσα, ἄτοπος δ' εἶνε καὶ ἡ γνώμη τῶν δοξαζόντων ὅτι ἐκ τοῦ ἐέργω ἐσχηματίσθη ὁ περὶ οὗ ὁ λόγος παρακείμενος κατ' Ἰωνικὴν ἐκφορὰν ἀντὶ τοῦ ἤοργα, ἐέργω-ἤοργα-ἔοργα, ἀτοπωτάτη δ' ἡ τῶν νομιζόντων ὅτι ἐκ τοῦ ῥέζω παρήχθη παρακείμενος ἔρογα καὶ ἐξ αὐτοῦ κατὰ μετάθεσιν ἔοργα.

Ἐκ τῆς ῥίζης ἐργ ἤτοι Fεργ καὶ ἐκ τῆς ἐλπ ἤτοι Fελπ ἐσχηματίσθησαν οἱ παρακείμενοι ἔοργα-FέFοργα καὶ ἔολπα-FέFολπα. Ὁ Κόβητος ἀποδοκιμάζει τὴν ἐκφορὰν ἔFοργα καὶ ἔFολπα λέγων ἐν Συμμίκτ. Κριτ. σελ. 273 «In perfecto passivo notandus est Bekkeri constans error ἐFέλμεθα, et ἐFελμένοι ubique scribentis et ad eundem modum alibi passim ἔFολπα, ἔFοργα, ἔFοικα, ἔFερτο, ἐFερμένον. Haec omnia perinde vitiosa sunt ac si quis pro λέλοιπα, πέποιθα, δέδηα, πέφηνα, σέσηπα, τέτηκα sim. vellet ἔλοιπα, ἔποιθα, caet. dicere» καὶ σελ. 275 «ἔFοργα nihil est pro FέFοργα, quasi dicas ἔδρομα pro δέδρομα» καὶ σελ. 373 «Perfectum igitur, quod praesentis temporis notionem habet, est FέFολπα, non ἔFολπα, ut aliquoties Bekkerus edidit. Sed non magis ἔFολπα Graecum est (aut ἔFοργα aut ἔFοικα, quae et ipsa apud Bekkerum saepenumero leguntur) ac si quis pro μέμονα aut γέγονα vellet Ἔμονα et Ἔγονα dicere» καὶ σελ. 404 «Bekkerus ἔFοργε, ἔFοργας, ἐFοργώς dedit contra certam analogiam et legem Graecitatis, quae nullam exceptionem admittit» (Πρβ. καὶ σελ. 419).

Περὶ τοῦ ὑπερσυντελίκου γράφει ὁ Εὐστάθιος σελ. 1187, 27 «Τὸ δὲ ἐώλπει μετάθεσιν ἔχει καὶ αὐτὸ χρόνου· ἔδει μὲν γὰρ ἐκ τοῦ ἔολπα τὸν ὑπερσυντέλικον εἶναι ἠόλπειν· οὕτω δὲ καὶ ἔοργα ἠόργειν· μεταπτώσει δὲ χρονικῇ συνεστάλη μὲν ἐν τούτοις ἡ ἄρχουσα, ἐξετάθη δὲ ἡ μετ' αὐτὴν κατά τινα ὡς εἰπεῖν μεταχώρησιν καὶ ἀντιπερίστασιν». Παρατηροῦμεν ἐν παρόδῳ ὅτι ἡ διὰ τοῦ ΕΙΝ ἐκφορὰ τοῦ ἑνικοῦ πρώτου προσώπου τοῦ ἐνεργητικοῦ ὑπερσυντελίκου ἀπᾴδει τῆς Ὁμηρικῆς συνηθείας, καθ' ἣν λέγεται πεποίθΕΑ, ἐτεθήπΕΑ, κτλ. Ὁ ὑπερσυντέλικος ἐώργει ἀπαντᾷ ἐν Ὀδυσσείας Δ, 693 «κεῖνος δ' οὔ ποτε πάμπαν ἀτάσθαλον ἄνδρα ἐώργει» καὶ Ξ, 289 «ὃς δὴ πολλὰ κάκ' ἀνθρώποισιν (ἤ: ἀνθρώπους) ἐώργει», ὁ δὲ ἐώλπει ἐν Ἰλιάδος Τ, 328 «πρὶν μὲν γάρ μοι θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει» καὶ ἐν Ὀδυσσείας Υ, 328 «ὑμῖν θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει» καὶ ἐν Φ, 96 «τῷ δ' ἄρα θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει» καὶ ἐν Ω, 313 «θυμὸς δ' ἔτι νῶϊν ἐώλπει». Ὁ Βεκκῆρος ἐξέδωκεν «ἄνδρα FεFώργειν» καὶ «ἀνθρώπΟΥΣ εἰFώργειν» καὶ «ἐνὶ στήθεσσιν ἐFώλπειν» καὶ «νῶϊν ἐFώλπειν», ὁ δὲ Ναύκιος «ἄνδρα ἐόργει» (ἤτοι FεFόργει) καὶ «ἀνθρώπΟΥΣ ἐεόργει» (ἤτοι ἐFεFόργει), ὡς ἀνέγνω καὶ ὁ Δαβέσιος ἐν *Miscell. Crit.* σελ. 186, «καὶ ἐνὶ στήθεσσι ἐόλπει» (ἤγουν FεFόλπει). Σημειωτέον δ' ὅτι ἐν Ὀδυσσ. Υ, 328 φέρεται καὶ γραφὴ ἐόλπει. Ἐκ τῶν παρακειμένων FέFοργα καὶ FέFολπα δὲν δύνανται ἄλλοι ὑπερσυντέλικοι νὰ σχηματισθῶσιν ἢ ὁ (ἐ)FεFόργεα-(ἐ)FεFόργει καὶ ὁ (ἐ)FεFόλπεα-(ἐ)FεFόλπει (Ἴδε καὶ Δαβέσιον ἐν *Miscell. Crit.* σελ. 180 καὶ Λ. Μεϋῆρον ἐν *Vergl. Grammat.* Τόμ. Α', σελ. 907 ἐκδ. β' καὶ Λεουβῆνα ἐν *Enchir. Dict.Ep.* σελ. 456 καὶ 467). Ἐν Ὀδυσσείας Ω, 313 οὐδαμῶς ἐπιτρέπει τὸ μέτρον τὴν ἐκφορὰν FεFόλπει, «θυμὸς δ' ἔτι νῶϊν FεFόλπει»· ὅθεν ὁ Ναύκιος εἴκασε «θυμὸς δ' ἔτι ἔλπετο νῶϊν». Ὁ Κόβητος λέγει ἐν Συμμ. Κριτ. σελ. 374 «Omnem huiuscemodi correctionem respuit versiculus ω. 313 θυμὸς δ' ἔτι νῶΙΝ ἐFώλπει μίξεσθαι ξενίῃ. sed ea pars carminis conflata est eo tempore quum omnis τοῦ δίγαμμα et usus et memoria plane esset obsoleta et abolita». Περὶ τοῦ ἐώργει ἐποιήσατο λόγον καὶ ὁ Κούρτιος ἐν τῷ *Das Verb.* Τόμ. Α', σελ. 122 ἐκδ. β'.

Εἴδομεν ὅτι τὸ ῥῆμα ἔργω ἐξεφέρετο ὑπὸ τοῦ Ὁμήρου μετὰ τοῦ

δίγαμμα, Fέργω καὶ προσθέσει τοῦ Ε ἐFέργω. Ἀλλ' εἶνε ἄνευ αὐτοῦ προενηνεγμένος ὁ παρακείμενος ἐν Ἰλιάδος Π, 481 «ἔνθ' ἄρα τε φρένες ἔρχαται ἀμφ' ἀδινὸν κῆρ» καὶ ὁ ὑπερσυντέλικος ἐν Ρ, 354 «σάκεσσι γὰρ ἔρχατο πάντῃ» (Ἴδε Λ. Μεϋῆρον ἐν *Vergl. Grammat.* Τόμ. Α', σελ. 907 ἐκδ. β'. Πρβ. καὶ Κούρτιον ἐν τῷ *Das Verb.* Τόμ. Β', σελ. 167. ἐκδ. β'). Ὁ Ἑϋνιος γράφει ἐν τῇ ἐκδόσει τῆς Ἰλιάδος Τόμ. Ζ', σελ. 224 «Suboritur alia difficultas: cum ἔργω, εἴργω, ἐέργω, ubique digamma habeat — debebat esse Fέρχαται. atqui φρένες Fέρχαται hoc non admittunt. Si ita versus est antiquus, exceptionem facit; aut dicendum plures fuisse formas verbi» καὶ σελ. 344 «At enim versui duplex inesse video vitium prosodicum; primo quod σάκεσσι γὰρ ἔρχατο scriptum est, cum fuerit Fέρχατο. Nec defendi potest vitium altero loco Π, 481 φρένες ἔρχαται. nam versus ille ab interpolatore profectus erat. Probabile est, fuisse lectum antiquitus σάκεσσι δὲ ἔρχατο». Ὁ δὲ Χρίστιος λέγει ἐν τῇ ἐκδόσει τῆς Ἰλιάδος σελ. 160 «Fέργω Fεργάθω· digamma abiectum videtur in ἔρχαται Π 481. Ρ 354 et ἐρχατόωντο ξ 15, sed versui Ρ 571 ἥ τε καὶ ἐργομένη eiecta inutili τε et revocata sollemni forma ἐεργομένη digamma cum Bekkero restitui» καὶ σελ. 111 «Tradita forma ἔρχαται non magis quam ἔρχατο Ρ 354. ι 221 ferri potest, siquidem perfectum reduplicatione vel augmento carere nequit; qua de causa transcriptione veteris litteraturae emendata εἴρχαται scripsi, quod ex FεFέρχαται simili modo atque εἶδον ex ἔFιδον et εἱμένος ex FεFεσμένος et εἰρύαται ex FεFερύαται ortum esse duco». Ἐπισυνάπτομεν τούτοις τὰ ὑπὸ τοῦ Λεουβῆνος εἰρημένα ἐν Ἐγχειριδ. Λέξ. Ἐπικ. σελ. 471 «Perfecti et plusquamperfecti passivi traditas accepimus formas ἔρχαται Π 481 κ 288 et ἔρχατο Ρ 534 ι 221 ξ 73, quae reduplicatione carent et digamma ostendunt neglectum; sed errori deberi e vetusta litteratura nato et alii intellexerunt et Christ Prolegom. Il. p. 111: εἴρχαται *scripsi, quod ex* FεFέρχαται . . . *ortum esse duco* — Transitum parare videtur forma ἐερχατο κ 241, sed Ε 89 pro ἐεργμέναι recipienda est Aristarchi lectio ἐερμέναι». Πρβ. καὶ σελ. 344-5.

Ὁ Δαβέσιος γράφει ἐν *Miscell. Crit.* σελ. 187 «Eodem fonte derivata primitus habebantur ϝεϝεργνυ, ϝερχαται, ϝερχατο; horum hodie locum occupant εεργνυ, ερχαται, ερχατο [Od. K, 238. 283. ΙΛ. Π, 481 ΟΔ. Ι, 221. Ξ, 73. ΙΛ. Ρ, 354.] Ista autem ϝερχαται et ϝερχατο augmentis non secus destituuntur atque βλημενος, βλητο; uti et ϝεσμενος, ϝεσται, ϝεστο; vulgo εἱμενος, ἑιται, ἑστο [Il. O, 308.]». Κατὰ τὴν γνώμην τοῦ Δαβεσίου οἱ τύποι ΒΛΗΤΟ καὶ ΒΛΗΜΕΝΟΣ εἶνε ἐστερημένοι τοῦ ἀναδιπλασιασμοῦ· καὶ ἔχει μὲν ἡ γνώμη αὕτη πλημμελῶς, ἀλλ' ἐξηνέχθη ὑπὸ τοῦ σοφωτάτου ἀνδρὸς ἐν βιβλίῳ ἐκδοθέντι τῷ 1745ῳ ἔτει. Θαυμαστὸν πάντως ὑπάρχει ἄν τις ἐν τοῖς καθ' ἡμᾶς χρόνοις περὶ τὰ Ἑλληνικὰ γράμματα σπουδάζων ὑπολαμβάνῃ ὅτι τὸ βλήμενος ἐγένετο κατ' ἀφαίρεσιν τοῦ ἀναδιπλασιασμοῦ, ὡς δοξάζει ὁ Δυντζῆρος ἐν *Homer. Abhandl.* σελ. 520 (1872) λέγων «Umgekehrt fällt die Redudlication weg in δέχαται, βλήμενος». Τὸ βλήμενος εἶνε μετοχὴ τοῦ ἀορίστου ἐβλήμην, οὗ φέρεται παρ' Ὁμήρῳ τὸ τρίτον πρόσωπον ἔβλητο καὶ ἄνευ αὐξήσεως βλῆτο· κεῖται δὲ παρ' αὐτῷ καὶ ἡ απαρέμφατος βλῆσθαι καὶ ἡ ὑποτακτικὴ βλήεται καὶ ἡ εὐκτικὴ βλεῖο ἢ βλῇο. Ἐλέχθη δ' ὑπὸ τοῦ ποιητοῦ καὶ μετὰ τῆς ΞΥΝ προθέσεως ξύμβλητο-ξύμβληντο καὶ ξυμβλήμενος καὶ καθ' ὑποτακτικὴν ξύμβληται (ξυμβλῆται) - ξυμβλήεαι. Τὴν ἐκφορὰν βλεῖο ἀποδοκιμάζει ὁ Κόβητος ἐν *Nov. Lect.* σελ. 232 καὶ ἐν *Mnemos.* 1873, σελ. 38 καὶ 1875, σελ. 263 ἰσχυριζόμενος ὅτι τὸ ὑγιῶς ἔχον εἶνε βλῇο. Περὶ τοῦ δέχαται ἴδε Λεουβῆνα ἐν *Enchir. Dict. Homer.* σελ. 470.

Περὶ τοῦ ἐρχατόωντο ἀποφαίνεται ὁ Εὐστάθιος ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 1748 τέλ. «Τὸ δὲ ἐρχατόωντο καινῶς παρῆκται· προϋπάρχει μὲν γὰρ Ἰωνικὸν τὸ ἔρχατο, ἐξ αὐτοῦ δὲ γίνεται τὸ ἐρχατῶ οὐκ ἀγαθὸν ῥῆμα εἰς πεζὴν γραφήν». Οὐδαμῶς εὔλογος εἶνε ἡ γνώμη τοῦ Εὐσταθίου. Ὁ Λοβέκκιος λέγει ἐν τῷ Ῥηματικῷ σελ. 185 «De illis quidem Grammatici morose tacent, neque de ἐρχατόωντο, κατηπιόωντο et δυόωσι consilii sui copiam fecere. Illi in Prolegg. 552. apposui nomen ἐρχάτης et ἐρκάτη ab εἴργω derivatum, ut ab ἅπτω ἀπάτη, quo deducimur ad praesens ἐρχατάω, ut a ναιέτης ναιετάω, λαμπέτης (καλλιλαμπέτης, ἐριλαμ-

πέτις) λαμπετάω». Ὁ δὲ Λ. Μεϋῆρος γράφει ἐν *Vergl. Gramm.* Τόμ. Α', σελ. 915 ἐκδ. β' «**Ergh, orgh** *einschlissen*, *umhegen*: ἔρχατος *Zaun*, *gehege* (bei Hesych), ἐρχατᾶν *einsperren* (Odyssee 14, 15: ἐρχατόοντο *sie wurden eingesperrt*)». Ἀλλά τινες πλημμελῆ τὴν ἐκφορὰν ἐρχατόωντο ὑπολαβόντες εἴκασαν «ἔρχατο πεντήκοντα σύες χαμαιευνάδες ἐντός» ἢ «πεντήκοντα σύες χαμαιευνάδες εἵρχατο νυκτός». Παρατιθέμεθα τὰ ὑπὸ τοῦ Λεουβῆνος γεγραμμένα ἐν Ἐγχειριδ. Λέξ. Ἐπικ. σελ. 345 «Gravius corrupta est forma ἐρχατόωντο ξ 15: πεντήκοντα σύες χαμαιευνάδες ἐρχατόωντο, ad quem locum ingeniosam coniecturam proposuit I. M. Hoogvliet Ϝέρχατο π. σ. χ. ἐντός, pro *aoristi* forma illud ἐϜέρχατο habens; nos εἵρχατο νυκτός tentavimus» καὶ σελ. 471 «Perabsurdam formam ἐρχατόωντο ξ 15 iure damnavit et acuta coniectura emendare conatus est Hoogvliet». Σημειωτέον δ' ὅτι ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου φέρεται «ἘρχατόωντΑΙ: συνέχοντΑΙ».

Ἐγένετο λόγος ἐν τῷ ἡγουμένῳ Μέρει περὶ τοῦ ἐκ τοῦ θέματος ῥάζω σχηματισμοῦ τοῦ ἐρράδαται καὶ ἐρράδατο, παρετηρήθη δ' ὅτι καὶ παλαιοὶ γραμματικοὶ παρῆγον τοὺς τύπους τούτους ἐκ τοῦ ῥηθέντος θέματος. Ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις κεῖται Τόμ. Α', σελ. 432,38 «ἐρράδατ': ἀπὸ τοῦ ῥάζω» καὶ ἐν τοῖς Κραμήρου Παρισ. Ἀνεκδότοις Τόμ. Γ', σελ. 261, 9 «ἐρράδατ': Ἰωνικὸν ἀπὸ τοῦ ῥῶ ῥάζω» καὶ ἐν τῷ Μεγάλῳ Ἐτυμολογικῷ σελ. 377, 13 «Ἐρράδαται: Ἀπὸ τοῦ ῥάζω ῥάσω ὁ παθητικὸς παρακείμενος ἔρρασμαι ἔρρασται καὶ Ἰωνικῶς ἐρράδαται». Πρβ. καὶ Κραμ. Ἀν. Ὀξ. Τόμ. Δ', σελ. 197, 28. Ὁ Εὐστάθιος λέγει ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 441,2 «Τὸ δὲ οὐκ ἔχαδε—γίνεται ἀπὸ τοῦ χῶ τὸ χωρῶ—ὅθεν παράγωγον τὸ χάζω καθ' ὁμοιότητα τοῦ σχῶ σχάζω—κλῶ κλάζω, κρῶ κράζω, βῶ βάζω, φῶ φάζω, ῥῶ ῥάζω, ἐξ οὗ ἐν Ὀδυσσείᾳ τὸ ῥάσσατε δ' ὕδωρ καὶ ἐρράδαται τοῖχοι, βρῶ βράζω καὶ τὰ ὅμοια μονοσύλλαβα» καὶ σελ. 912, 23 «Τὸ δὲ θέμα τοῦ ἐρράδαται Ἰωνικοῦ ῥήματος ῥάζω φασὶν οἱ παλαιοί, ὅπερ τὸ ῥαίνω δηλοῖ, ἐξ οὗ καὶ ἐν Ὀδυσσείᾳ τὸ ῥάσσατε δ' ὕδωρ» καὶ σελ. 1887, 41 «Θέμα δὲ τοῦ ῥάσσατε ῥάζω, ἐξ οὗ ἐν τοῖς ἑξῆς τοῖχοι ἐρράδαται ὁμοίως τῷ ὠνο-

